Ex quo quidem facile intelligas, Samios, et Ionas reliquos, de una fidelia (uti ipsorum verbum est) parietes duos dealbasse. Etenim quum Alcibiades Atheniensium classem instructam et ornatam circa Ioniam haberet, plerique Iones eum coluere, atque adeo Samii statuam ei aeneam in Inno-

μίων ἐστὶν ἀνάθημα. ὡς δὲ ἐν Αἰγὸς ποταμοῖς ἐκάκωσαν αἱ νῆες αἱ Ἀττικαί, Σάμιοι μὲν ἐς Ὀλυμπίαν τὸν Λύσανδρον, Ἐφέσιοι δὲ ἐς τὸ ἱερὸν ἀνέθεσαν τῆς Ἀρτέμιδος Λύσανδρόν τε αὐτὸν καὶ Ἐτεόνικον, καὶ Φάρακα, καὶ ἄλλους Σπαρτιατῶν, ἥκιστα ἐς γε τὸ Ἑλληνικὸν γνωρίμους. μεταπεσόντων δὲ αὖθις τῶν πραγμάτων, καὶ Κόνωνος κεκρατηκότος τῇ ναυμαχίᾳ περὶ Κνίδον καὶ ὄρος τὸ Δώριον ὀνομαζόμενον, οὕτω μετεβάλλοντο οἱ Ἴωνες, καὶ Κόνωνα ἀνακείμενον χαλκοῦν καὶ Τιμόθεον ἔν Σάμῳ τε ἔστιν ἰδεῖν παρὰ τῇ Ἥρᾳ, καὶ ὡσαύτως ἐν Ἐφέσῳ παρὰ τῇ Ἐφεσίᾳ θεῷ. ταῦτα μὲν ἔστιν ἔχοντα οὕτω τὸν ἀεὶ χρόνον, καὶ Ἴωσιν ὡσαύτως οἱ πάντες ἄνθρωποι θεραπεύουσι τὰ ὑπερέχοντα τῇ ἰσχύϊ.

nis erexerunt. Superatis vero navali praelio ad Aegospotamos Atheniensibus, iidem Samii Lysandro in Olympia statuam posuere. Quin et Ephesii in Dianae, Lysandri, Eteonici, Pharacis, et aliorum Spartanorum, minime clari inter Graecos nominis, imagines dedicarunt. Iam vero commutata rursum fortuna, quum ad Cnidon et Dorion montem ab Atheniensibus Cononis ductu classe victi fuissent Lacedaemonii, eousque Ionum studia in diversa abierunt, ut Cononem ex aere, Timotheum etiam, Sami apud Iunonem positos videas: itidemque Ephesi apud deam Ephesiam. Et profecto eadem quovis tempore fuit omnibus gentibus, quae Ionibus mens, ut hominum studia ad eos, qui opibus ac viribus praestarent, propensiora essent.

CAPUT IV.

Recensionis signorum athletarum Olympiae positorum continuatio — statua Sostrati Sicyonii cognomine Acrochersitae et Leontisci — Olympias CIV. ab Eleis non notata, quia Pisaei et Arcades tunc ludos celebrarunt — puer taenia redimitus, unicum Olympiae signum a Phidia confectum — Chilonis Patrensis signum — Aristotelis Stagiritae — Archidami, regis Lacedaemoniorum — Ergotelis Cretensis.

Ἔχεται δὲ τοῦ Λυσάνδρου τῆς εἰκόνος Ἐφέσιός τε πύκτης, τοὺς ἐλθόντας κρατήσας τῶν παίδων, ὄνομα δέ οἱ ἦν Ἀθήναιος· καὶ Σικυώνιος Σώστρατος παγκρατιαστὴς ἀνήρ, ἐπίκλησις δὲ ἦν Ἀκροχερσίτης αὐτῷ. παραλαμβανόμενος γὰρ ἄκρων τοῦ ἀνταγωνιζομένου τῶν χειρῶν ἔκλα, καὶ οὐ πρότερον ἀνίει, πρὶν ἢ αἴσθοιτο ἀπαγορεύσαντος. γεγόνασι δὲ αὐτῷ Νεμείων μὲν νῖκαι καὶ Ἰσθμίων ἀναμὶξ δυώδεκα, Ὀλυμπίασι δὲ καὶ Πυθοῖ, τῇ μὲν δύο, τρεῖς δὲ ἐν Ὀλυμπίᾳ. (2) Τὴν τετάρτην δὲ Ὀλυμπιάδα ἐπὶ ταῖς ἑκατόν (πρώτην γὰρ δὴ ἐνίκησεν ὁ Σώστρατος ταύτην) οὐκ ἀναγράφουσιν οἱ Ἠλεῖοι, διότι μὴ αὐτοὶ τὸν ἀγῶνα, ἀλλὰ Πισαῖοι καὶ Ἀρκάδες ἔθεσαν ἀντ' αὐτῶν. Παρὰ δὲ τὸν Σώστρατον παλαιστὴς ἀνὴρ πεποίη- 461

Cap. IV. Proxima est Lysandri statuae effigies Ephesii pugilis, qui de puerorum certamine victoriam est adeptus: nomen ei fuit Athenaeus. Adsistit etiam Sostratus Sicyonius, *nobilis* pancratiastes; cui cognomen fuit Acrochersites, quod adversariorum summas manus tam fortiter apprehendebat, ut non prius eos dimitteret, quam elisis digitis dolore confectos intelligeret. Duodecim ei partim Nemeorum, partim vero Isthmiorum palmae datae sunt; Pythicae duae, Olympicae tres. (2) Quartam certe supra centesimam Olympiadem, qua Sostratus primum coronam cepit, non conscribunt in suis commentariis Elei. Pro illis enim eius Olympiadis auctores celebrandae Pisaei et Arcades fuere.

ται Λεοντίσκος, ἐκ Σικελίας τε ὢν γένος, καὶ ἀπὸ τῆς ἐν τῷ πορθμῷ Μεσσήνης· στεφανωθῆναι δὲ ὑπό τε Ἀμφικτυόνων καὶ ὑπὸ Ἠλείων, εἶναι δὲ αὐτῷ λέγεται τὴν πάλην, καθὰ δὴ καὶ τὸ παγκράτιον τῷ Σικυωνίῳ Σωστράτῳ· καὶ γὰρ τὸν Λεοντίσκον καταβαλεῖν μὲν οὐκ ἐπίστασθαι τοὺς παλαίοντας, νικᾶν δὲ αὐτὸν κλῶντα τοὺς δακτύλους. τὸν δὲ ἀνδριάντα Πυθαγόρας ἐποίησεν ὁ Ῥηγῖνος, εἴπέρ τις καὶ ἄλλος ἀγαθὸς τὰ ἐς πλαστικήν. διδαχθῆναι δὲ παρὰ Κλεάρχῳ φασὶν αὐτὸν, Ῥηγίνῳ μὲν καὶ αὐτῷ, μαθητῇ δὲ Εὐχείρου· τὸν δὲ Εὔχειρον εἶναι Κορίνθιον, φοιτῆσαι δὲ ὡς Συάδραν τε καὶ Χάρταν Σπαρτιάτας. (3) Ὁ δὲ παῖς ὁ ἀναδούμενος ταινίᾳ τὴν κεφαλὴν, ἐπεισήχθω μοι καὶ οὗτος ἐς τὸν λόγον, Φειδίου τε εἵνεκα καὶ τῆς ἐς τὰ ἀγάλματα τοῦ Φειδίου σοφίας· ἐπεὶ ἄλλως γε οὐκ ἴσμεν ὅτου τὴν εἰκόνα ὁ Φειδίας ἐποίησε. Σάτυρος δὲ Ἠλεῖος Λυσιάνακτος πατρὸς, γένους δὲ τοῦ Ἰαμιδῶν, ἐν Νεμέᾳ πεντάκις ἐνίκησε πυκτεύων, καὶ Πυθοῖ τε δὶς, καὶ δὶς ἐν Ὀλυμπίᾳ. τέχνη δὲ Ἀθη-

Prope Sostratum positus est palaestrita Siciliensis Leontiscus, e Messana, quae ad fretum est. Coronam is ab Amphictyonibus et Eleis accepit. Et in lucta quidem Leontiscus haud alio more, quam Sostratus in pancratio adversarios percellebat. Neque enim colluctantes sternebat, sed victoriam summis digitis collidendis extorquebat. Statuam ei fecit Pythagoras Rheginus, fingendi peritia sollers haud minus quam quivis alius. Didicisse eum artem ferunt a Clearcho Rhegino, Euchiri discipulo. Euchirus Corinthius fuit: is praeceptoribus est usus Syadra et Charta Spartanis. (3) Puer taenia redimitus, Phidiae causa, et eximiae eius in fingendis statuis sollertiae, nobis non fuit praetermittendus, quod scilicet neminem alium novimus, cuius effigiem expresserit Phidias. Satyrus quidem Eleus Lysianacte patre genitus, ex Iamidarum gente, e Nemea quinque, de pugilatu; duas e Pythicis ludis, et ex Olympicis totidem palmas tulit.

ναίου Σιλανίωνος ὁ ἀνδριάς ἐστι. Πλάστης δὲ ἄλλος τῶν Ἀττικῶν Πολυκλῆς, Σταδιέως μαθητὴς Ἀθηναίου, πεποίηκε παῖδα Ἐφέσιον παγκρατιαστὴν, Ἀμύνταν Ἑλλανίκου. (4) Χίλωνι δὲ Ἀχαιῷ Πατρεῖ δύο μὲν Ὀλυμπιακαὶ νῖκαι πάλης ἀνδρῶν, μία δὲ ἐγένετο ἐν Δελφοῖς, τέσσαρες δὲ ἐν Ἰσθμῷ, καὶ Νεμέων τρεῖς. ἐτάφη δὲ ὑπὸ τοῦ κοινοῦ τῶν Ἀχαιῶν, καί οἱ καὶ τοῦ βίου συνέπεσέν ἐν πολέμῳ τὴν τελευτὴν γενέσθαι. μαρτυρεῖ δέ μοι καὶ τὸ ἐπίγραμμα τὸ ἐν Ὀλυμπίᾳ·

Μουνοπάλης νικῶ δὶς Ὀλύμπια Πύθιά τ' ἄνδρας,
  Τρὶς Νεμέᾳ, τετράκις δ' Ἰσθμῷ ἐν ἀγχιάλῳ,
Χίλων, ὃς Πατρεὺς ἦν· αὐτὰρ ὁ λαὸς Ἀχαιῶν 462
  Ἐν πολέμῳ φθίμενον θάψ' ἀρετῆς ἕνεκεν.

τὸ μὲν δὴ ἐπίγραμμα ἐπὶ τοσοῦτον ἐδήλωσεν. εἰ δὲ Λυσίππου τοῦ ποιήσαντος τὴν εἰκόνα τεκμαιρόμενον τῇ ἡλικίᾳ συμβαλέσθαι δεῖ με τὸν πόλεμον, ἔνθα ὁ Χίλων ἔπεσεν, ἤτοι ἐς Χαιρώνειαν Ἀχαιοῖς τοῖς πᾶσιν ὁμοῦ στρατεύσασθαι, ἢ ἰδίᾳ κατ' ἀρετήν τε καὶ τόλμαν Ἀχαιῶν

Eius fecit statuam Atheniensis Sinanion. At Polycles et ipse Attici nominis fictor, Stadiei Atheniensis discipulus, Amyntam fecit pancratiastem, puerum ex Epheso, Hellanici filium. (4) Chilon Achaeus Patrensis Olympicis duabus de lucta virorum, Delphica una, quatuor Isthmicis, tribus Nemiacis nobilitatus est coronis. Sepulcrum ei publica impensa Achaei erexere. Et praelians quidem mortem oppetiit. Testata res his versibus:

Solum lucta virum bis Olympia Pythiaque ornat,
  Ter Nemea, atque Isthmus me quater undisonus
Chilonem. Patria est Patrae: virtutis Achivi
  Caesum acie memores hoc posuere loco.

Haec quidem inscriptio est. Quod si quo bello ceciderit, ex aetate Lysippi, qui statuam eius fecit, coniectandum est, vel ad Chaeroneam in acie stetit cum Achaeis omnibus, vel pro virilis animi ardore solus e cunctis Achaeis praelio ei

μόνος Ἀντιπάτρῳ μοι καὶ Μακεδόνων ἐναντία ἀγωνίσασθαι περὶ Λαμίαν φαίνεται τὴν ἐν Θεσσαλίᾳ. (5) Ἐφεξῆς δὲ τοῦ Χίλωνος δύο ἀνάκεινται· τῷ μὲν Μολπίων ἐστὶν ὄνομα, στεφανωθῆναι δὲ τὸ ἐπίγραμμά φησιν αὐτὸν ὑπὸ Ἠλείων· τὸν δὲ ἕτερον, ὅτῳ μηδέν ἐστιν ἐπίγραμμα, μνημονεύουσιν ὡς Ἀριστοτέλης ἐστὶν ὁ ἐκ τῶν Θρᾳκίων Σταγείρων. καὶ αὐτὸν ἤτοι μαθητὴς, ἢ καὶ στρατιωτικὸς ἀνέθηκεν ἀνὴρ, ἅτε παρὰ Ἀντιπάτρῳ καὶ πρότερον ἰσχύσαντα παρὰ Ἀλεξάνδρῳ. Σωδάμας δὲ ὁ ἐξ Ἀσσοῦ τῆς ἐν τῇ Τρωάδι, κειμένης δὲ ὑπὸ τῇ Ἴδῃ, πρῶτος Αἰολέων τῶν ταύτῃ, στάδιον Ὀλυμπίασιν ἐνίκησεν ἐν παισί. (6) Παρὰ δὲ Σωδάμαν Ἀρχίδαμος ἕστηκεν ὁ Ἀγησιλάου, Λακεδαιμονίων βασιλεύς. πρὸ δὲ τοῦ Ἀρχιδάμου τούτου βασιλέως, εἰκόνα οὐδενὸς ἔν γε τῇ ὑπερορίᾳ Λακεδαιμονίους ἀναθέντας εὕρισκον. Ἀρχιδάμου δὲ ἄλλων τε καὶ τῆς τελευτῆς ἐμοὶ δοκεῖν εἵνεκα ἀνδριάντα ἐς Ὀλυμπίαν ἀπέστειλαν, ὅτι ἐν βαρβάρῳ τε ἐπέλαβεν αὐτὸν τὸ χρεὼν, καὶ βασιλέων μόνος τῶν ἐν Σπάρτῃ δῆλός ἐστιν ἁμαρτὼν τάφου. ταῦτα μὲν δὴ καὶ

interfuit, quod ad Lamiam in Thessalia cum Antipatri Macedonum regis exercitu commissum est. (5) Post Chilonem duae deinceps statuae erectae: Molpioni una, quem ab Eleis coronatm cepisse testatur inscriptio. Alterius nullus est titulus; sed eam Aristotelis esse memorant Stagiritae e Thracia, sive discipulus ei, sive miles quispiam, gratia apud Antipatrum florenti, et ante apud Alexandrum, honorem hunc habuerit. Sodamas quidem ex Asso in Troade ad Idam montem, Aeolensium ex eo tractu primus pueros in Olympico stadio vicit. (6) Prope Sodaman Archidamo Lacedaemoniorum regi, Agesilai filio, statua posita est. Ante hunc nulli cuiquam extra fines statuam a Lacedaemoniis erectam comperi. Archidamo vero, et ob alia *merita*, et mortis causa statuam in Olympia dedicandam censuerunt, quod et inter Barbaros occubuit, et unus ex omnibus Spartanorum regibus sepulturae honore caruit: quod ipsum ple-

ἐν τοῖς Σπαρτιατικοῖς λόγοις ἐς πλέον ἡμῖν δεδήλωται. Εὐάνθει δὲ Κυζικηνῷ γεγόνασι πυγμῆς νῖκαι, μία μὲν ἐν ἀνδράσιν Ὀλυμπιακὴ, Νεμείων δὲ ἐν παισὶ καὶ Ἰσθμίων. Πεποίηται δὲ παρὰ τὸν Εὐάνθη ἀνήρ τε ἱπποτρόφος καὶ τὸ ἅρμα, ἀναβεβηκυῖα δὲ ἐπὶ τὸ ἅρμα παῖς παρθένος. ὄνομα μὲν Λάμπος τῷ ἀνδρὶ, πατρὶς δὲ ἦν αὐτῷ νεωτάτη τῶν ἐν Μακεδονίᾳ πόλεων, καλουμένη δὲ ἀπὸ τοῦ οἰκιστοῦ Φιλίππου τοῦ Ἀμύντου. Κυνίσκῳ δὲ τῷ ἐκ Μαντινείας πύκτῃ παιδὶ ἐποίησε Πολύκλειτος τὴν εἰκόνα. 463
(7) Ἐργοτέλης δὲ ὁ Φιλάνορος δολιχοῦ δύο ἐν Ὀλυμπίᾳ νίκας, τοσαύτας δὲ ἄλλας Πυθοῖ καὶ ἐν Ἰσθμῷ τε καὶ Νεμείων ἀνῃρημένος, οὐχ Ἱμεραῖος εἶναι τὸ ἐξαρχῆς, καθάπερ γε τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ φησὶ, Κρὴς δὲ εἶναι λέγεται Κνώσσιος· ἐκπεσὼν δὲ ὑπὸ στασιωτῶν [ὑπὸ] Κνωσσοῦ, καὶ ἐς Ἱμέραν ἀφικόμενος, πολιτείας τετύχηκεν· ᾧ καὶ πολλὰ εὕρετο ἄλλα ἐς τιμήν. ἔμελλεν οὖν, ὡς τὸ εἰκὸς, Ἱμεραῖος ἐν τοῖς ἀγῶσιν ἀναγορευθήσεσθαι.

nius a me in commentario de rebus Laconicis expositum est. Euanthi Cyziceno pugili palma una evenit Olympica in virorum certamine; in puerorum, Nemiaca et Isthmica. Iuxta Euanthem vir est equorum studiosus, currusque, et puella currum conscendens. Lampus viro nomen: patria ei Macedoniae civitatum recentissima, cui a Philippo Amyntae filio nomen. Cynisco e Mantinea puero pugili statuam Polycletus fecit. (7) Ergoteles autem Philanoris filius, qui duas longioris curriculi in Olympia, totidem in Pythicis, Isthmicis, Nemeis palmas est adeptus, non Himeraeus fuit primitus, quod inscriptio indicat; sed Cretensis e Gnosso; unde seditione pulsus, ab Himeraeis, ad quos profugerat, est in civitatem receptus, et aliis item honoribus affectus: quare merito victor Himeraeus inscribitur.

CAPUT V.

Signum Polydamantis, qui statura corporis omnes superavit, heroibus exceptis — de Scotussae, Polydamantis patriae, fatis — Polydamantis alia, praeter victoriam Olympicam, fortiter facta narrantur — de Polydamantis interitu.

Ὁ δὲ ἐπὶ τῷ βάθρῳ τῷ ὑψηλῷ, Λυσίππου μὲν ἐστιν ἔργον, μέγιστος δὲ ἁπάντων ἐγένετο ἀνθρώπων, πλὴν τῶν ἡρώων καλουμένων, καὶ εἰ δή τι ἄλλο ἦν πρὸ τῶν ἡρώων θνητὸν γένος· ἀνθρώπων δὲ τῶν καθ' ἡμᾶς οὗτός ἐστιν ὁ μέγιστος Πουλυδάμας Νικίου. (2) Σκότουσσα δὲ ἡ τοῦ Πουλυδάμαντος πατρὶς οὐκ ᾠκεῖτο ἔτι ἐφ' ἡμῶν. Ἀλέξανδρος γὰρ τὴν πόλιν ὁ Φεραίων τυραννήσας κατέλαβε σπονδαῖς, καὶ Σκοτουσσαίων τούς τε ἐς τὸ θέατρον συνειλεγμένους (ἔτυχε γάρ σφισι καὶ ἐκκλησία τηνικαῦτα οὖσα) τούτους τε ἅπαντας κατηκόντισε, πελτασταῖς ἐν κύκλῳ περισχὼν καὶ τοξόταις, καὶ τὸ ἄλλο ὅσον ἐν ἡλικίᾳ κατεφόνευσε, γυναῖκας δὲ ἀπέδοτο καὶ παῖδας, μισθὸν εἶναι τὰ χρήματα τοῖς ξένοις. αὕτη Σκοτουσσαίοις ἡ συμφορὰ Φρασικλείδου μὲν Ἀθήνησιν ἐγένετο ἄρχον-

Cap. V. Iam vero qui e celsa pila eminet, quem Lysippus fecit, is omnium hominum, heroibus, et si qua fuit alia hominum ante heroas natio, exceptis, omnium certe aetatis nostrae hominum statura corporis maximus fuit, Polydamas Niciae filius, (2) cuius Patria Scotussa plane deleta est. Alexander enim Pheraeorum tyrannus foederibus, quibus erat cum illo coniuncta, violatis, de improviso urbem cepit; ac de Scotussaeis eos qui in theatrum confluxerant (forte enim eis tunc indicta erat concio) peltatorum et sagittariorum manu undique circumseptos ad unum omnes iaculis confedit; puberes etiam, quotquot essent, trucidandos curavit; foeminas et pueros *sub corona* vendidit: de precio mercenario militi stipendium dedit. Oppressit exitium hoc Scotussaeos Phrasiclide summum Athenis ma-

τος, δευτέρᾳ δὲ Ὀλυμπιάδι ἐπὶ ταῖς ἑκατὸν, ἣν Δάμων Θούριος ἐνίκα τὸ δεύτερον, ταύτης ἔτει δευτέρῳ τῆς Ὀλυμπιάδος. καὶ ὀλίγον τε ἔμενε τὸ διαφυγὸν τῶν Σκοτουσσαίων, καὶ αὖθις ὑπὸ ἀσθενείας ἐξέλιπον καὶ οὗτοι τὴν πόλιν, ὅτε καὶ τοῖς πᾶσιν Ἕλλησι προςπταῖσαι δεύτερα ἐν τῷ πρὸς Μακεδόνας πολέμῳ παρεσκεύασεν ὁ δαίμων. (3) Παγκρατίου μὲν δὴ καὶ ἄλλοις ἤδη γεγόνασιν ἐπιφανεῖς νῖκαι· Πουλυδάμαντι δὲ τάδε ἀλλοῖα παρὰ τοὺς 464
ἐπὶ τῷ παγκρατίῳ στεφάνους ὑπάρχοντά ἐστιν. ἡ ὀρεινὴ τῆς Θρᾴκης, ἡ ἔνδον Νέστου ποταμοῦ τοῦ ῥέοντος διὰ τῆς Ἀβδηριτῶν, καὶ ἄλλα θηρία, ἐν δὲ αὐτοῖς παρέχεται καὶ λέοντας, οἳ καὶ τῷ στρατῷ ποτε ἐπιθέμενοι τῷ Ξέρξου, τὰς ἀγούσας καμήλους τὰ σιτία ἐλυμήναντο. οὗτοι πολλάκις οἱ λέοντες καὶ ἐς τὴν περὶ τὸν Ὄλυμπον πλανῶνται χώραν. τούτου δὲ τοῦ ὄρους ἡ μὲν ἐς Μακεδονίαν πλευρὰ, ἡ δὲ ἐπὶ Θεσσαλοὺς καὶ τὸν ποταμὸν τέτραπται τὸν Πηνειόν. ἐνταῦθα ὁ Πουλυδάμας λέοντα ἐν

gistratum gerente, alterius et centesimae Olympiadis, qua secundum palmam Damon Thurius tulit, anno secundo. Rursus vero quum sua Graecos universos fortuna, altera iam clade fractos, Macedonum armis perculisset, Scotussaeos ad extremam imbecillitatem redactos, quos Alexandri crudelitas reliquos fecerat, belli metus eiecit. (3) Fuerunt et alii quidem maxime illustres de pancratio victoriis; verum ad Polydamantis titulos peculiaris quaedam accessit fortitudinis gloria, *cuius iam exempla aliquot referam.* Montana Thraciae regio, quae intra Nestum est, qui fluvius Abderitarum fines perlabitur, et alias *immanes* belluas, et leones alit. *Tam vero multi illic gignuntur, ut* in Xerxis camelos, qui commeatus convectabant, impetu facto, magnam eorum stragem olim fecerint. Errant hi plerumque per subiacentem Olympo monti agrum, eius enim montis latus alterum in Macedoniam, in Thessaliam alterum, et ad Peneum amnem, conversum est. In hoc ipso monte Poly-

τῷ Ὀλύμπῳ, μέγα καὶ ἄλκιμον θηρίον, κατειργάσατο οὐδενὶ ἐσκευασμένος ὅπλῳ. προήχθη δὲ ἐς τὸ τόλμημα φιλοτιμίᾳ πρὸς τὰ Ἡρακλέους ἔργα· ὅτι καὶ Ἡρακλέα ἔχει λόγος κρατῆσαι τοῦ ἐν Νεμέᾳ λέοντος. Ἕτερον δὲ ἐπὶ τούτῳ θαῦμα ὑπελίπετο ὁ Πουλυδάμας ἐς μνήμην. ἐς ἀγέλην ἐσελθὼν βοῶν, τὸν μέγιστον καὶ ἀγριώτατον λαβὼν τοῦ ἑτέρου τῶν ὄπισθεν ποδῶν, τὰς χηλὰς κατεῖχεν ἄκρας, καὶ πηδῶντα καὶ ἐπειγόμενον οὐκ ἀνίει, πρίν γε δὴ ὁ ταῦρος ὀψέ ποτε καὶ ἐς ἅπαν ἀφικόμενος βίας, ἀπέφυγεν ἀφεὶς ταύτῃ τῷ Πουλυδάμαντι τὰς χηλάς. Λέγεται δὲ καὶ ὡς ἄνδρα ἡνίοχον ἐλαύνοντα σπουδῇ τὸ ἅρμα ἐπέσχε τοῦ πρόσω· λαβόμενος γὰρ τῇ ἑτέρᾳ τῶν χειρῶν ὄπισθεν τοῦ ἅρματος, ὁμοῦ καὶ τοὺς ἵππους πεδήσας καὶ τὸν ἡνίοχον εἶχε. Δαρεῖος δὲ Ἀρταξέρξου παῖς νόθος, ὃς ὁμοῦ τῷ Περσῶν δήμῳ Ἰσόγαιον καταπαύσας παῖδα Ἀρταξέρξου γνήσιον, ἔσχεν ἀντ' ἐκείνου τὴν ἀρχὴν· οὗτος ὡς ἐβασίλευσεν ὁ Δαρεῖος (ἐπυνθάνετο γὰρ τοῦ Πουλυδάμαντος τὰ ἔργα) πέμπων ἀγγέλους ὑπισχνούμε-

damas prorsus inermis, ingentem et praeferocem leonem confecit, quum in hoc se periculum Herculis incensus aemulatione demisisset. Illum enim ad Nemean leonem stravisse, fama vulgavit. Alterum etiam edidit memorabilis *fortitudinis* miraculum: apprehensum e grege medio maximum et ferocissimum taurum posteriorum pedum altero, subsultantem et contranitentem tam obnixe detinuit, ut vix, et relictis quidem ungulis, effugere potuerit. Aiunt eundem Polydamantem incitante equos auriga, altera tantum manu retractos a tergo currus sistere solitum. Hac fama impulsus Darius, Artaxerxis ex pallaca filius, is qui multitudinis Persarum studiis fretus Isogaeum legitimum Artaxerxis filium regno expulit, Polydamantem *magnis* per legatos donis et promissis invitatum Susa ad se evocavit. Quo quum venisset, unus ex provocatione tres de *cohorte regia* (qui immortales vocabantur) catervatim se oppugnantes occidit.

τος δῶρα, ἀνέπεισεν αὐτὸν ἐς Σοῦσά τε καὶ ἐς ὄψιν ἀφικέσθαι τὴν αὐτοῦ. ἔνθα δὴ κατὰ πρόκλησιν Περσῶν ἄνδρας τῶν καλουμένων ἀθανάτων ἀριθμὸν τρεῖς, ἀθρόους οἱ μονομαχήσαντας, ἀπέκτεινεν. ἔργων δὲ τῶν κατειλεγμένων οἱ τὰ μὲν ἐπὶ τῷ βάθρῳ τοῦ ἀνδριάντος ἐν Ὀλυμπίᾳ, τὰ δὲ καὶ δηλούμενά ἐστιν ὑπὸ τοῦ ἐπιγράμ- 465
ματος. (4) Ἔμελλε δὲ ἄρα τὸ ὑπὸ Ὁμήρου προθεσπισθὲν ἄλλους τε τῶν φρονησάντων ἐπὶ ἰσχύϊ, καὶ Πουλυδάμαντα ἐπιλήψεσθαι, καὶ ὑπὸ τῆς αὐτοῦ ῥώμης ἔμελλεν ἀπολεῖσθαι καὶ οὗτος. εἰς σπήλαιον γὰρ οἵ τε ἄλλοι τῶν συμποτῶν καὶ ὁ Πουλυδάμας ἐσῆλθεν ὥρᾳ θέρους. καί πως οὐ κατά τινα ἀγαθὸν δαίμονα ἡ κορυφὴ τηνικαῦτα τοῦ σπηλαίου κατεῤῥήγνυτο, καὶ δῆλα ἦν ὡς αὐτίκα ἐμπεσεῖσθαι καὶ χρόνον οὐκ ἐπὶ πολὺν ἔμελλεν ἀνθέξειν. γενομένης δὲ αἰσθήσεως τοῦ ἐπιόντος κακοῦ, καὶ τρεπομένων ἐς φυγὴν τῶν λοιπῶν, παρέστη καταμεῖναι τῷ Πουλυδάμαντι, καὶ ἀνέσχε τὰς χεῖρας, ὡς ἐπιπίπτοντι ἀνθέξων τῷ σπηλαίῳ, καὶ οὐ βιασθησόμενος ὑπὸ τοῦ ὄρους. τούτῳ μὲν ἐνταῦθα ἐγένετο ἡ τελευτή.

Quae commemoravi facinora, partim in statuae basi spectantur, partim vero inscriptione testante cognoscuntur. Atenim Polydamanti virium suarum fiducia, quam exitio multis esse solere Homerus carminibus vaticinatus est, perniciem attulit. Nam quum per aestatem speluncam intrasset cum aliquot sodalibus *in opaco* accubiturus, fors minus aequa ita tulit, ut superior speluncae pars late fatisceret. Ibi Polydamas ceteris imminentis periculi metu delapsis quasi unus tantam labem sustinere posset, sublatis manibus montem fulcire conatus, ruinae mole oppressus est.

CAPUT VI.

Continuatur recensio signorum athletarum Olympiae positorum — de Euthymo pugili — Herois daemonis cultu Temessae instituto, eoque ab Euthymo superato — pictura huc pertinente.

Ἐν δὲ Ὀλυμπίᾳ παρὰ τοῦ Πουλυδάμαντος τὸν ἀνδριάντα, δύο τε ἐκ τῆς Ἀρκάδων, καὶ Ἀττικὸς ὁ τρίτος ἕστηκεν ἀθλητής. τὸν μὲν δὴ Μαντινέα Πρωτόλαον Διάλκους, πυγμῇ παῖδας κρατήσαντα, ὁ Ῥηγῖνος Πυθαγόρας· Ναρυκίδαν δὲ τὸν Δαμαρέτου παλαιστὴν ἄνδρα ἐκ Φιγαλίας, Σικυώνιος Δαίδαλος· Καλλίᾳ δὲ Ἀθηναίῳ παγκρατιαστῇ τὸν ἀνδριάντα ἀνὴρ Ἀθηναῖος Μίκων ἐποίησεν ὁ ζωγράφος. Νικοδάμου δὲ ἔργον τοῦ Μαιναλίου παγκρατιαστής ἐστιν ἐκ Μαινάλου δύο νίκας ἐν ἀνδράσιν ἀνελόμενος Ἀνδροσθένης Λοχαίου. Ἐπὶ δὲ τούτοις Εὐκλῆς ἀνάκειται Καλλιάνακτος, γένος μὲν Ῥόδιος, οἴκου δὲ τοῦ Διαγοριδῶν· Διαγόρου γὰρ θυγατρὸς παῖς ἦν· ἐν δὲ ἀνδράσι πυγμῆς ἔσχεν Ὀλυμπιακὴν νίκην. τούτου μεν δὴ ἡ εἰκὼν Ναυκύδους ἐστὶν ἔργον. Πολύκλειτος δὲ Ἀργεῖος, οὐχ ὁ τῆς Ἥρας τὸ ἄγαλμα ποιήσας,

Cap. VI. Prope Polydamantem statuae erectae athletis tribus: eorum unum, Mantinensem scilicet Protolaum Dialcis filium, qui pueros in pugilatu vicit, Rheginus Pythagoras fecit: Narycidam Damareti filium palaestritam e Phigalia, Sicyonius Daedalus: Callian Atheniensem pancratiasten Micon pictor, et ipse Atheniensis. At Maenalium pancratiasten, Androsthenem Lochaei filium, qui duas tulit viriles palmas, Maenalius item Nicodamus fecit. Post hos Eucles statuae honorem habet Callianactis filius Rhodius, e domo Diagoridarum *materno genere*, quippe qui e Diagorae filia genitus est. Olympicam hic coronam cepit de virorum pugilatu: Naucydes opifex fuit. Palaestritam vero puerum, Thebanum Agenorem, Polycletus Argivus elaboravit,

μαθητὴς δὲ Ναυκύδους, παλαιστὴν παῖδα εἰργάσατο, Θη-
βαῖον Ἀγήνορα· ἀνετέθη δὲ ἡ εἰκὼν ὑπὸ τοῦ Φωκέων
κοινοῦ. Θεόπομπος γὰρ ὁ πατὴρ τοῦ Ἀγήνορος πρόξε-
νος τοῦ ἔθνους ἦν αὐτῶν. Νικόδαμος δὲ ὁ πλάστης ὁ
ἐκ Μαινάλου Δαμοξενίδαν ἄνδρα πύκτην ἐποίησεν ἐκ
Μαινάλου. Ἕστηκε δὲ καὶ Λαστρατίδα παιδὸς εἰκὼν
Ἠλείου, πάλης ἀνελομένου στέφανον· ἐγένετο δὲ αὐτῷ
καὶ Νεμείων ἔν τε παισὶ καὶ ἀγενείων ἑτέρα νίκη. Πα-
ραβάλλοντι δὲ τῷ Λαστρατίδα πατρὶ ὑπῆρξε μὲν διαύλου 466
παρελθεῖν δρόμῳ, ὑπέλειπε δὲ καὶ ἐς τοὺς ἔπειτα φιλο-
τιμίας, τῶν νικησάντων Ὀλυμπίασι τὰ ὀνόματα ἀναγρά-
ψας ἐν γυμνασίῳ τῷ ἐν Ὀλυμπίᾳ. τὰ μὲν δὴ ἐς τούτους
εἶχεν οὕτω. (2) Τὰ δὲ ἐς Εὔθυμον τὸν πύκτην, οὔ με
εἰκὸς ὑπερβαίνειν ἦν τὰ ἐς τὰς νίκας αὐτῷ καὶ τὰ ἐς
δόξαν ὑπάρχοντα τὴν ἄλλην. γένος μὲν δὴ ἦν ὁ Εὔθυ-
μος ἐκ τῶν ἐν Ἰταλίᾳ Λοκρῶν, οἳ χώραν τὴν πρὸς τῷ
Ζεφυρίῳ τῇ ἄκρᾳ νέμονται, πατρὸς δὲ ἐκαλεῖτο Ἀστυ-
κλέους· εἶναι δὲ αὐτὸν οὐ τούτου, ποταμοῦ δὲ οἱ ἐπι-

non idem sane, qui Iunonis signum fecit, sed *omnino alius, qui* Naucydae discipulus fuit. Huic Agenori Phocensium commune statuam posuit, quod Theopompus Agenoris pater Phocicae gentis publicus apud Thebanos esset hospes. *Idem certe* Nicodamus e Maenalo fictor, *cuius paullo ante mentionem feci*, Damoxenidam pugilem Maenalium finxit. Est ibidem Lastratidae Elei pueri imago, qui de lucta coronam cepit, quum idem de impuberibus alteram e Nemeis tulisset. Paraballonti quidem Lastratidae huius patri, de curriculo iterato palma decreta est. Traditus vero posteris mos est, quo famae perpetuitati consuleretur, ut victorum nomina in Olympico gymnasio conscriberentur. (2) Non praeterierim hoc loco, quae de Euthymi pugilis victoriis, deque reliqua eius gloria memoriae prodita sunt. Patria ei fuit Locri in Italia ad Zephyrium promontorium, pater Astycles: etsi cives eum sui Caecinae amnis satu genitum

χώριοι τοῦ Καικίνου φασίν, ὃς τὴν Λοκρίδα καὶ Ῥηγίνην ὁρίζων τὸ ἐς τοὺς τέττιγας παρέχεται θαῦμα. οἱ μὲν γὰρ τέττιγες οἱ ἐντὸς τῆς Λοκρίδος ἄχρι τοῦ Καικίνου κατὰ τὰ αὐτὰ τοῖς ἄλλοις τέττιξιν ᾄδουσι· διαβάντων δὲ τὸν Καικίνον οὐδεμίαν ἔτι οἱ ἐν τῇ Ῥηγίνῃ τέττιγες ἀφιᾶσι [τὴν] φωνήν. τούτου μὲν δὴ παῖδα εἶναι λέγεται τὸν Εὔθυμον. ἀνελομένῳ δέ οἱ πυγμῆς ἐν Ὀλυμπίᾳ νίκην τετάρτῃ πρὸς ταῖς ἑβδομήκοντα Ὀλυμπιάδι, οὐ κατὰ τὰ αὐτὰ ἐς τὴν ἐπιοῦσαν Ὀλυμπιάδα ἔμελλε χωρήσειν. Θεαγένης γὰρ ὁ Θάσιος Ὀλυμπιάδι ἐθέλων τῇ αὐτῇ πυγμῆς τε ἀνελέσθαι καὶ παγκρατίου νίκας, ὑπερεβάλλετο πυκτεύων τὸν Εὔθυμον. οὐ μὴν οὐδὲ ὁ Θεαγένης ἐπὶ τῷ παγκρατίῳ λαβεῖν ἐδυνήθη τὸν κότινον, ἅτε προκατεργασθεὶς τῇ μάχῃ πρὸς τὸν Εὔθυμον. ἐπὶ τούτῳ δὲ ἐπιβάλλουσιν οἱ Ἑλλανοδίκαι τῷ Θεαγένει τάλαντον μὲν ἱερὰν ἐς τὸν θεὸν ζημίαν, τάλαντον δὲ βλάβης τῆς ἐς Εὔθυμον, ὅτι ἐπηρείᾳ τῇ ἐς ἐκεῖνον ἐδόκει σφίσιν ἐπανελέσθαι τὸ ἀγώνισμα τῆς πυγμῆς· τούτων ἕνεκα καταδικάζουσιν αὐτὸν ἐκτῖσαι καὶ ἰδίᾳ τῷ Εὐθύμῳ χρήματα.
467 ἕκτῃ δὲ Ὀλυμπιάδι ἐπὶ ταῖς ἑβδομήκοντα, τὸ μὲν τῷ θεῷ

memorant. [1] Fluvius hic Locrensem agrum a Rhegino dividens, cicadarum miraculo est memorabilis. Citeriores enim, Locridis incolae, aeque atque aliae omnes argutae sunt: at in Rheginorum finibus trans Caecinam nulla est omnino cicada vocalis. Huius itaque amnis Euthymus filius fuisse dicitur. Is quum ex Olympia de pugilatu palmam tulisset quarta et septuagesima Olympiade, haudquaquam pari eventu ea, quae consecuta est, Olympiade certavit. Theagenes enim Thasius unis ludis pugilatus et pancratii palmam appetens, Euthymum quidem caestibus vicit; oleaginam vero de pancratio non accepit, quod fraude adversarium circumvenisse iudicatus pugna superiore, aedilium sententia talentum unum Iovi, sacram multam, alterum item talentum Euthymo, ad luendam contumeliae noxam, iussus est pendere. Et in Olympiade quidem sexta supra septuagesimam

τοῦ ἐπιτιμίου γινόμενον ἐξέτισεν ὁ Θεαγένης, καὶ ἀμειβόμενος αὐτὸν οὐκ ἐσῆλθεν ἐπὶ τὴν πυγμήν· καὶ ἐπ' ἐκείνης τε αὐτῆς καὶ ἐπὶ τῆς μετ' ἐκείνην Ὀλυμπιάδος τὸν ἐπὶ πυγμῇ στέφανον ἀνείλετο ὁ Εὔθυμος. ὁ δέ οἱ ἀνδριὰς τέχνη τέ ἐστιν Πυθαγόρου, καὶ θέας ἐς τὰ μάλιστα ἄξιος. (3) Ἐπανήκων δὲ ἐς Ἰταλίαν, τότε δὴ ἐμαχέσατο πρὸς τὸν Ἥρω. τὰ δὲ ἐς αὐτὸν εἶχεν οὕτως. Ὀδυσσέα πλανώμενον μετὰ ἅλωσιν τὴν Ἰλίου, κατενεχθῆναί φασιν ὑπὸ ἀνέμων ἔς τε ἄλλας τῶν ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ πόλεων, ἀφικέσθαι δὲ καὶ ἐς Τεμέσαν ὁμοῦ ταῖς ναυσί· μεθυσθέντα οὖν ἐνταῦθα ἕνα τῶν ναυτῶν παρθένον βιάσασθαι, καὶ ὑπὸ τῶν ἐπιχωρίων ἀντὶ τούτου καταλευσθῆναι τοῦ ἀδικήματος. Ὀδυσσέα μὲν δὴ ἐν οὐδενὶ λόγῳ θέμενον αὐτοῦ τὴν ἀπώλειαν, ἀποπλέοντα οἴχεσθαι· τοῦ καταλευσθέντος δὲ ἀνθρώπου τὸν δαίμονα οὐδένα ἀνιέναι καιρὸν ἀποκτείνοντά τε ὁμοίως τοὺς ἐν τῇ Τεμέσῃ καὶ ἐπεξερχόμενον ἐπὶ πᾶσαν ἡλικίαν· ἐς ὃ ἡ Πυθία τὸ παράπαν ἐκ Ἰταλίας ὡρμημένους φεύγειν,

Iovi Theagenes, quod erat imperatum argenti, exsolvit: reliquum multae recusans, in pugilatum non descendit. Illa itaque et altera deinceps Olympiade, Euthymo pugilatus corona decreta. Statua eius Rhegini Pythagorae opus fuit, cum primis, quae spectetur, dignissima. (6) In Italiam is quum transmisisset, pugnam cum heroe commisit: de quo, quae sunt memoriae prodita, sic propemodum se habent. Ulyssem aiunt errantem, everso iam Ilio, tempestatibus huc illuc et ad alias Italiae ac Siciliae urbes, et Temessam etiam appulsum: ibi de navalibus sociis eius unum virgine per vinum violata, ab oppidanis contumeliam vindicantibus lapidibus obrutum: Ulyssem quidem nulla factum ulciscendi inita ratione inde profectum: perempti vero socii manes finem nullum saeviendi in cuiuslibet aetatis homines fecisse, priusquam cogitantes patriam relinquere Temessenses, quo eam pestem effugerent, Pythici Apollinis responso heroem

Τεμέσσην μὲν ἐκλιπεῖν οὐκ εἴα, τὸν δὲ Ἥρω σφᾶς ἐκέλευσεν ἱλάσκεσθαι, τέμενός τε ἀποτεμομένους οἰκοδομήσασθαι νεών, διδόναι δὲ κατὰ ἔτος αὐτῷ γυναῖκα τῶν ἐν Τεμέσσῃ παρθένων τὴν καλλίστην. τοῖς μὲν δὴ τὰ ὑπὸ τοῦ θεοῦ προστεταγμένα ὑπουργοῦσι δεῖμα ἀπὸ τοῦ δαίμονος ἐς τὰ ἄλλα ἦν οὐδέν. Εὔθυμος δὲ (ἀφίκετο γὰρ ἐς τὴν Τεμέσσαν, καί πως τηνικαῦτα τὸ ἔθος ἐποιεῖτο τῷ δαίμονι) πυνθάνεται τὰ παρόντα σφίσιν, καὶ ἐσελθεῖν τε ἐπεθύμησεν ἐς τὸν ναόν, καὶ τὴν παρθένον ἐσελθὼν θεάσασθαι. ὡς δὲ εἶδε, τὰ μὲν πρῶτα ἐς οἶκτον, δεύτερα δὲ ἀφίκετο καὶ ἐς ἔρωτα αὐτῆς. καὶ ἡ παῖς τε συνοικήσειν κατώμνυτο σώσαντι αὐτήν, καὶ ὁ Εὔθυμος ἐνσκευασάμενος ἔμενε τὴν ἔφοδον τοῦ δαίμονος· ἐνίκα τε δὴ τῇ μάχῃ, καί, ἐξηλαύνετο γὰρ ἐκ τῆς γῆς,
468 ὁ Ἥρως ἀφανίζεταί [τε] καταδὺς ἐς θάλασσαν. καὶ γάμος τε ἐπιφανὴς Εὐθύμῳ, καὶ ἀνθρώποις τοῖς ἐνταῦθα ἐλευθερία τοῦ λοιποῦ σφίσιν ἦν ἀπὸ τοῦ δαίμονος. ἤκουσα δὲ καὶ τοιόνδε ἔτι ἐς τὸν Εὔθυμον, ὡς γήρως τε ἐπὶ

placare iussi sunt, et consecrato ei solo templum excitare: devovere ei praeterea quotannis virginem unam, quae ipsis formosissima visa esset. Quod quum illi ex oraculo facere pergerent, nihil omnino gravius dehinc passi sunt. Forte vero quum venisset Euthymus Temessam, eo ipso tempore, quo solenne numini sacrum fiebat, re tota cognita, se intromitti illum aiunt in templum postulasse. Ibi virginem conspicatum, primo misericordia commotum, deinde etiam amore incensum; ac puellam quidem, si ab eo servata esset, se in eius manum conventuram fidem dedisse. Armis igitur captis cum genio congressum; illum victum moenibus et agro excessisse, sublatumque prorsus ex hominum coetu in mare se demersisse. Fuisse memorant, civitate universa foedissima calamitate liberata, maxime illustres Euthymi nuptias. De eodem vero Euthymo et illud *ex antiquitatis monumentis* accepimus: longissimam eum aetatem

μακρότατον ἀφίκοιτο, καὶ ὡς ἀποθανεῖν ἐκφυγὼν, αὖθις ἕτερόν τινα ἐξ ἀνθρώπων [ἄλλον] ἀπέλθοι τρόπον. οἰκεῖσθαι δὲ τὴν Τεμέσσαν καὶ ἐς ἐμὲ, ἀνδρὸς ἤκουσα πλεύσαντος κατὰ ἐμπορίαν. (4) Τόδε μὲν ἤκουσα, γραφῇ δὲ τοιᾷδε ἐπιτυχὼν οἶδα. ἦν δὲ αὕτη γραφῆς μίμημα ἀρχαίας. Νεανίσκος Σύβαρις, καὶ Κάλαβρός τε ποταμὸς, Καλύκα πηγὴ, πρὸς δὲ ἡρῷόν τε καὶ Τεμέσσα ἦν ἡ πόλις, ἐν δέ σφισι καὶ δαίμων, ὅντινα ἐξέβαλεν ὁ Εὔθυμος, χρόαν δὲ δεινῶς μέλας, καὶ τὸ εἶδος ἅπαν ἐς τὰ μάλιστα φοβερὸς, λύκου δὲ ἀμπίσχετο δέρμα ἐσθῆτα· ἐτίθετο δὲ καὶ ὄνομα Λύβαντα τὰ ἐπὶ τῇ γραφῇ γράμματα. ταῦτα μὲν δὴ ἐς τοσοῦτον εἰρήσθω.

CAPUT VII.

Statua Diagorae et Diagoridarum — de Dorieo eiusque morte — porro recensentur athletarum signa Olympiae posita.

Μετὰ δὲ τὸν ἀνδριάντα τοῦ Εὐθύμου, Πύθαρχός τε ἕστηκε Μαντινεὺς σταδιοδρόμος, καὶ πύκτης Ἠλεῖος Χαρμίδης, λαβόντες νίκας ἐπὶ παισί. Θεασάμενος δὲ καὶ

vivendo implesse, neque omnino mortuum, sed alio quodam modo hominem esse desiisse. Habitari hac etiamnum aetate Temessam, ex nautici negotiatoris oratione cognovi. (4) Haec ego auditu percepi: sed memini etiam me in hanc incidere picturam, quae ex vetusto exemplari accurata imitatione fuerat descripta: Adolescentulus Sybaris, Calabrus fluvius, Calyca fons. Hera insuper et Temessa urbes fuere; in iis genius, quem eiecit Euthymus: colore fuit is vehementer atro, omnique cetera specie maxime formidabilis; amictus, lupi pellis erat: Lybantem nomine eae literae produnt. Sed haec hactenus.

Cap. VII. Post Euthymi statuam, suae sunt positae Pytharcho Mantinensi stadii decursori, et Charmidi Eleo pugili, pueriles utrique palmas adeptis. Hos ubi spectave-

τούτους, ἐπὶ τῶν Ῥοδίων ἀθλητῶν ἀφίξῃ τὰς εἰκόνας, Διαγόραν καὶ τὸ ἐκείνου γένος. οἱ δὲ συνεχεῖς τε ἀλλήλοις καὶ ἐν κόσμῳ τοιῷδε ἀνέκειντο· Ἀκουσίλαος μὲν λαβὼν πυγμῆς ἐν ἀνδράσι στέφανον, Δωριεὺς δὲ ὁ νεώτατος παγκρατίῳ νικήσας Ὀλυμπιάσιν ἐφεξῆς τρισί. πρότερον δ' ἔτι τοῦ Δωριέως ἐκράτησε καὶ Δαμάγητος τοὺς ἐσελθόντας ἐς τὸ παγκράτιον· οὗτοι μὲν ἀδελφοί τε εἰσὶ καὶ Διαγόρου παῖδες. ἐπὶ δὲ αὐτοῖς κεῖται καὶ ὁ Διαγόρας, πυγμῆς ἐν ἀνδράσιν ἀνελόμενος νίκην· τοῦ Διαγό-
469 ρου δὲ τὴν εἰκόνα Μεγαρεὺς εἰργάσατο Καλλικλῆς Θεοκόσμου, τοῦ ποιήσαντος τὸ ἄγαλμα ἐν Μεγάροις τοῦ Διός. Διαγόρου δὲ καὶ οἱ τῶν θυγατέρων παῖδες πύξ τε ἤσκησαν, καὶ ἔσχον Ὀλυμπιακὰς νίκας· ἐν μὲν ἀνδράσιν Εὐκλῆς, Καλλιάνακτός τε ὢν καὶ Καλλιπατείρας τῆς Διαγόρου, Πεισίδωρος δὲ ἐν παισίν, ὃν ἡ μήτηρ ἀνδρὸς ἐπιθεμένη γυμναστοῦ σχῆμα ἐπὶ τῶν Ὀλυμπίων αὐτὴ τὸν ἀγῶνα ἤσκησεν. οὗτος δὲ ὁ Πεισίδωρος καὶ ἐν τῇ Ἄλτει παρὰ τῆς μητρὸς τὸν πατέρα ἕστηκε. Διαγόραν δὲ καὶ ὁμοῦ τοῖς παισὶν Ἀκουσιλάῳ καὶ Δαμαγήτῳ λέ-

ris, in conspectu erunt Rhodii athletae, Diagoras, et eius omnis proles perpetua serie collocati. *Primus eorum est* Acusilaus de virili pugilatu accepta corona. Succedit Dorieus natu minimus, cui de pancratio Olympiadibus continuis tribus victoria adiudicata est. Sed ante Dorieum Damagetus quoque pancratii competitores vicerat. Atque hi quidem fratres fuere, Diagorae filii. Postremus est ipse Diagoras: virilem is pugilum palmam meruit. Eius Diagorae statuam elaboravit Callicles Megarensis, Theocosmi filius, eius nempe, qui signum Iovis Megarensis fecit. Diagorae etiam e filiabus nepotes Olympiacas coronas de pugilatu meruere: virilem Eucles, e Callianacte et Callipatira Diagorae filia genitus: puerilem Pisidorus, quem mater ipsa in gymnici magistri modum ornata, ad ludos tirocinio deduxit. Positus hic Pisidorus in Alti proxime ad avi materni statuam. Diagoram ipsum tradunt Acusilaum et Da-

γοντας ἐς Ὀλυμπίαν ἐλθεῖν. νικήσαντες δὲ οἱ νεανίσκοι διὰ τῆς πανηγύρεως τὸν πατέρα ἔφερον, βαλλόμενόν τε ὑπὸ τῶν Ἑλλήνων ἄνθεσι καὶ εὐδαίμονα ἐπὶ τοῖς παισὶ καλούμενον. γένος δὲ ὁ Διαγόρας τὸ ἐξ ἀρχῆς Μεσσήνιος πρὸς γυναικῶν ἦν, καὶ ἀπὸ τῆς Ἀριστομένους ἐγεγόνει θυγατρός. (2) Δωριεῖ δὲ τῷ Διαγόρου παρεξῆς Ὀλυμπιάσιν, Ἰσθμίων μὲν γεγόνασιν ὀκτὼ νῖκαι, Νεμείων δὲ ἀποδέουσαι μιᾶς ἐς τὰς ὀκτώ· λέγεται δὲ καὶ ὡς Πύθια ἀνέλοιτο ἀκονιτί. ἀνηγορεύοντο δὲ οὗτός τε καὶ ὁ Πεισίδωρος Θούριοι, διωχθέντες ὑπὸ τῶν ἀντιστασιωτῶν ἐκ τῆς Ῥόδου, καὶ ἐς Ἰταλίαν παρὰ Θουρίους ἀπελθόντες. χρόνῳ δὲ ὕστερον κατῆλθεν ὁ Δωριεὺς ἐς Ῥόδον· καὶ φανερώτατα δὴ ἁπάντων ἀνὴρ εἷς φρονήσας οὗτος τὰ Λακεδαιμονίων φαίνεται, ὥστε καὶ ἐναυμάχησεν ἐναντία Ἀθηναίων ναυσὶν οἰκείαις· ἐς ὃ ὑπὸ τριήρων ἁλοὺς Ἀττικῶν ἀνήχθη ζῶν παρὰ Ἀθηναίους· οἱ δὲ Ἀθηναῖοι πρὶν μὲν ἢ Δωριέα παρὰ σφᾶς ἀναχθῆναι, θυμῷ τε ἐς αὐτὸν καὶ ἀπειλαῖς ἐχρῶντο· ὡς δὲ ἐς ἐκκλησίαν συνελ-

magetum filios in Olympiam deduxisse; quem, victores iam declarati iuvenes, per mediam multitudinem, quae ad solennes istos ludos maxima frequentia convenerat, *humeris* exportarunt, coniicientibus in eum flores Graecis, et liberum causa *cum plausu* beatum praedicantibus. Duxit maternum genus Diagoras a Messene, atque adeo ab ipsius Aristomenis filia. (2) Eius filius Dorieus praeter Olympiacas palmas, octo continuatis victoriis Isthmicas, una pauciores e Nemeis abstulit. Pythicam etiam intacto pulvere coronam cepisse dicitur. Hic et Pisidorus praeconis voce renunciati sunt Thurii, quod illi, Rhodo a factione pulsi, Thurios in Italiam commigrassent. Verum Dorieus aliquot post annis Rhodum postliminio reversus, unus omnium apertissime Lacedaemoniorum studia est professus: quocirca et propriis triremibus navali bello cum Atheniensibus pugnavit. Quo tempore quum vivus in potestatem hostium venisset, et Athenas pertractus esset, Athenienses, qui ante vehemente ira impulsi extrema omnia

θόντες, ἄνδρα οὕτω μέγαν καὶ δόξης ἐς τοσοῦτον ἥκοντα ἐθεάσαντο ἐν σχήματι αἰχμαλώτου, μεταπίπτει σφίσιν ἐς αὐτὸν ἡ γνώμη, καὶ ἀπελθεῖν ἀφιᾶσιν, οὐδὲ ἔργον οὐδὲν ἄχαρι ἐργάζονται, παρόν σφισι πολλά τε καὶ σὺν τῷ δικαίῳ δρᾶσαι. Τὰ δὲ ἐς τοῦ Δωριέως τὴν τελευτὴν, ἔστιν ἐν τῇ συγγραφῇ τῇ Ἀτθίδι Ἀνδροτίωνι εἰρημένα· εἶναι μὲν τηνικαῦτα ἐν Καύνῳ τὸ βασιλέως ναυτικὸν, καὶ Κόνωνα ἐπ' αὐτῷ στρατηγὸν, Ῥοδίων τε τὸν δῆμον πεισθέντα ὑπὸ τοῦ Κόνωνος, ἀπὸ Λακεδαιμονίων μεταβαλέσθαι σφᾶς ἐς τὴν βασιλέως καὶ Ἀθηναίων συμμαχίαν. Δωριέα δὲ ἀποδημεῖν μὲν τότε ἐκ Ῥόδου περὶ τὰ ἐκτὸς Πελοποννήσου χωρία· συλληφθέντα δὲ ὑπὸ ἀνδρῶν Λακεδαιμονίων αὐτὸν, καὶ ἀναχθέντα ἐς Σπάρτην, ἀδικεῖν τε ὑπὸ Λακεδαιμονίων καταγνωσθῆναι, καὶ ἐπιβληθῆναί οἱ θάνατον ζημίαν. εἰ δὲ τὸν ὄντα εἶπεν Ἀνδροτίων λόγον, ἐθέλειν μοι φαίνεται Λακεδαιμονίους ἐς τὸ ἴσον ἔτι Ἀθηναίοις καταστῆσαι· ὅτι καὶ Ἀθηναίοις ἐς Θράσυλλον καὶ τοὺς ἐν Ἀργινούσαις ὁμοῦ τῷ Θρα-

illi fuerant comminati, simulatque in concionem captivi habitu productum conspexerunt, tanti viri, cuiusque nomen tam insigni gloria fuisset, miseratione adducti, conversa ad mansuetudinem sententia, incolumem et impunitum dimiserunt, quum tamen multas haberent iusti in eum odii caussas. Quae ad eius vitae exitum pertinent, perscripta sunt ab Androtione in rerum Atticarum commentariis. Quum ad Caudum, inquit, esset regia classis, eiusque classis imperator Conon populo Rhodio persuasisset, ut desertis Lacedaemoniis in regis et Atheniensium societatem transiverit, Dorieum peregrinantem circa Peloponnesum comprehensum, ad Spartam in vinculis deductum, ibique a Lacedaemoniis maiestatis damnatum, noxam capitali supplicio luisse. Quod si vera omnino exponit Androtion, videtur mihi voluisse eiusdem temeritatis Lacedaemonios arguere, cuius crimine se obligarunt Athenienses, quum Thrasyllum et collegas, qui ad Arginussas classe pugnaverant, capite damnarunt. Ac

σύλλῳ στρατηγήσαντας, προπετείας ἐστὶν ἔγκλημα. Διαγόρας μὲν δὴ καὶ τὸ ἀπ' αὐτοῦ γένος δόξης ἐς τοσοῦτο ἀφίκοντο. (3) Ἐγένοντο δὲ καὶ Ἀλκαινέτῳ τῷ Θεάντου Λεπρεάτῃ καὶ αὐτῷ καὶ τοῖς παισὶν Ὀλυμπικαὶ νῖκαι. αὐτός μέν γε πυκτεύων ὁ Ἀλκαίνετος ἔν τε ἀνδράσι καὶ πρότερον ἔτι ἐπεκράτησεν ἐν παισίν; Ἑλλάνικον δὲ τὸν Ἀλκαινέτου καὶ Θέαντον ἐπὶ πυγμῇ παίδων ἀναγορευθῆναι τὸν μὲν ἐνάτῃ πρὸς ταῖς ὀγδοήκοντα Ὀλυμπιάδι, τὸν δὲ τῇ ἐφεξῆς ταύτῃ συνέβη τὸν Θέαντον· καί σφισιν ἀνδριάντες ἅπασιν ἐν Ὀλυμπίᾳ κεῖνται. Ἐπὶ δὲ τοῦ Ἀλκαινέτου τοῖς υἱοῖς, Γνάθων τε Διπαιεὺς τῆς Μαιναλίων χώρας καὶ Λυκῖνος ἕστηκεν Ἠλεῖος· κρατῆσαι δὲ Ὀλυμπιάσι πυγμῇ παῖδας ὑπῆρξε καὶ τούτοις. Γνάθωνα δὲ καὶ ἐς τὰ μάλιστα, ὅτε ἐνίκησεν, εἶναι νέον, τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ φησι. Καλλικλέους δὲ τοῦ Μεγαρέως ποίημα ὁ ἀνδριάς ἐστιν. Ἀνὴρ δὲ ἐκ Στυμφήλου Δρομεὺς ὄνομα, καὶ δὴ καὶ ἔργον τοῦτο ἐπὶ δολιχῷ παρεσχημένος, δύο μὲν ἔσχεν ἐν Ὀλυμπίᾳ νίκας, τοσαύτας δὲ ἄλλας Πυθοῖ, καὶ Ἰσθμίων τε τρεῖς, καὶ ἐν Νεμέᾳ πέντε. Λέ-

Diagoras quidem et eius posteritas haec ad ipsorum gloriam, quae commemorari possent, reliquerunt. (3) Sedenim et Alcaenetus Lepreates, Theanti filius, cum suis liberis Olympicas palmas tulit. Ipse quidem virilem e caestuum certamine, quum ante etiam puerilem *inter secundarios* cepisset: Hellanicus et Theantus eius filii victores de puerili pugilatu renunciati sunt; ille nona et octogesima Olympiade, hic proxima posteriore: et horum suae spectantur in Olympia statuae. Succedunt Alcaeneti filiis Gnatho Dipaeensis ex Maenaliorum finibus, et Lycinus Eleus: horum etiam uterque victor puerili pugilatu ex Olympia discessit. Gnathonem quidem valde puerum palma potitum inscriptio testatur. Hunc effinxit Megarensis Callicles. Adsistit Stymphalius Dromeus, congruenti sane cum exercitatione nomine. De longiore enim curriculo Olympicas duas, totidem Pythicas, Isthmicas tres, quinque Nemiacas meruit. Primum

γεται δὲ, ὡς καὶ κρέας ἐσθίειν ἐπινοήσειε· τέως δὲ τοῖς ἀθληταῖς τὰ σιτία τυρὸν ἐκ τῶν ταλάρων εἶναι. τούτου μὲν δὴ Πυθαγόρας τὴν εἰκόνα, τὴν δὲ ἐφεξῆς ταύτῃ, πένταθλον Ἠλεῖον Πυθοκλέα, Πολύκλειτός ἐστιν εἰργασμένος.

CAPUT VIII.

Athletarum signa Olympiae posita porro enumerantur — de Damarchi transmutatione in lupum narratio — de Timanthe eiusque vitae exitu — Timasithei rebus gestis et morte.

471 Σωκράτους δὲ Πελληνέως δρόμου νίκην ἐν παισὶν εἰληφότος, καὶ Ἠλείου Ἀμέρτου καταπαλαίσαντος μὲν ἐν Ὀλυμπίᾳ παῖδας, καταπαλαίσαντος δὲ καὶ Πυθοῖ τοὺς ἐλθόντας τῶν ἀνδρῶν, τοῦ μὲν τὸν ποιήσαντα τὴν εἰκόνα οὐ λέγουσι, τὴν δὲ τοῦ Ἀμέρτου Φράδμων ἐποίησεν Ἀργεῖος. Εὐανορίδᾳ δὲ Ἠλείῳ πάλης ἐν παισὶν ὑπῆρξεν ἔν τε Ὀλυμπίᾳ καὶ Νεμέᾳ νίκη. γενόμενος δὲ Ἑλλανοδίκης ἔγραψε καὶ οὗτος τὰ ὀνόματα ἐν Ὀλυμπίᾳ τῶν νενικηκότων. (2) Ἐς δὲ πύκτην ἄνδρα, γένος μὲν Ἀρκάδα ἐκ Παῤῥασίων, Δάμαρχον δὲ ὄνομα, οὔ μοι πιστὰ

carnibus vesci coepisse ferunt, quum athletae ante ipsum caseo e fiscellis alerentur. Hunc Pythagoras, loco ei proximum Pythoclem quinquertionem Eleum, Polycletus expressit.

Cap. VIII. Socratis vero Pellenensis, a quo pueri cursu superati, et Amertae Elei, qui pueros item in Olympica palaestra prostravit, idemque Pythicis ludis viros perculit, *deinceps positas imagines videas.* Superiorem, qui fecerit, non traditur: Amertae effigiem fecit Phradmon Argivus. Euanoridas Eleus puerilis luctae victoriam Olympiae ac Nemeae adeptus, quum unus de ludorum praefectis esset, ipse etiam eorum, qui ludis Olympicis vicerant, nomina conscripsit. (2) De pugile vero Parrhasio ex Arcadia, cui nomen Demarcho, quae memoriae prodita sunt, praeter

ἦν, πέρα γε τῆς ἐν Ὀλυμπίᾳ νίκης, ὁπόσα ἄλλα ἀνδρῶν ἀλαζόνων ἐστὶν εἰρημένα, ὡς ἐξ ἀνθρώπου μεταβάλλοι τὸ εἶδος ἐς λύκον ἐπὶ τῇ θυσίᾳ τοῦ Λυκαίου Διὸς, καὶ ὡς ὕστερον τούτων ἔτει δεκάτῳ γένοιτο αὖθις ἄνθρωπος. οὐ μὴν οὐδὲ ὑπὸ τῶν Ἀρκάδων λέγεσθαί μοι τοῦτο ἐφαίνετο ἐς αὐτόν· ἐλέγετο γὰρ ἂν καὶ ὑπὸ τοῦ ἐπιγράμματος τοῦ ἐν Ὀλυμπίᾳ. ἔχει γὰρ δὴ οὕτως·

Υἱὸς Δινύττα Δάμαρχος τήνδ' ἀνέθηκεν
Εἰκόν' ἀπ' Ἀρκαδίας Παῤῥάσιος γενεάν.

τοῦτο μὲν δὴ ἐς τοσοῦτο πεποίηται. Εὐβώτας δὲ ὁ Κυρηναῖος, ἅτε τὴν ἐσομένην οἱ δρόμου νίκην ἐν Ὀλυμπίᾳ παρὰ τοῦ μαντείου τοῦ ἐν Λιβύῃ προπεπυσμένος, τήν τε εἰκόνα ἐπεποίητο πρότερον, καὶ ἐπὶ ἡμέρας τῆς αὐτῆς ἀνηγορεύθη τε νικήσας καὶ ἀνέθηκε τὴν εἰκόνα. λέγεται δὲ καὶ ὡς κρατήσειε καὶ ἅρματι ἐπὶ Ὀλυμπιάδος ταύτης, ἣ λόγῳ τῷ Ἠλείων ἐστὶ κίβδηλος τῶν ἀγωνοθετησάντων Ἀρκάδων εἵνεκα. (3) Κλεωναίῳ δὲ Τιμάνθει παγκράτιον λαβόντι ἐν ἀνδράσι στέφανον, καὶ Τροιζηνίῳ Βαύ-

Olympicam victoriam, fabulatorum hominum figmenta esse arbitror, quod scilicet in Iovis Lycaei sacris in lupum se verteret, ac decimo rursus anno pristinam reciperet hominis figuram: quod certe commentum ex Arcadum ipsorum sermone neutiquam ortum videri potest. Eius enim rei nulla est in statuae inscriptione mentio. Ea sic se propemodum habet:

Dinytta genitus Demarchus, dedicat hancce
Effigiem, Arcadico Parrhasius genere.

At Eubotas Cyrenaeus, quum ei Ammonis oraculum victoriam e curriculo praedixisset, statuam ante ipse faciundam sibi curavit, eamque, quo die palmam est adeptus, dedicavit. Vicisse eundem etiam curuli certamine ea ipsa Olympiade memorant: quam tamen, quod ludis Arcades praefuerint, ratam Elei non habent. (3) Cleonaeo Timanthi, qui virilem coronam pancratii accepit, Myron Atheniensis:

κιδι παλαιστὰς καταβαλόντι ἄνδρας, τῷ μὲν τοῦ Ἀθηναίου Μύρωνος, Βαύκιδι δὲ Ναυκύδους ἐστὶν ὁ ἀνδριὰς ἔργον. τῷ δὲ Τιμάνθει τὸ τέλος τοῦ βίου συμβῆναί φασιν ἐπὶ αἰτίᾳ τοιᾷδε· πεπαῦσθαι μὲν αὐτὸν ἀθλοῦντα, ἀποπειρᾶσθαι δὲ ὅμως ἔτι τῆς ἰσχύος, τόξον μέγα ἐπὶ
472 ἑκάστης τείνοντα τῆς ἡμέρας· ἀποδημῆσαί τε δὴ αὐτὸν, καὶ ἐπὶ τῷ τόξῳ τηνικαῦτα ἐκλειφθῆναί οἱ τὴν μελέτην. ὡς δὲ ἐπανήκων οὐχ οἷός τε ἔτι τεῖναι τὸ τόξον ἐγένετο, πῦρ ἀνακαύσας ἀφίησι ζῶντα ἐς τὴν πυρὰν αὐτόν. ὁπόσα δὲ ἤδη τοιαῦτα ἐγένετο ἐν ἀνθρώποις, ἢ καὶ ὕστερόν ποτε ἔσται, μανία μᾶλλον ἢ ἀνδρία νομίζοιτο ἂν κατά γε ἐμὴν γνώμην. Μετὰ δὲ τὸν Βαύκιδά εἰσιν ἀθλητῶν Ἀρκάδων εἰκόνες· Εὐθυμένης τε ἐξ αὐτῆς Μαινάλου, νίκας, τὴν μὲν ἀνδρῶν πάλης, τὴν δὲ ἔτι πρότερον ἐν παισὶν εἰληφώς· καὶ Ἀζὰν ἐκ Πελλήνης Φίλιππος κρατήσας πυγμῇ παῖδας, καὶ Κριτόδαμος ἐκ Κλείτορος, ἐπὶ πυγμῇ καὶ οὗτος ἀναγορευθεὶς παίδων. τὰς δέ σφισιν

Bacidi vero Troezenio, qui luctatores vicit, Naucydes statuam fecere. Et ipsi quidem Timanthi vitae exitum in hunc modum contigisse tradunt. Abiunxerat se *aetatis causa* ab athletarum certaminibus: quo vires tamen pristinas exercitationibus tueretur, magnum *et robustum* quotidie arcum intendebat. Verum quum peregre profectus consuetudinem intermisisset, eam, reversus domum, voluit repetere. Sedenim quum sensisset non satis iam ad arcum tendendum virium sibi superesse, rogo exstructo seipsum in ignem coniecit. Hoc vero, qui fecerit, mea profecto sententia, insaniae potius affinis videri possit, quam laudem fortitudinis assequatur. Post Bacidis imagines sunt athletarum ex Arcadia: Euthymenes primum e Maenalo, palma accepta de virili palaestra, quum prius etiam de puerili unam cepisset: ex Pellana deinde, Azan Philippus de pugilatu inter pueros victor: tum Critodamus e Clitore, et ipse e caestuum puerili ludicro victor renunciatus. Horum imagines fecerunt,

εἰκόνας, τὴν μὲν ἐν παισὶ τοῦ Εὐθυμένους Ἄλυπος, τὴν δὲ τοῦ Δαμοκρίτου Κλέων, Φιλίππου δὲ τοῦ Ἀζᾶνος Μύρων τὴν εἰκόνα ἐποίησε. Τὰ δὲ ἐς Πρόμαχον τὸν Δρύωνος παγκρατιαστὴν Πελληνέα προσέσται μοι καὶ ταῦτα τῷ ἐς Ἀχαιοὺς λόγῳ. (4) Προμάχου δὲ οὐ πόῤῥω, Τιμασίθεος ἀνάκειται γένος Δελφὸς, Ἀγελάδα μὲν ἔργον τοῦ Ἀργείου, παγκρατίου δὲ δύο μὲν ἐν Ὀλυμπίᾳ νίκας, τρεῖς δὲ ἀνῃρημένος Πυθοῖ. καὶ αὐτῷ καὶ ἐν πολέμοις ἐστὶν ἔργα τῇ τε τόλμῃ λαμπρὰ, καὶ οὐκ ἀποδέοντα τῇ εὐτυχίᾳ, πλήν γε δὴ τοῦ τελευταίου· τοῦτο δὲ αὐτῷ θάνατον τὸ ἐγχείρημα ἤνεγκεν. Ἰσαγόρᾳ γὰρ τῷ Ἀθηναίῳ, τὴν ἀκρόπολιν τὴν Ἀθηναίων καταλαβόντι ἐπὶ τυραννίδι, μετασχὼν τοῦ ἔργου καὶ ὁ Τιμασίθεος (ἐγένετο γὰρ τῶν ἐγκαταλειφθέντων ἐν τῇ ἀκροπόλει) θάνατον ζημίαν εὕρετο τοῦ ἀδικήματος παρὰ Ἀθηναίων.

Euthymenis Alypus, Critodami Cleon, Philippi Azanis Myron. Nam de Promacho Pelleneo Dryonis filio pancratiaste, tunc erit agendi locus, quum ad Achaeorum res gestas deducta fuerit oratio. (4) Non longe a Promacho, Timasitheo Delpho statua posita est; Ageladae Argivi opus. Duas hic Olympicas de pancratio, tres Pythicas palmas abstulit. Eiusdem fuit et belli gloria insignis, tum virtute, tum felicitate: extremi tamen praelii fatalis ei fuit conatus. Quum enim Isagoras Atheniensis ipsam Athenarum arcem dominandi cupiditate incitatus occupasset, particeps fuit eius facinoris Timasitheus. Quare iis oppressis, qui se in arcem concluserant, capitis damnatus, Atheniensibus iniuriae poenas dedit.

CAPUT IX.

Theogneti aliorumque signa — de Gelone eiusque curru Olympiae posito — Cleomede et illis, quae ei acciderunt.

Θεογνήτῳ δὲ Αἰγινήτῃ πάλης μὲν στέφανον λαβεῖν ὑπῆρξεν ἐν παισί· τὸν δὲ ἀνδριάντα οἱ Πτόλιχος ἐποίησεν Αἰγινήτης. διδάσκαλοι δὲ ἐγεγόνεσαν Πτολίχῳ μὲν Συννόων ὁ πατὴρ, ἐκείνῳ δὲ Ἀριστοκλῆς Σικυώνιος, ἀδελφός τε Κανάχου, καὶ οὐ πολὺ τὰ ἐς δόξαν ἐλασσούμε-
473 νος. ἐφ' ὅτῳ δὲ Θεόγνητος πίτυος τῆς ἡμέρου καὶ ῥοιᾶς φέρει καρπὸν, ἐμοὶ μὲν οὐχ οἷά τε ἦν συμβαλέσθαι· τάχα δ' ἂν Αἰγινήταις τισὶν ἐπιχώριος ἐς αὐτὰ εἴη λόγος. Μετὰ δὲ τὴν εἰκόνα τοῦ ἀνδρὸς, ὃν Ἠλεῖοί φασιν οὐ γραφῆναι μετὰ τῶν ἄλλων, ὅτι ἐπὶ κάλπης ἀνηγορεύθη δρόμῳ, μετὰ τούτου τὴν εἰκόνα Ξενοκλῆς τε Μαινάλιος ἕστηκε παλαιστὰς καταβαλὼν παῖδας· καὶ Ἄλκετος Ἀλκίνου κρατήσας πυγμῇ παῖδας, Ἀρκὰς καὶ οὗτος ἐκ Κλείτορος. καὶ τοῦ μὲν Κλέων, Ξενοκλέους δὲ τὸν ἀνδριάντα Πολύκλειτός ἐστιν εἰργασμένος. Ἀριστεὺς δὲ

Cap. IX. Theognetus vero Aegineta e lucta puerorum palmam est adeptus: eius fecit statuam Polichus Aegineta. Magister quidem Policho fuit pater Synnoon; illi Aristocles Sicyonius, Canachi frater, neque multo eo inferior gloria. Cuius autem rei causa sativae pinus et punicae mali fructum Theognetus praeferat, non facile mihi fuerit conicere: ipsi fortasse Aeginetae hac de re habent patriis aliquid historiis proditum. At secundum eius hominis statuam, quem Elei idcirco non fuisse in victorum numerum relatum tradunt, quod de bigis equarum victor fuerit renunciatus: post illius effigiem, luctatori Maenalio Xenocli statuam posuere. Pueros hic in lucta perculit. Adstat Alcetus Alcinoi filius Arcas, et ipse e Clitore, qui pueros in pugilatu superavit. Et huius quidem statuam Cleon fecit, Xenoclis Polycletus. *Proximus loco est* Aristeus Argivus: e longiore

Ἀργεῖος, δολιχοῦ μὲν νίκην ἔχων αὐτός, πάλης δὲ ὁ πατὴρ τοῦ Ἀριστέως Χείμων. ἑστήκασι μὲν δὴ ἐγγὺς ἀλλήλων· ἐποίησε δὲ τὸν μὲν Παντίας Χῖος, παρὰ τῷ πατρὶ δεδιδαγμένος Σωστράτῳ· αἱ δὲ εἰκόνες τοῦ Χείμωνος ἔργον εἰσὶν (ἐμοὶ δοκεῖν) τῶν δοκιμωτάτων Ναυκύδους, ἥ τε ἐν Ὀλυμπίᾳ καὶ ἡ ἐς τὸ ἱερὸν τῆς Εἰρήνης τὸ ἐν Ῥώμῃ κομισθεῖσα ἐξ Ἄργους. λέγεται δέ, ὡς Ταυροσθένη καταπαλαίσειεν ὁ Χείμων τὸν Αἰγινήτην, καὶ ὡς Ταυροσθένης τῇ Ὀλυμπιάδι τῇ ἐφεξῆς καταβάλοι τοὺς ἐσελθόντας ἐς τὴν πάλην, καὶ ὡς ἐοικὸς Ταυροσθένει φάσμα ἐπ' ἐκείνης τῆς ἡμέρας ἐν Αἰγίνῃ φανὲν ἀπαγγείλειε τὴν νίκην. Φίλλην δὲ Ἠλεῖον κρατήσαντα παῖδας πάλῃ Σπαρτιάτης Κρατῖνος ἐποίησε. (2) Τὰ δὲ ἐς τὸ ἅρμα τὸ Γέλωνος οὐ κατὰ ταὐτὰ δοξάζειν ἐμοί τε παρίσταται καὶ τοῖς πρότερον ἢ ἐγὼ τὰ ἐς αὐτὸ εἰρηκόσιν, οἳ Γέλωνος τοῦ ἐν Σικελίᾳ τυραννήσαντός φασιν ἀνάθημα εἶναι τὸ ἅρμα. ἐπίγραμμα μὲν δή ἐστιν αὐτῷ, Γέλωνα Δεινομένους ἀναθεῖναι Γελῷον· καὶ ὁ χρόνος τούτῳ τῷ

is curriculo palmam tulit: pater vero Chimon in lucta vicit. Modico eorum statuae distant intervallo: illam fecit Pantias Chius, qui artem a patre Sostrato didicit: Chimonis duae, de nobilibus (meo iudicio) sunt Naucydae operibus, quum scilicet ea, quae in Olympia est, tum quae Argis Romam in Pacis templum est deportata. A Chimone in lucta stratum Taurosthenem Aeginetam memorant: ipsum Taurosthenem insequenti Olympiade omnes deiecisse, qui in luctae certamen descenderant. Eodem, quo coronatus est die, spectrum, Taurostheni persimile, Aeginae victoriam eius nunciasse dicitur. Iam Phillen Eleum, qui pueros in lucta vicit, Cratinus Spartanus finxit. (2) Quod vero ad Gelonis currum attinet, mea opinio paululum dissidet ab iis, quae alii ante me prodidere. Aiunt enim currum illum Gelonis, Siciliae tyranni donum fuisse. At testatur inscriptio, Gelonem Dinomenis filium Geloum dedicasse. Et vi-

Γέλωνι ἐγένετο τῆς νίκης τρίτῃ πρὸς ταῖς ἑβδομήκοντα Ὀλυμπιάδι. Γέλων δὲ ὁ Σικελίας τυραννήσας Συρακούσας ἔσχεν, Ὑβριλίδου μὲν Ἀθήνησιν ἄρχοντος, δευτέρῳ δὲ ἔτει τῆς δευτέρας καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος, ἣν Τισικράτης ἐνίκα Κροτωνιάτης στάδιον. δῆλα οὖν, ὡς Συρακούσιον ἤδη, καὶ οὐ Γελῷον ἀναγορεύειν αὑτὸν ἔμελλεν. ἀλλὰ γὰρ ἰδιώτης εἶναί τις ὁ Γέλων οὗτος, πατρός
474 τε ὁμωνύμου τῷ τυράννῳ καὶ αὐτὸς ὁμώνυμος. Γλαυκίας δὲ Αἰγινήτης τό τε ἅρμα καὶ αὐτὸν τῷ Γέλωνι ἐποίησε τὴν εἰκόνα. (3) Τῇ δὲ Ὀλυμπιάδι τῇ πρὸ ταύτης Κλεομήδην φασὶν Ἀστυπαλαιέα, ὡς Ἴκκῳ πυκτεύων ἀνδρὶ Ἐπιδαυρίῳ, τὸν Ἴκκον ἀποκτείνειεν ἐν τῇ μάχῃ, καταγνωσθεὶς δὲ ὑπὸ τῶν Ἑλλανοδικῶν ἄδικα εἰργάσθαι, καὶ ἀφῃρημένος τὴν νίκην, ἔκφρων ἐγένετο ὑπὸ τῆς λύπης· καὶ ἀνέστρεψε μὲν ἐς Ἀστυπάλαιαν, διδασκαλείῳ δ' ἐπιστάς, (ἐνταῦθα ὅσον ἑξήκοντα παῖδες) ἀνατρέπει τὸν κίονα, ὃς τὸν ὄροφον ἀνεῖχεν. ἐμπεσόντος δὲ τοῦ ὀρόφου τοῖς παισί, καταλιθούμενος ὑπὸ τῶν ἀστῶν, κατέ-

cit hic Gelon, *de quo nunc sermo est*, Olympiade tertia supra septuagesimam, quum Gelon tyrannus Syracusis rerum potitus fuerit Olympiadis septuagesimae secundae anno secundo; quo itidem anno summae rerum praefuit apud Athenienses Hybrilides; Olympiade autem illa victor discessit e stadio Tisicrates Crotoniata. Syracusanum se certe Gelon renunciandum, non Geloum curasset. Credi igitur facile potest, privatum hominem hunc Gelonem fuisse, cuius pater tyranno, ipse patri cognominis fuerit. Glaucias quidem Aegineta, et currum et statuam Gelonis fecit. (3) Superiore Olympiade Cleomedem Astypalaeensem, memoriae proditum, in pugilatu Iccum Epidaurium interemisse: eo crimine erepta palma damnatum ab aedilibus, animi aegritudine mentis impotem factum: inde Astypalaean reversum, quum in ludum literarium introisset, in quo pueri erant ferme LX, columnam, qua tectum fulciebatur, convellisse. Quare oppressis ruina pueris, quum cives ipsum cum lapi-

φυγεν ἐς Ἀθηνᾶς ἱερόν. ἐσβάντος δὲ ἐς κιβωτὸν κειμένην ἐν τῷ ἱερῷ, καὶ ἐφελκυσαμένου τὸ ἐπίθημα, κάματον ἐς ἀνωφελὲς οἱ Ἀστυπαλαιεῖς ἔκαμνον ἀνοίγειν τὴν κιβωτὸν πειρώμενοι. τέλος δὲ τὰ ξύλα τῆς κιβωτοῦ καταῤῥήξαντες, ὡς οὔτε ζῶντα Κλεομήδην οὔτε τεθνεῶτα εὕρισκον, ἀποστέλλουσιν ἄνδρας ἐς Δελφοὺς ἐρησομένους, ὁποῖα ἐς Κλεομήδη τὰ συμβάντα ἦν. τούτοις χρῆσαι τὴν Πυθίαν φασίν·

Ὕστατος ἡρώων Κλεομήδης Ἀστυπαλαιεύς,
Ὃν θυσίαις τιμᾶθ' ὡς μηκέτι θνητὸν ἐόντα.

Κλεομήδει μὲν οὖν Ἀστυπαλαιεῖς ἀπὸ τούτου τιμὰς ὡς ἥρωϊ νέμουσι. Παρὰ δὲ τοῦ Γέλωνος τὸ ἅρμα ἀνάκειται Φίλων, τέχνη τοῦ Αἰγινήτου Γλαυκίου. τούτῳ τῷ Φίλωνι Σιμωνίδης ὁ Λεωπρέπους ἐλεγεῖον δεξιώτατον ἐποίησε·

Πατρὶς μὲν Κόρκυρα, Φίλων δ' ὄνομ'· εἰμὶ δὲ Γλαύκου
Υἱός, καὶ νικῶ πὺξ δύ' Ὀλυμπιάδας. 475

Ἀνάκειται καὶ Μαντινεὺς Ἀγαμήτωρ, κρατήσας πυγμῇ παῖδας.

dibus insectarentur, confugisse in Minervae; moxque se in arcam, quae in templo erat, conclusisse. Eius arcae operculum Astypalaeenses, quum diu conati tollere non potuissent, postremo arcam effregisse: Cleomedem neque vivum neque mortuum intus visum: missis ad oraculum de rei miraculo consultoribus, his versibus responsum redditum:

Ultimus heroum Cleomedes Astypalensis,
Quem iam immortalem superum dignamini honore.

Et Cleomedi insequentibus deinceps temporibus Astypalaeenses tanquam heroi honores habuere. Prope Gelonis currum Philonis erecta statua est, Aeginetae Glauciae opus. In hanc satis appositos ad rem exprimendam elegos fecit Simonides Leoprepis filius:

Glaucus mi genitor, patria est Corcyra, Philoni
Nomen, vinco pugil iam bis Olympiadas.

Stat ibidem Mantinensis Agametor pueris pugilatu victis.

CAPUT X.

Glauci Carystii statua et de eo narratio — porro athletarum signa recensentur.

Ἐπὶ δὲ τοῖς κατειλεγμένοις ἕστηκεν ὁ Καρύστιος Γλαῦκος. εἶναι δέ φασιν ἐξ Ἀνθηδόνος τῆς Βοιωτῶν τὸ ἄνωθεν αὐτὸν γένος ἀπὸ Γλαύκου τοῦ ἐν θαλάσσῃ δαίμονος. πατρὸς δὲ οὗτος ὁ Καρύστιος ἦν Δημύλου, καὶ γῆν φασιν αὐτὸν κατἀρχὰς ἐργάζεσθαι. ἐκπεσοῦσαν δὲ ἐκ τοῦ ἀρότρου τὴν ὕνιν, πρὸς τὸ ἄροτρον καθήρμοσε τῇ χειρὶ ἀντὶ σφύρας χρώμενος. καὶ πως ἐθεάσατο ὁ Δήμυλος τὸ ὑπὸ τοῦ παιδὸς ποιούμενον, καὶ ἐπὶ τούτῳ πυκτεύσοντα ἐς Ὀλυμπίαν αὐτὸν ἀνήγαγεν. ἔνθα δὴ ὁ Γλαῦκος, ἅτε οὐκ ἐμπείρως ἔχων τῆς μάχης, ἐτιτρώσκετο ὑπὸ τῶν ἀνταγωνιζομένων, καὶ ἡνίκα πρὸς τὸν λειπόμενον ἐξ αὐτῶν ἐπύκτευεν, ἀπαγορεύειν ὑπὸ τοῦ πλήθους τῶν τραυμάτων ἐνομίζετο. καὶ οἱ τὸν πατέρα βοῆσαί φασιν· Ὦ παῖ τὴν ἀπ' ἀρότρου. οὕτω βιαιοτέραν ἐς τὸν ἀνταγωνιζόμενον ἐνεγκὼν τὴν πληγὴν, αὐτίκα εἶχε τὴν νίκην. στεφάνους δὲ λέγεται καὶ ἄλλους Πύθια μὲν

Cap. X. Praeter eos, quos iam percensuimus, videas et Glaucum Carystium, quem ex Anthedone Boeotiorum oriundum a Glauco marino Deo memorant. Pater huic fuit Carystius Demylus. In agro vero colendo a puero versatum tradunt: quumque forte refixum vomerem, manu pro malleo usus, restituisset in pristinum aratri locum, patrem quum id animadvertisset, puerum in Olympicum pugilatum deduxisse. Ubi quum Glaucus ab adversariis male multaretur, quippe qui prorsus erat artis eius imperitus, quumque congressus cum eo, cui extrema obtigerat sors certaminis, vulneribus iam prope profectus succumberet, inclamasse dicitur pater, Illam fili ab aratro: *ea itaque voce puerum excitatum*, acriore plaga adversario perculso mox victorem indicatum. Coronas idem cepisse dicitur, Pythio-

δὶς λαβεῖν, Νεμείων δὲ καὶ Ἰσθμίων ὀκτάκις ἐν ἑκατέρῳ
ἀγῶνι. τοῦ Γλαύκου δὲ τὴν εἰκόνα ἀνέθηκε μὲν ὁ παῖς
αὐτοῦ, Γλαυκίας δὲ Αἰγινήτης ἐποίησε· σκιαμαχοῦντος
δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι ὁ Γλαῦκος ἦν ἐπιτη-
δειότατος τῶν κατ' αὐτὸν χειρονομῆσαι πεφυκώς. ἀπο-
θανόντα δὲ οἱ Καρύστιοι ταφῆναί φασιν αὐτὸν ἐν νήσῳ
καλουμένῃ Γλαύκου καὶ ἐς ἡμᾶς ἔτι. (2) Δαμαράτῳ
δὲ Ἡραιεῖ, υἱῷ τε τοῦ Δαμαράτου καὶ υἱωνοῖς, δύο ἐν
Ὀλυμπίᾳ γεγόνασιν ἑκάστῳ νῖκαι· Δαμαράτῳ μὲν πέμπτῃ
ἐπὶ ταῖς ἑξήκοντα Ὀλυμπιάδι, ὅτε ἐνομίσθη πρῶτον ὁ
τοῦ ὁπλίτου δρόμος, καὶ ὡσαύτως τῇ ἐφεξῆς· πεποίηται
ὁ ἀνδριὰς ἀσπίδα τε κατὰ τὰ αὐτὰ ἔχων τοῖς ἐφ' ἡμῶν,
καὶ κράνος ἐπὶ τῇ κεφαλῇ, καὶ κνημῖδας ἐπὶ τοῖς ποσί.
ταῦτα μὲν δὴ ἀνὰ χρόνον ὑπό τε Ἠλείων καὶ ὑπὸ Ἑλλή-
νων τῶν ἄλλων ἀφῃρέθη τοῦ δρόμου. Θεοπόμπῳ δὲ τῷ 476
Δαμαράτου καὶ αὖθις ἐκείνου παιδὶ ὁμωνύμῳ ἐπὶ πεν-
τάθλῳ, Θεοπόμπῳ δὲ τῷ δευτέρῳ πάλης ἐγένοντο αἱ
νῖκαι. τὴν δὲ εἰκόνα Θεοπόμπου μὲν τοῦ παλαίσαντος

rum duas, octonas Nemeorum et Isthmiorum. Glauco filius statuam posuit: opifex fuit Glaucias Aegineta. Umbratilis pugnae habitum prae se fert, quod omnium suae aetatis manus ad certam legem moverit aptissime. Quum decessisset, a Carystiis in ea insula sepultum tradunt, quae aetate etiam nostra Glauci dicitur. (2) Demarato Heraeensi, Demarati filio, et nepotibus, binae Olympiorum victoriae obtigerunt: ipsi quidem Demarato, quinta supra LX Olympiade, qua primum inductus est armaturae gravis cursus: et ea item, quae consecuta est. Statua eius clypeum more nostri temporis *militum*, prae se tenet: galea caput, crura ocreis armata sunt. Eum in cursu ludicri morem, posteris deinde temporibus Elei, et reliqui item Graeci sustulerunt. Theopompus deinde Demarati filius, et huius item filius patri cognominis, de quinquertio palmas adepti sunt. Minori Theopompo de lucta *etiam* victoria obtigit. Luctatoris

τὸν ποιήσαντα οὐκ ἴσμεν· τὰς δὲ τοῦ πατρὸς αὐτοῦ καὶ τοῦ πάππου φησὶ τὸ ἐπίγραμμα Εὐτελίδα τε εἶναι καὶ Χρυσοθέμιδος Ἀργείων. οὐ μὴν παρ' ὅτῳ γε ἐδιδάχθησαν, δεδήλωκεν· ἔχει γὰρ δὴ οὕτως·

Εὐτελίδας καὶ Χρυσόθεμις τάδε ἔργα τέλεσσαν
Ἀργεῖοι, τέχναν εἰδότες ἐκ προτέρων.

Ἴκκος δὲ ὁ Νικολαΐδα Ταραντῖνος τόν τε Ὀλυμπιακὸν στέφανον ἔσχεν ἐπὶ πεντάθλῳ, καὶ ὕστερον γυμναστὴς ἄριστος λέγεται τῶν ἐφ' αὐτοῦ γενέσθαι. Μετὰ δὲ Ἴκκον καταπαλαίσας παῖδας Παντάρκης ἕστηκεν Ἠλεῖος ὁ ἐρώμενος Φειδίου. Ἐπὶ δὲ τῷ Παντάρκει Κλεοσθένους ἐστὶν ἅρμα ἀνδρὸς Ἐπιδαμνίου. τοῦτο ἔργον μέν ἐστιν Ἀγελάδα, ἕστηκε δὲ ὄπισθεν τοῦ Διὸς τοῦ ἀπὸ τῆς μάχης τῆς Πλαταιᾶσιν ἀνατεθέντος ὑπὸ Ἑλλήνων. ἐνίκα μὲν δὴ τὴν ἕκτην Ὀλυμπιάδα καὶ ἑξηκοστὴν ὁ Κλεοσθένης· ἀνέθηκε δὲ ὁμοῦ τοῖς ἵπποις αὐτοῦ καὶ εἰκόνα καὶ τὸν ἡνίοχον. ἐπιγέγραπται δὲ καὶ τῶν ἵππων τὰ ὀνόματα, Φοίνιξ καὶ Κόραξ· ἑκατέρωθεν δὲ οἱ παρὰ τον

huius, a quo facta fuerit statua, plane ignoratur. Patris vero et avi statuas, Eutelidae et Chrysothemidis Argivorum opera fuisse testatur inscriptio. A quibus vero illi didicerint, non docet. Inscriptionis eius versus hi sunt:

Argivi Eutelidas et Chrysothemis fabricarunt,
Maiores artem quos docuere sui.

Iccus Nicolaidae filius, Tarentinus, Olympicam coronam de quinquertio cepit; ac deinde insequentibus temporibus athletarum fuit magister, aetatis suae praestantissimus. Post Iccum Pantarces Eleus victis in lucta pueris erectus est. Fuit hic Phidiae in amoribus. Proximo loco Cleosthenis viri Epidamnii currus, Ageladae opus. A tergo positus est Iovis, quem Graeci post Plataeensem pugnam dedicarunt. Vicit Cleosthenes Olympiade sexagesima sexta. Neque vero suam unius, sed equorum etiam et aurigae simulacra posuit. Inscripta sunt etiam equorum nomina, Phoenix et Corax:

ζυγὸν, κατὰ μὲν τὰ δεξιὰ Κνακίας, ἐν δὲ τῇ ἀριστερᾷ Σάμος· καὶ ἐλεγεῖον τόδε ἐστὶν ἐπὶ τῷ ἅρματι·

Κλεοσθένης μ' ἀνέθηκεν ὁ Πόντιος ἐξ Ἐπιδάμνου,
Νικήσας ἵπποις καλὸν ἀγῶνα Διός.

Τῶν δὲ ἱπποτροφησάντων ἐν Ἕλλησι, πρῶτος ἐς Ὀλυμπίαν εἰκόνα ἀνέθηκεν ὁ Κλεοσθένης οὗτος. τὰ γὰρ Μιλτιάδου τοῦ Ἀθηναίου καὶ Εὐαγόρου τοῦ Λάκωνος ἀναθήματα, τοῦ μὲν ἅρματός ἐστιν, οὐ μὴν καὶ αὐτὸς ἐπὶ τοῖς ἅρμασιν Εὐαγόρας· τὰ Μιλτιάδου δὲ, ὁποῖα ἐς 477
Ὀλυμπίαν ἀνέθηκεν, ἑτέρωθι δηλώσω τοῦ λόγου. Ἐπιδάμνιοι δὲ χώραν μὲν, ἥνπερ καὶ ἐξαρχῆς, πόλιν δὲ οὐ τὴν ἀρχαίαν ἐπὶ ἡμῶν ἔχουσιν, ἐκείνης δὲ ἀφεστηκυῖαν ὀλίγον· ὄνομα δὲ τῇ πόλει τῇ νῦν Δυῤῥάχιον ἀπὸ τοῦ οἰκιστοῦ. Λυκῖνον δὲ Ἡραιέα, καὶ Ἐπικράδιον Μαντινέα, καὶ Τέλλωνα Θάσιον, καὶ Ἠλεῖον Ἀγιάδαν, ἐν παισὶν ἀνελομένους νίκας, Λυκῖνον μὲν δρόμου, τοὺς δὲ ἐπ' αὐτῷ κατειλεγμένους πυγμῆς, Ἐπικράδιον μὲν καὶ

et qui eodem sunt iuncti iugo, ad dexteram Cnacias, ad laevam Samus. Elegi ad currum adscripti sunt:

Cleosthenes posuit me Pontius ex Epidamno,
Victor equis, palma clarus Olympiaca.

Et omnium quidem Graecorum, qui equorum alendi studio clari fuere, primus hic Cleosthenes statuam Olympiae posuit. Sunt certe et Miltiadis Atheniensis, et Spartani Euagorae similia dona: verum non insistit in curru Euagoras. Iam quae ac qualia Olympiae dona Miltiades curaverit statuenda, alio instituti operis loco exponetur. Agrum Epidamnii nostra aetate tenent, quem iam ante ab initio: oppidum non idem, quod priscis temporibus, sed quod a vetere urbe non longe abest, et a conditore Dyrrhachium appellatur. *Consequuntur athletarum superiorum ordinem* Lycinus Heraeensis, Epicradius Mantinensis, Tellon Thasius, et Eleus Agiadas, qui victores de puerilibus ludicris coronas cepere, Lycinus quidem e cursu, reliqui de pugilatu.

Ἀγιάδαν, τὸν μὲν αὐτῶν Πτόλιχος Αἰγινήτης ἐποίησε, τὸν δὲ Ἀγιάδαν Σήραμβος, γένος καὶ οὗτος Αἰγινήτης· Λυκίνου δέ ἐστιν ὁ ἀνδριὰς Κλέωνος τέχνη· τὸν δὲ Τέλλωνα ὅστις εἰργάσατο, οὐ μνημονεύουσιν.

CAPUT XI.

Signa regum Macedoniae, Philippi, Alexandri etc. — de Theagene varia narrantur — Theagenis signa in multis Graeciae locis posita et culta.

Ἐφεξῆς τούτων ἀναθήματά ἐστιν Ἠλείων, Φίλιππος ὁ Ἀμύντου, καὶ Ἀλέξανδρος ὁ Φιλίππου, καὶ Σέλευκός τε καὶ Ἀντίγονος· τοῖς μὲν δὴ ἐφ' ἵππων, Ἀντιγόνῳ δὲ ἀνὴρ πεζός ἐστιν ἡ εἰκών. (2) Τῶν δὲ βασιλέων τῶν εἰρημένων ἕστηκεν οὐ πόῤῥω Θεαγένης ὁ Τιμοσθένους Θάσιος. Θάσιοι δὲ οὐ Τιμοσθένους παῖδα εἶναι Θεαγένη φασὶν, ἀλλὰ ἱερᾶσθαι μὲν Ἡρακλεῖ τὸν Τιμοσθένη Θασίῳ, τοῦ Θεαγένους δὲ τῇ μητρὶ Ἡρακλέους συγγενέσθαι φάσμα ἐοικὸς Τιμοσθένει. ἔνατόν τε δὴ ἔτος εἶναι τῷ παιδὶ, καὶ αὐτὸν ἀπὸ διδασκάλων φασὶν ἐς τὴν οἰκίαν ἐρχόμενον, ἄγαλμα ὅτου δὴ θεῶν ἀνακείμενον ἐν τῇ

Epictradium fecit Ptolichus Aegineta, Agiadan Serambus et ipse Aegineta, Lycini statua, Cleonis opus. Tellonem quis fecerit, non est memoriae proditum.

Cap. XI. Proxime sunt ab Eleis Philippo Amyntae, et Alexandro eius filio statuae dedicatae, cumque his Seleuco et Antigono. Equestres aliorum, Antigoni pedestris est. (2) Ab his regibus non longe abest Timosthenis filius Theagenes Thasius; etsi Thasii Timosthenis filium Theagenem negant fuisse. Nam quum sacrificulus Herculis, qui Thasi colitur, Timosthenes esset, cum matre Theagenis spectrum Herculis Timostheni simile congressum aiant: puerum inde natum: hunc quum annum iam ferme nonum ageret, dum e ludo domum rediret, dei (incertum cuius)

ἀγορᾷ χαλκοῦν (χαίρειν γὰρ τῷ ἀγάλματι εἰκὸν) ἀνασπάσαι τε δὴ τὸ ἄγαλμα, καὶ ἐπὶ τὸν ἕτερον τῶν ὤμων ἀναθέμενον ἐνεγκεῖν παρ' αὐτόν. ἐχόντων δὲ ὀργὴν ἐς αὐτὸν ἐπὶ τῷ πεποιημένῳ τῶν πολλῶν, ἀνήρ τις αὐτῶν δόκιμος καὶ ἡλικίᾳ προήκων ἀποκτεῖναι μὲν σφᾶς τὸν παῖδα οὐκ ἐᾷ, ἐκεῖνον δὲ ἐκέλευσεν ἐκ τῆς οἰκίας αὖθις κομίσαι τὸ ἄγαλμα ἐς τὴν ἀγοράν. ὡς δὲ ἤνεγκε, μέγα αὐτίκα ἦν κλέος τοῦ παιδὸς ἐπὶ ἰσχύϊ, καὶ τὸ ἔργον ἀνὰ πᾶσαν ἐβεβόητο τὴν Ἑλλάδα. ὅσα μὲν δὴ ἔργων τῶν Θεαγένους ἐς τὸν ἀγῶνα ἥκει τὸν Ὀλυμπιακὸν, προεδή- 478
λωσεν ἤδη ὁ λόγος μοι τὰ δοκιμώτατα ἐξ αὐτῶν, Εὔθυμόν τε ὡς κατεμαχέσατο τὸν πύκτην, καὶ ὡς ὑπὸ Ἠλείων ἐπεβλήθη Θεαγένει ζημία. πότε μὲν δὴ τοῦ παγκρατίου τὴν νίκην ἀνὴρ ἐκ Μαντινείας Δρομεὺς ὄνομα, πρῶτος ὧν ἴσμεν ἀκονιτὶ λαβεῖν λέγεται· τὴν δὲ Ὀλυμπιάδα τὴν ἐπὶ ταύτῃ παγκρατιάζων ὁ Θεαγένης ἐκράτει. γεγόνασι δὲ αὐτῷ καὶ Πυθοῖ νῖκαι τρεῖς, αὗται μὲν ἐπὶ πυγμῇ, Νεμείων δὲ ἐννέα, καὶ Ἰσθμίων δέκα παγκρατίου τε ἀνα-

aeneum signum, quod in foro fuerat erectum, eius simulacri pulchritudine allectum, e sede sua avulsum, et alteri humero impositum, domum suam deportasse. Incitata vero ob id factum in eum multitudine, virum quendam summa inter cives existimatione, magno iam natu, sententia sua puerum minime occidendum censuisse, imperasse tantum, ut signum in pristinum locum reportaret. Id quum ille fecisset, eius robur longe lateque per totam Graeciam hominum sermone celebrari coeptum. Et facinora quidem Theagenis maxime illustria, quae ad Olympicos ludos pertinuere, ante exposuimus: quo loco etiam commemoravimus, Euthymo pugile perculso, quae mulcta ei ab Eleis fuerit imposita. Ac tunc quidem palmam de pancratio primus sine pulvere tulisse dicitur Dromeus, patria Mantinensis: ea deinde, quae consecuta est Olympiade, ex eodem pancratii certamine Theagenes ipse. Adeptus idem est de pugilatu Pythicas coronas tres; Nemiacas novem, Isthmicas

μίξ καὶ πυγμῆς. ἐν Φθίᾳ δὲ τῇ Θεσσαλῶν, πυγμῆς μὲν ἢ παγκρατίου παρῆκε τὴν σπουδὴν, ἐφρόντιζε δὲ, ὅπως καὶ ἐπὶ δρόμῳ ἐμφανὴς ἐν Ἕλλησιν εἴη, καὶ τοὺς ἐσελθόντας ἐς τὸν δολιχὸν ἐκράτησεν. ἦν δέ οἱ πρὸς Ἀχιλλέα (ἐμοὶ δοκεῖν) τὸ φιλοτίμημα, ἐν πατρίδι τοῦ ἀρίστου τῶν καλουμένων ἡρώων ἀνελέσθαι δρόμου νίκην. τοὺς δὲ σύμπαντας στεφάνους τετρακοσίους τε ἔσχε καὶ χιλίους. ὡς δὲ ἀπῆλθεν ἐξ ἀνθρώπων, ἀνὴρ τῶν τις ἀπηχθημένων ζῶντι αὐτῷ, παρεγίνετο ἀνὰ πᾶσαν νύκτα ἐπὶ τοῦ Θεαγένους τὴν εἰκόνα, καὶ ἐμαστίγου τὸν χαλκὸν ἅτε αὐτῷ Θεαγένει λυμαινόμενος. καὶ τὸν μὲν ὁ ἀνδριὰς ἐμπεσὼν ὕβρεως παύει· τοῦ ἀνθρώπου δὲ τοῦ ἀποθανόντος οἱ παῖδες τῇ εἰκόνι ἐπεξῄεσαν φόνου. καὶ οἱ Θάσιοι καταποντοῦσι τὴν εἰκόνα, ἐπακολουθήσαντες γνώμῃ τῇ Δράκοντος, ὃς Ἀθηναίοις θεσμοὺς γράψας φονικοὺς, ὑπερώρισε καὶ τὰ ἄψυχα, εἴγε ἐμπεσόν τι ἐξ αὐτῶν ἀποκτείνειεν ἄνθρωπον. ἀνὰ χρόνον δὲ, ὡς τοῖς

decem, de mixtis pugilatus et pancratii certaminibus. Phthiae vero in Thessalis, omisso pugilatus et pancratii studio, ut in cursu etiam ad nominis celebritatem perveniret, operam dedit. Quare et in longiore curriculo palmae competitores vicit: et cum Achille fuit ei (mea sententia) aemulatio, quod in patria heroum omnium praestantissimi victorem se cursus declarari concupierit. Fuerunt numero coronae eius omnes quadringentae. Quum e vita iam decessisset Theagenes, ex eius inimicorum numero quidam ad eius statuam nocte qualibet accedens eam flagris caedebat, non aliter, quam si in eo aere ipsum viventem ulcisceretur. Quum autem hominem statua subito casu oppressisset, eius filii statuam de caede postularunt: estque ea, Thasiorum sententia, in mare abiecta, Draconis scilicet lege, qui anima etiam carentia, urbe agroque exterminanda, quum Atheniensibus leges scriberet, sanxit, si quid forte eorum corruens hominem peremisset. Atenim quum per aliquot dein-

Θασίοις οὐδὲν ἀπεδίδου καρπὸν ἡ γῆ, θεωροὺς ἀποστέλλουσιν ἐς Δελφούς, καὶ αὐτοῖς ἔχρησεν ὁ θεὸς καταδέχεσθαι τοὺς δεδιωγμένους. καὶ οἱ μὲν ἐπὶ τῷ λόγῳ τούτῳ καταδεχθέντες, οὐδὲν τῆς ἀκαρπίας παρείχοντο ἴαμα. δεύτερα οὖν ἐπὶ τὴν Πυθίαν ἔρχονται, λέγοντες ὡς καὶ 479
ποιήσασιν αὐτοῖς τὰ χρησθέντα διαμένοι τὸ ἐκ τῶν θεῶν μήνιμα. ἐνταῦθα ἀπεκρίνατό σφισιν ἡ Πυθία·

Θεαγένην δ' ἄμνηστον ἀφήκατε τὸν μέγαν ὑμέων.

ἀπορούντων δὲ αὐτῶν, ὁποίᾳ μηχανῇ τοῦ Θεαγένους τὴν εἰκόνα ἀνασώσωνται, φασὶν ἁλιέας ἀναχθέντας ἐς τὸ πέλαγος ἐπὶ ἰχθύων θήραν, περισχεῖν τῷ δικτύῳ τὴν εἰκόνα, καὶ ἀνενεγκεῖν αὖθις ἐς τὴν γῆν. Θάσιοι δὲ ἀναχθέντι ἔνθα καὶ ἐξαρχῆς ἔκειτο, νομίζουσιν ἅτε θεῷ θύειν. (3) Πολλαχοῦ δὲ καὶ ἑτέρωθι ἔν τε Ἕλλησιν οἶδα καὶ παρὰ βαρβάροις ἀγάλματα ἱδρυμένα Θεαγένους, καὶ νοσήματά τε αὐτὸν ἰώμενον, καὶ ἔχοντα παρὰ τῶν ἐπιχωρίων τιμάς. ὁ δὲ ἀνδριὰς τοῦ Θεαγένους ἐστὶν ἐν τῇ Ἄλτει, τέχνη τοῦ Αἰγινήτου Γλαυκίου.

ceps annos frugem fere nullam terra Thasiis redderet, qui sciscitatum Delphos missi fuerant, responsum tulere, exules revocandos. Neque tamen exulibus revocatis finem sterilitatis reperere. Quare quum iterum per legatos questi essent, se quidem dicto audientes fuisse, non esse vero deorum iram ulla ex parte placatam, respondit rursus Pythia:

Theagenis vestri at nullam rationem habuistis.

Ibi quum ea cogitatio sollicitos haberet, quanam arte statuam Theagenis reciperent, piscatores aiunt in altum provectos, inter pisces rete comprehensam effigiem Theagenis in litus exposuisse. Ea quum in suum locum reposita fuisset, a Thasiis divinis celebratur honoribus. (3) Multis vero etiam aliis in locis, tum Graecorum, tum Barbarorum, Theageni positis simulacris, *divini* honores ab indigenis habentur, existimantibus aegris, et quopiam affectis morbo, salutare eius numen esse. Statua Theageni in Alti posita, Aeginetae Glauciae opus est.

CAPUT XII.

Dinomenis, Hieronis filii, donaria Olympiae — de Hierone, Hieroclis filio, et Dinomene — Arei, Lacedaemoniorum regis, et Arati aliorumque donariis et signis.

Πλησίον δὲ ἅρμα τέ ἐστι χαλκοῦν, καὶ ἀνὴρ ἀναβεβηκὼς ἐπ' αὐτὸ, κέλητες δὲ ἵπποι παρὰ τὸ ἅρμα, εἷς ἑκατέρωθεν ἕστηκε, καὶ ἐπὶ τῶν ἵππων καθέζονται παῖδες. ὑπομνήματα δὲ ἐπὶ νίκαις Ὀλυμπιακαῖς ἐστιν Ἱέρωνος τοῦ Δεινομένους τυραννήσαντος Συρακουσίων μετὰ τὸν ἀδελφὸν Γέλωνα. τὰ δὲ ἀναθήματα οὐχ Ἱέρων ἀπέστειλεν, ἀλλ' ὁ μὲν ἀποδοὺς τῷ θεῷ, Δεινομένης ἐστὶν ὁ Ἱέρωνος· ἔργα δὲ, τὸ μὲν Ὀνατᾶ τοῦ Αἰγινήτου τὸ ἅρμα, Καλάμιδος δὲ οἱ ἵπποι τε οἱ ἑκατέρωθεν, καὶ ἐπ' αὐτῶν εἰσιν οἱ παῖδες. (2) Παρὰ δὲ τοῦ Ἱέρωνος τὸ ἅρμα ἀνήρ ἐστιν ὁμώνυμός τε τῷ Δεινομένους, καὶ ἐν Συρακούσαις καὶ οὗτος τυραννήσας· Ἱέρων δὲ ἐκαλεῖτο Ἱεροκλέους. μετὰ δὲ τὴν Ἀγαθοκλέους τοῦ προτέρου τυραννήσαντος τελευτὴν Συρακουσίοις αὖθις ἀναπεφύκει τύραννος ὁ Ἱέρων οὗτος, τὴν δὲ ἀρχὴν εἶχεν ἔτει δευτέρῳ τῆς * Ὀλυμπιάδος ἐπὶ ταῖς εἴκοσι καὶ ἑκατὸν, ἣν Κυ-

Cap. XII. Proxime est aereus currus, in quem vir ascendit. Utrinque veredi singuli, pueris insidentibus. Sunt autem monumenta de Olympicis victoriis Hieronis Dinomenis filii, qui fratri Geloni in Syracusanorum tyrannide successit. At dona ista non sunt ab Hierone missa, sed votum deo persolvit Dinomenes Hieronis filius. Currus, Onatae Aeginetae: Calamidis, qui utrinque stant equi, et insidentes illis pueri, opera sunt. (2) Prope ad Hieronis currum vir est eodem, quo Dinomenis filius nomine, et ipse Syracusarum tyrannus, Hieron Hieroclis filius. Is post Agathoclis, qui primus tyrannidem occuparat, mortem, novus est Syracusanis tyrannus exortus, dominatu potitus centesimae vicesimae *tertiae* Olympiadis anno secundo: ea vero Olympiade victor e stadio discessit Idaeus patria Cy-

τηναῖος παιδίον ἐνίκησεν Ἰδαῖος. οὗτος ὁ Ἱέρων ξενίαν πρὸς Πύῤῥον τὸν Αἰακίδου καὶ ὁμοῦ τῇ ξενίᾳ ἐπιγαμίαν ἐποιήσατο Γέλωνι τῷ παιδὶ, Νηρηΐδα ἀγαγόμενος τὴν Πύῤῥου. Ῥωμαίων δὲ περὶ Σικελίας ἐς τὸν πρὸς Καρ- 480
χηδονίους πόλεμον καταστάντων, εἶχον μὲν οἱ Καρχηδόνιοι τῆς νήσου πλέον ἢ ἥμισυ· Ἱέρωνι δὲ συνιόντι μὲν ἄρτι ἐς τὸν πόλεμον, ἑλέσθαι τὰ Καρχηδονίων ἤρεσε, μετὰ δὲ οὐ πολὺ δυνάμει τε εἶναι νομίζων τὰ Ῥωμαίων ἐχυρότερα καὶ βεβαιότερα ἅμα ἐς φιλίαν, μετεβάλετο ὡς τούτους. τοῦ δέ οἱ βίου συνέβη γενέσθαι τὴν τελευτὴν ὑπὸ Δεινομένους, γένος μὲν Συρακουσίου, δυσμενέστατα δὲ ἀνδρὸς ἐς τυραννίδα ἔχοντος, ὃς καὶ ὕστερον τούτων Ἱπποκράτει τῷ ἀδελφῷ τῷ Ἐπικύδους ἐξ Ἐρβησσοῦ παρεληλυθότι ἄρτι ἐς Συρακούσας, καὶ ἐς τὸ πλῆθος ποιεῖσθαι λόγους ἀρχομένῳ, ἐπέδραμεν ὡς ἀποκτενῶν τὸν Ἱπποκράτη· τοῦ δέ οἱ ἀντιστάντος, κρατήσαντες τῶν δορυφόρων ἄλλοι, διαφθείρουσι τὸν Δεινομένη. τοὺς ἀνδριάντας δὲ τοῦ Ἱέρωνος ἐν Ὀλυμπίᾳ, ἐφ' ἵππου τὸν ἕτερον, τὸν δὲ αὐτῶν πεζὸν, ἀνέθεσαν μὲν τοῦ Ἱέρωνος

renatus. Fuit huic Hieroni cum Pyrrho Aeacidae filio hospitium prius, deinde affinitas, quod Pyrrhi filia Nereis fuit cum Gelone eius filio. Et idem sane Hieron, quum bellum Punicum in Sicilia gereretur, et eius insulae pars maior in Carthaginiensium officio esset, ad illorum se studia adiunxit: mox quum Romanorum copias maiores, et firmiorem esse amicitiam intelligeret, ad eos descivit. Hunc Dinomenes, Syracusanus ille quidem, sed tyrannidi infensissimus, de medio sustulit. Neque multo post, Hippocratem Epicydae fratrem, qui quum paulo ante ab Erbesso Syracusas venisset, multitudinem *seditiosis* fuerat vocibus sollicitare aggressus, *stricto telo* est adortus: verum quum *praesenti* se ille animo tueretur, Dinomenes satellitum impetu oppressus, occubuit. Hieronis statuas equestrem unam, alteram vero pedestrem, Olympiae dedicarunt Hieronis ipsius filii: opera

οἱ παῖδες, ἐποίησε δὲ Μίκων Νικηράτου Συρακούσιος. (8) Μετὰ δὲ τοῦ Ἱέρωνος τὰς εἰκόνας Ἀρεὺς ὁ Ἀκροτάτου Λακεδαιμονίων βασιλεὺς, καὶ Ἄρατος ἕστηκεν ὁ Κλεινίου· καὶ αὖθις ἀναβεβηκὼς ἐστιν Ἀρεὺς ἵππον. ἀνάθημα δὲ ὁ μὲν Κορινθίων ὁ Ἄρατος, Ἀρεὺς δὲ Ἠλείων ἐστί. καί μοι τοῦ λόγου τὰ πρότερα οὔτε τὰ ἐς Ἄρατον, οὔτε τὰ ἐς Ἀρέα ἀμνημόνως ἔσχε. Ἄρατος δὲ καὶ ἅρματι ἀνηγορεύθη νικῶν ἐν Ὀλυμπίᾳ. Τίμωνι δὲ τῷ Αἰγύπτου, καθέντι ἐς Ὀλυμπίαν ἵππους, ἀνδρὶ Ἠλείῳ, ἔστι τούτῳ χαλκοῦν, ἐπ' αὐτοῦ δ' ἀναβεβηκὸς σθένος (ἐμοὶ δοκεῖν) νίκης. Κάλλωνα δὲ τὸν Ἁρμοδίου, καὶ τὸν Μοσχίωνος Ἱππόμαχον, γένος τε Ἠλείους καὶ πυγμῇ κρα-
481 τήσαντας ἐν παισὶ, τὸν μὲν αὐτῶν ἐποίησε Δάϊππος, Ἱππομάχου δὲ ὅστις μὲν τὸν ἀνδριάντα εἰργάσατο, οὐκ ἴσμεν. καταμαχέσασθαι δὲ τρεῖς φασιν ἀνταγωνιστὰς αὐτὸν, οὔτε πληγὴν ἀποδεξάμενον, οὔτε τι τρωθέντα τοῦ σώματος. Θεόχρηστον δὲ Κυρηναῖον, ἱπποτροφήσαντα κατὰ τὸ ἐπιχώριον Λίβυσι, καὶ αὐτόν τε ἐν Ὀλυμπίᾳ, καὶ ἔτι πρότερον τὸν ὁμώνυμόν τε αὐτῷ καὶ τοῦ πατρὸς

fuere Miconis Syracusani Nicocratis filii. (8) Post Hieronis, Arei Acrotati filii, Lacedaemoniorum regis, et Arati Cliniae filii erectae sunt statuae: et Areum quidem equo insidentis habitu dedicarunt Elei, Aratum Corinthii. Arei sane et Arati mentio non est in superioribus commentariis praetermissa. Renunciatus est Aratus de curuli certamine victor. Timoni Aegypti filio, homini Eleo, a quo ad Olympicum ludicrum missi equi sunt, positus est aeneus currus: in eum Victoriae (quantum coniicio) robur ascendit. Callonem deinde Harmodii filium, et Moschionis Hippomachum, Eleos patria, qui caestu pueros vicere, *ibi positos videas.* Illum Daippus finxit: Hippomachi opifex ignoratur. Is adversarios tres dicitur perculisse, neque plaga, neque vulnere in ulla corporis parte accepto. *Erecti ibidem sunt,* Theochrestus Cyrenaeus, qui equos Afrorum more *ad curulia certamina studiose* aluit; et avus paternus, ei cogno-

πατέρα, τούτους μὲν ἐνταῦθα ἵππων νίκας, ἐν δὲ Ἰσθμῷ τοῦ Θεοχρήστου λαβεῖν τὸν πατέρα, τὸ ἐπίγραμμα δηλοῖ τὸ ἐπὶ τῷ ἅρματι. Ἀγήσαρχον δὲ τὸν Αἱμοστράτου Τριταιέα, κρατῆσαι μὲν πύκτας ἄνδρας ἐν Ὀλυμπίᾳ, καὶ Νεμέᾳ τε καὶ Πυθοῖ καὶ ἐν Ἰσθμῷ, μαρτυρεῖ τὸ ἐλεγεῖον. Ἀρκάδας δὲ τοὺς Τριταιεῖς εἶναι τοῦ ἐλεγείου λέγοντος, ἀληθεύοντα εὕρισκον. πόλεων γὰρ τῶν ἐν Ἀρκαδίᾳ ταῖς μὲν ἐπειλημμέναις δόξης οὐδὲ τὰ ἐς τοὺς οἰκιστάς ἐστιν ἄγνωστα· τὰς δὲ ἐξ ἀρχῆς τε ὑπὸ ἀσθενείας ἀφανεστέρας, καὶ δι' αὐτὸ ἀνοικισθείσας ἐς Μεγάλην πόλιν, οὐ περιέχει σφᾶς γενόμενον ὑπὸ τοῦ Ἀρκάδων κοινοῦ δόγμα; οὐδέ τινα ἔστιν ἐν Ἕλλησι Τριταίαν πόλιν ἄλλην γε ἢ τὴν Ἀχαιῶν εὑρεῖν. τηνικαῦτα γοῦν ἐς Ἀρκάδας ἡγοῖτο ἄν τις συντελέσαι τοὺς Τριταιεῖς, καθὰ καὶ νῦν ἔτι Ἀρκάδων αὐτῶν εἰσιν οἱ ἐς τὸ Ἀργολικὸν τελοῦντες. τοῦ Ἀγησάρχου δέ ἐστιν ἡ εἰκὼν τέχνη τῶν Πολυκλέους παίδων. τούτων μὲν δὴ ποιησόμεθα μνήμην καὶ ἐν τοῖς ὑστέροις τοῦ λόγου.

minis: tulere uterque Olympiacas de equorum ludicro palmas. Isthmicam praeterea Theochresti patrem coronam cepisse, indicat currus inscriptio. Hegesarchi Haemostrati filii Tritaeensis de virili in Olympia pugilatu, in Isthmo etiam, Pythone, et Nemea victorias elegi testantur: quibus quum Arcades Tritaeenses appellentur, non esse id a vero alienum comperi. Nam quum illustrium Arcadiae civitatum non sint omnino origines incognitae, quae quum ab initio essent obscuriores, propter imbecillitatem in Megalopolitanum nomen irrepsere, eae non omnino communi Arcadum nomine censae fuere: quare nullam omnino aliam Tritaeam, quam quae Achaeorum fuit, invenias. Tunc autem quum versus illi scripti fuere, facile quis existimarit, Arcadici Tritaeenses nominis fuisse, quemadmodum et nunc Arcades habentur, qui se Argivis contribuerunt. Hegesarchi statuam Polyclis discipuli fecere, de quibus et posterius mentionem faciemus.

CAPUT XIII.

Pila Chionidis victorias enumerans — Hermogenes Equus dictus, et Polites cursu insignis — Leonidas cursu celebratissimus — aliorum athletarum signa recensentur — de Phidolae equa — equo pilae insistente, victoriae Lyci monumento.

Ἄστυλος δὲ Κροτωνιάτης Πυθαγόρου μέν ἐστιν ἔργον· τρεῖς δὲ ἐφεξῆς Ὀλυμπιάσι σταδίου τε καὶ διαύλου νίκας εἶχεν. ὅτι δὲ ἐν δύο ταῖς ὑστέραις ἐς χάριν τὴν Ἱέρωνος τοῦ Δεινομένους ἀνηγόρευσεν ἑαυτὸν Συρακούσιον, τούτων εἵνεκα οἱ Κροτωνιᾶται τὴν οἰκίαν αὐτοῦ δεσμωτήριον εἶναι κατέγνωσαν, καὶ τὴν εἰκόνα καθεῖλον παρὰ τῇ Ἥρᾳ τῇ Λακινίᾳ κειμένην.

482 Ἀνάκειται δὲ ἐν τῇ Ὀλυμπίᾳ καὶ στήλη λέγουσα τοῦ Λακεδαιμονίου Χιόνιδος τὰς νίκας. εὐηθείας μὲν δὴ μετέχουσι καὶ ὅσοι Χίονιν αὐτὸν ἀναθεῖναι τὴν στήλην, ἀλλ' οὐ Λακεδαιμονίων ἥγηνται τὸ δημόσιον· ἔστω γὰρ δήπου, ὡς ἐν τῇ στήλῃ, οὐκ εἶναί πω τοῦ ὅπλου τὸν δρόμον· πῶς ἂν οὖν ἐπίσταιτο ὁ Χίονις, εἰ αὖθίς ποτε προσνομοθετήσουσιν Ἠλεῖοι; τούτων δὲ ἔτι ἐς πλέον ἥκου-

Cap. XIII. Astylus autem Crotoniata, Pythagorae opus fuit. Is Olympiacas deinceps tres de cursu repetito palmas tulit. Et huius quidem, quod Hieronis Dinomenis filii studio ductus, Syracusanum se renunciandum curasset in posterioribus duabus victoriis, *infamiae causa* domum Crotoniatae ad publici carceris usum destinarunt, et statuam in Lacedaemoniae Iunonis templo dedicatam everterunt. Extat Olympiae pila, in qua Lacedaemonii Chionidis victoriae incisae sunt. Parum autem, quid dicant, attendunt, qui dedicatam ab ipso Chionide, non publice a Lacedaemoniis, eam pilam arbitrantur. Nam quum testatum in ea sit, cursum cum clypeo nondum fuisse institutum, qui divinare Chionis potuisset, Eleorum lege hoc etiam ludicri genus aliquando sancitum iri? Ac multo sunt quidem hebetio-

σιν εὐηθείας, οἳ τὸν ἑστηκότα ἀνδριάντα παρὰ τῇ στήλῃ φασὶν εἰκόνα εἶναι Χιόνιδος, ἔργον ὄντα τοῦ Ἀθηναίου Μύρωνος. (2) Ἐοικότα δὲ Χιόνιδι τὰ ἐς δόξαν καὶ ἀνὴρ Λύκιος παρέσχετο Ἑρμογένης Ξάνθιος, ὃς τὸν κότινον ἐν τρισὶν Ὀλυμπιάσιν ἀνείλετο ὀκτάκις, ἐπίκλησίν τε ἔσχεν Ἵππος ὑπὸ Ἑλλήνων. ποιήσαιο δ' ἂν καὶ Πολίτην ἐν μεγάλῳ θαύματι. ὁ Πολίτης δ' ἦν οὗτος ἐκ Κεράμου τῆς ἐν τῇ Θρᾳκίᾳ Καρίᾳ. ἀνέφηνε δὲ ἀρετὴν ποδῶν ἐν Ὀλυμπίᾳ πᾶσαν. ἀπὸ γὰρ τοῦ μηκίστου καὶ διαρκεστάτου δι' ὀλιγίστου δὴ καιροῦ μεθηρμόσατο ἐπὶ τὸ βραχύτατον δρόμου· καὶ δολιχοῦ γε ἐν ἡμέρᾳ τῇ αὐτῇ καὶ παραυτίκα σταδίου λαβὼν νίκην, προσέθηκε διαύλου σφίσι τὴν τρίτην. Πολίτης μὲν δὴ ἐπὶ τῆς δευτέρας * καὶ τέσσαρας, ὡς ἕκαστοι συνταχθῶσιν ὑπὸ τοῦ κλήρου, καὶ οὐκ ἀθρόους ἀφιᾶσιν ἐς τὸν δρόμον· οἳ 483
δ' ἂν ἐν ἑκάστῃ τάξει κρατήσωσιν, ὑπὲρ αὐτῶν αὖθις θέουσι τῶν ἄθλων· καὶ οὕτω σταδίου δύο ὁ στεφανούμενος ἀναιρήσεται νίκας. (3) Τὰ μέντοι ἐπιφανέστατα

res, qui haerentem pilae statuam, Chionidis esse censent, quum sit Atheniensis Myronis opus. (2) Accessit prope ad Chionidis gloriam Lycius homo, Hermogenes Xanthius, qui ludis trinis Olympiacum oleastrum octies abstulit: quare Equi cognomento a Graecis celebratus est. Possunt iure Politis etiam victoriae cum admiratione audiri. Fuit hic e Ceramo Thraciae Cariae oppido, omnemque in Olympia pernicitatis laudem est meritus. Quod enim curriculi spatium ante lentius multo confici solitum fuerat, ad summam ipse brevitatem et celeritatem temporis contulit: eodemque die de longiore curriculo, deque stadio, et repetito cursu coronam cepit, et alterum quidem iterum curriculum ingressus. Neque enim universos, sed quatuor, ut quibusque primis sors obtigerit, e carceribus emittunt: quique ex ordinibus singulis vicerint, iis rursus cum aliorum ordinum victoribus de eodem praemio decertandum: quo fit, ut cui fuerit corona decreta, is palmam duplicem auferat. (3) In

ἐς δρόμον Λεωνίδᾳ Ῥοδίῳ ἐστίν. ἐπὶ γὰρ τέσσαρας Ὀλυμπιάδας, ἀκμάζων τε τῇ ὠκύτητι, ἀντήρκεσε, καὶ γεγόνασιν αὐτῷ δρόμου νῖκαι δύο ἀριθμὸν καὶ δέκα. Χιόνιδος δὲ οὐ πόῤῥω τῆς ἐν Ὀλυμπίᾳ στήλης ἕστηκε Δοῦρις ὁ Σάμιος, κρατήσας πυγμῇ παῖδας· τέχνη δὲ ἡ εἰκὼν ἔστι μὲν Ἱππίου, τὸ δὲ ἐπίγραμμα δηλοῖ τὸ ἐπ' αὐτῷ νικῆσαι *, ἡνίκα ὁ Σαμίων δῆμος ἔφευγεν ἐκ τῆς νήσου. τὸν δὲ καιρὸν, καθ' ὃν ἐπὶ τὰ οἰκεῖα τὸν δῆμον *. (4) Παρὰ δὲ τὸν τύραννον Δίαλλος ὁ Πόλλιδος ἀνάκειται, γένος μὲν Σμυρναῖος, Ἰώνων δὲ πρῶτος λαβεῖν ἐν Ὀλυμπίᾳ φησὶν οὗτος ὁ Δίαλλος παγκρατίου στέφανον ἐν παισίν. Θερσίλοχον δὲ Κερκυραῖον, καὶ Ἀριστίωνα Θεοφίλους Ἐπιδαύριον, τὸν μὲν ἀνδρῶν πυγμῆς, Θερσίλοχον δὲ λαβόντα ἐν παισὶ στέφανον, Πολύκλειτος ἐποίησε σφᾶς ὁ Ἀργεῖος. Βύκελος δὲ, ὃς Σικυωνίων πρῶτος πὺξ ἐκράτησεν ἐν παισὶν, ἔστιν ἔργον Σικυωνίου Κανάχου παρὰ τῷ Ἀργείῳ Πολυκλείτῳ διδαχθέντος. Παρὰ δὲ τὸν Βύκελον ὁπλίτης ἀνὴρ ἐπίκλησιν Λίβυς,

eo cursus genere excelluit Leonidas Rhodius. Is est enim quatuor Olympiadum praemia consecutus; quumque nulli adversariorum succubuisset, duodecim palmas unus abstulit. Non longe a Chionidis pila stat Duris Samius, de puerili pugilatu victor. Opus ea statua Hippiae est. Vicisse illum testatur inscriptio, quum Samii ex insula eiecti sunt: dedicatam statuam, quum in suas iam pristinas fuissent sedes restituti. (4) Iuxta tyranni effigiem Diallo Pollidis filio statua posita est. Fuit hic patria Smyrnaeus; et Ionici nominis primum de puerili pancratio coronam Olympicam cepisse tradunt. Iam vero Thersilochum Corcyraeum, et Aristionem Epidaurium, Theophilis filium, quorum ille pueros caestibus, hic viros vicit, Polycletus Argivus fecit. At Bycellum, qui primus e cunctis Sicyoniis pueros in pugilatu vicit, finxit Canachus Sicyonius, Polycleti Argivi discipulus. Prope Bycellum est Mnaseas Cyrenaeus gravi ac-

Μνασέας Κυρηναῖος ἕστηκε· Πυθαγόρας δὲ ὁ Ῥηγῖνος ἐποίησε τὴν εἰκόνα. Κυζικηνῷ δὲ Ἀγεμάχῳ τῶν ἐκ τῆς Ἀσιανῆς ἠπείρου γενέσθαι ἐν Ἄργει τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ μηνύει. Νάξου δὲ οἰκισθείσης ποτὲ ἐν Σικελίᾳ ὑπὸ Χαλκιδέων τῶν ἐπὶ τῷ Εὐρίπῳ, τῆς πόλεως μὲν οὐδὲ ἐρείπια ἐλείπετο ἐς ἡμᾶς ἔτι· ὄνομα δὲ καὶ ἐς τοὺς ἔπειτα εἶναι τῆς Νάξου, Τίσανδρος ὁ Κλεοκρίτου μάλιστα αἰτίαν ἐχέτω. τετράκις γὰρ δὴ ἐν ἀνδράσι κατεμαχέσατο ὁ Τίσανδρος πύκτας ἐν Ὀλυμπίᾳ, τοσαῦται δὲ 484
καὶ Πυθοῖ γεγόνασιν αὐτῷ νῖκαι· καὶ Κορινθίοις δὲ οὐκ ἦν πω τηνικαῦτα οὐδὲ Ἀργείοις ἐς ἅπαντας ὑπομνήματα τοὺς Νεμεάτας. (5) Ἡ δὲ ἵππος ἡ τοῦ Κορινθίου Φειδώλα, ὄνομα μὲν, ὡς οἱ Κορίνθιοι μνημονεύουσιν, ἔχει Αὔρα, τὸν δὲ ἀναβάτην ἔτι ἀρχομένου τοῦ δρόμου συνέπεσεν ἀποβαλεῖν αὐτὴν, καὶ οὐδέν τι ἧσσον θέουσα ἐν κόσμῳ περί τε τὴν νύσσαν ἐπέστρεφε, καὶ ἐπεὶ τῆς σάλπιγγος ἤκουσεν, ἐπετάχυνεν ἐς πλέον τὸν δρόμον, φθάνει τε δὴ ἐπὶ τοὺς Ἑλλανοδίκας ἀφικομένη καὶ νικῶσα

cinctus armatura, vir Lybis cognomento: cuius finxit statuam Pythagoras Rheginus. Cyziceno Agemacho e continenti Asiae terra, *statuam* Argis esse factam testatur apposita inscriptio. Naxi quidem, quam in Sicilia condidere quondam Chalcidenses, Euripi accolae, ne ipsa quidem ruinarum fragmenta aetate mea extant. Quod vero eius nomen ad posteros proditum fuerit, iure Tisandro Cleocriti filio fuerit ea laus tribuenda. Is enim quater viros pugilatu vicit Olympiae, quoties Pythicam etiam palmam abstulit. Nondum vero tunc neque a Corinthiis neque ab Argivis omnes Isthmii et Nemeatae victores in commentarios referebantur. (5) Phidolae Corinthii equa *praetereunda non est*, cui Aurae nomen fuisse memorant Corinthii. Haec ab ipsis statim carceribus sessore suo collapso, et cursum *pristinum*, aeque ac si rectorem haberet, retinuit, et circa metam se convertit; audito vero tubae sonitu ad cursum concitata est vehementius: cumque ad ludorum praefectos antevertisset,

ἔγνω, καὶ παύεται τοῦ δρόμου. Ἠλεῖοι δὲ ἀνηγόρευσαν ἐπὶ τῇ νίκῃ τὸν Φειδώλαν, καὶ ἀναθεῖναί οἱ τὴν ἵππον ταύτην ἐφιᾶσιν. (6) Ἐγένοντο δὲ καὶ τοῖς Φειδώλα παισὶν ἐπὶ κέλητι ἵππῳ νῖκαι, καὶ ὅ τε ἵππος ἐπὶ στήλῃ πεποιημένος, καὶ ἐπίγραμμά ἐστιν ἐπ' αὐτῇ·

> Ὠκυδρόμας Λύκος Ἴσθμι' ἅπαξ, δύο δ' ἐνθάδε νίκαις
> Φειδώλα παίδων ἐστεφάνωσε δόμους.

οὐ μὴν τῷ γε ἐπιγράμματι καὶ τὰ Ἠλείων ἐς τοὺς Ὀλυμπιονίκας ὁμολογεῖ γράμματα. ὀγδόῃ γὰρ Ὀλυμπιάδι καὶ ἑξηκοστῇ, καὶ οὐ πέρα ταύτης ἐστὶν ἐν τοῖς Ἠλείων γράμμασιν ἡ νίκη τῶν Φειδώλα παίδων. ταῦτα μὲν δὴ οὕτως ἔχοντα ἴστω τις. Ἠλείοις δὲ ἀνδράσιν Ἀγαθίνῳ τε τῷ Θρασυβούλου καὶ Τηλεμάχῳ, Τηλεμάχῳ μὲν ἐπὶ ἵππων νίκῃ γέγονεν ἡ εἰκών· Ἀγαθῖνον δὲ ἀνέθεσαν Ἀχαιοὶ Πελληνεῖς. Ἀνέθηκε δὲ καὶ ὁ Ἀθηναίων δῆμος Ἀριστοφῶντα Λυκίνου παγκρατιαστήν, ἐν τῷ ἀγῶνι τῷ ἐν Ὀλυμπίᾳ κρατήσαντα ἄνδρας.

iam victoriae se quasi compotem intelligens constitit. Elei Phidola victore renunciato, ei, ut et equae simulacrum dedicaret, concesserunt. (6) Contigit et Lyco Phidolae filio, et eius filiis de veredis de victoria. Insistit pilae victor equus cum inscriptione:

> Acer equis Lycus hic semel Isthmia vicit: et idem
> Phidolae Eleo cinxit honore domum.

Non tamen huic inscriptioni cum tabulis Eleorum, quibus Olympiorum victores celebrantur, satis convenit. Ad octavam enim et sexagesimam Olympiadem, et eam, quae consecuta est, Eleorum monumenta Phidolae filiorum victoriam referunt. Sed haec, qui volet curiosius exquiret. Stant *deinceps* Elei viri Agathinus Thrasybuli filius, et Telemachus. Victor hic extitit de equorum cursu: Agathinum ex Achaia Pellenenses posuere. Posuit et Atheniensium civitas Aristophontem Lycini filium, pancratiasten: vicit is ludis Olympicis viros.

CAPUT XIV.

Athletarum signa, et quae ad illos pertinent, porro recensentur — signum Milonis Crotoniatae, de cuius ingenti robore varia narrantur — Milonis mors — Pyrrhi regis signum — pila Pythocrito tibicini erecta et aliorum signa.

Φερίας δὲ Αἰγινήτης (οὗτος γὰρ παρὰ τὸν Ἀθηναῖον 485 *Ἀριστοφῶντα ἀνάκειται) ὀγδόῃ μὲν πρὸς ταῖς ἑβδομήκοντα Ὀλυμπιάδι κομιδῇ τε ἔδοξεν εἶναι νέος, καὶ οὐκ ἐπιτήδειός πω νομισθεὶς παλαίειν, ἀπηλάθη τοῦ ἀγῶνος· τῇ δὲ ἑξῆς (κατεδέχθη γὰρ τηνικαῦτα ἐς τοὺς παῖδας) ἐνίκα παλαίων. Τῷ δὲ Φερίᾳ τούτῳ διάφορον καὶ οὐδαμῶς ἐοικυῖαν ἔσχεν ἐν Ὀλυμπίᾳ τύχην νίκης Ὕλλος Ῥόδιος. ὄγδοον γὰρ ἐπὶ τοῖς δέκα ἔτεσι γεγονὼς, μὴ παλαῖσαι μὲν ἐν παισὶν ὑπὸ Ἠλείων ἀπηλάθη, ἀνηγορεύθη δὲ ἐν ἀνδράσιν, ὥσπερ γε καὶ ἐνίκησεν· ἀνηγορεύθη δὲ καὶ ὕστερον Νεμέᾳ τε καὶ Ἰσθμῷ. γεγονότα δὲ εἰκοσαετῆ τὸ χρεὼν ἐπιλαμβάνει, πρὶν ἢ ἐς τὴν Ῥόδον αὐτὸν οἴκαδε ἀναστρέψαι. Τὸ δὲ ἐν Ὀλυμπίᾳ τοῦ Ῥοδίου παλαιστοῦ τόλμημα Ἀρτεμίδωρος γένος Τραλλιανὸς ὑπερεβάλετο κατὰ ἐμὴν δόξαν. Ἀρτεμιδώρῳ γὰρ*

Cap. XIV. At Pherias Aegineta (proximus enim is est ad Atheniensem Aristophontem) octava supra septuagesimam Olympiade, quod erat admodum adolescens, neque iu luctandi certamine videbatur ullo pacto par adversario fore, de medio est iussus recedere: anno deinde insequenti admissus, pueros in lucta vicit. Dissimilis fuit Hylli Rhodii in Olympicis ludis fortuna. Annum enim duodevicesimum natus, reiectus ille quidem est, quo minus cum pueris lucta congrederetur; verum de viris palmam adeptus: idemque postea acceptis Nemeorum et Isthmiorum coronis, annum quum ageret vicesimum, praepropera ereptus est morte, priusquam patriam Rhodum, et penates suos reviseret. Sed Rhodii palaestritae laudes mea sententia Artemidorus Trallianus vicit; qui quum tener admodum pancratium puerile

ἁμαρτεῖν μὲν Ὀλυμπίων συνέβη παγκρατιάσοντι ἐν παισίν· αἰτία δέ οἱ ἐγένετο τῆς διαμαρτίας τὸ ἄγαν νέον. ὡς δὲ ἀφίκετο ἀγῶνος καιρὸς, ὃν Σμυρναῖοι Ἰώνων ἄγουσιν, ἐς τοσοῦτο ἄρα αὐτῷ τὰ τῆς ῥώμης ἐπηύξητο, ὡς κρατῆσαι παγκρατιάζοντα ἐπὶ ἡμέρας τῆς αὐτῆς τούς τε ἐξ Ὀλυμπίας ἀνταγωνιστὰς, καὶ, ἐπὶ τοῖς παισὶν, οὓς ἀγενείους καλοῦσι, καὶ τρίτα δὴ ὅ τι ἄριστον ἦν τῶν ἀνδρῶν. γενέσθαι δέ οἱ τὴν ἅμιλλαν πρὸς ἀγενείους τε καὶ ἄνδρας, τὴν μὲν ἐκ γυμναστοῦ παρακλήσεώς φασι, τὴν δὲ ἐξ ἀνδρὸς παγκρατιαστοῦ λοιδορίας. ἀνείλετο δὲ ἐν ἀνδράσιν ὁ Ἀρτεμίδωρος Ὀλυμπιακὴν νίκην δευτέρᾳ καὶ δεκάτῃ πρὸς διακοσίαις Ὀλυμπιάδι. Ὕλλου δὲ τῆς εἰκόνος ἵππος τε οὐ μέγας ἔχεται χαλκοῦς, ὃν Κρόκων Ἐρετριεὺς ἀνέθηκεν ἀνελόμενος κέλητι ἵππῳ στέφανον. Καὶ πλησίον τοῦ ἵππου Τελέστας ἐστὶ Μεσσήνιος, κρατήσας πυγμῇ παῖδας· Σιλανίωνος δὲ ἔργον ἐστὶν ὁ Τε-
486 λέστας. (2) Μίλωνα δὲ τὸν Διοτίμου πεποίηκε μὲν Δαμέας ἐκ Κρότωνος καὶ οὗτος. ἐγένοντο δὲ τῷ Μίλωνι ἓξ μὲν ἐν Ὀλυμπίᾳ πάλης νῖκαι, μία δ' ἐν παισὶν ἐξ αὐ-

inisset Olympiae, amissa ob aetatis infirmitatem palma, mox in Ioniam ad Smyrnaeos, quum ludos agitarent, venit. Tantum vero ei iam roboris accesserat, ut eodem die et eos, quos in Olympia adversarios habuerat, et in puerili ludicro, quos imberbes appellabant, et iam tertio loco virorum optimum quemque pancratio superarit. Et inpuberum quidem in certamen, gymnici magistri hortatu; in virorum autem, convicio pancratiastae lacessitum descendisse ferunt. Virilem certe palmam cepit Olympicam, Olympiade CCXII. Prope Hylli statuam, equum ex aere non utique magnum posuit Crocon Eretriensis, accepta de equo desultorio corona. Equo proximus est Telestas Messenius, puerilis pugilatus victor. Hunc Silanion fecit. (2) At Milonem Crotoniatem Diotimi filium, Dameas et ipse Crotoniates finxit. Palmas Milo Olympicas adeptus est sex, de lucta

τῶν· Πυθοῖ δὲ ἔν τε ἀνδράσιν ἕξ, καὶ μία ἐνταῦθα ἐν παισίν. ἀφίκετο δὲ καὶ ἕβδομον παλαίσων ἐς Ὀλυμπίαν· ἀλλὰ γὰρ οὐκ ἐγένετο οἷός τε καταπαλαῖσαι Τιμασίθεον πολίτην τε ὄντα αὐτῷ, καὶ ἡλικίᾳ νέον, πρὸς δὲ καὶ σύνεγγυς οὐκ ἐθέλοντα ἵστασθαι. λέγεται δὲ καὶ ὡς κομίσειεν αὐτὸς αὑτοῦ τὸν ἀνδριάντα ἐς τὴν Ἄλτιν ὁ Μίλων. λέγεται δὲ ἐς αὐτὸν καὶ τὸ ἐπὶ τῇ ῥοιᾷ καὶ τὸ ἐπὶ τῷ δίσκῳ. ῥοιὰν μὲν δὴ οὕτω κατεῖχεν, ὡς μήτε ἄλλῳ παρεῖναι βιαζομένῳ, μήτε αὐτὸς λυμήνασθαι πιέζων. ἱστάμενος δὲ ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε καὶ ὠθοῦντας ἀπὸ τοῦ δίσκου. παρείχετο δὲ καὶ ἄλλα τοιάδε ἐς ἐπίδειξιν. περιέδει τῷ μετώπῳ χορδὴν κατὰ ταὐτὰ δὴ καὶ εἰ ταινίαν περιθεῖτο ἢ στέφανον· κατέχων δὲ ἐντὸς χειλῶν τὸ ἆσθμα, καὶ ἐμπιπλὰς αἵματος τὰς ἐν τῇ κεφαλῇ φλέβας, διεῤῥήγνυεν ὑπὸ ἰσχύος τῶν φλεβῶν τὴν χορδήν. λέγεται δὲ καὶ ὡς τῆς δεξιᾶς χειρὸς τὸ μὲν ἐς τὸν ἀγκῶνα ἐκ τοῦ ὤμου παρ' αὐτὴν καθίει τὴν πλευρὰν, τὸ δὲ ἀπὸ τοῦ ἀγκῶνος ἔτεινεν ἐς εὐθὺ τῶν δακτύλων, τὸν μὲν αὐτῶν ἀνα-

omnes, ex iis puerilem unam; sex Pythicas e virorum, unam e puerorum certamine. Quum septimum in Olympiam luctaturus venisset, cum Timasitheo ille quidem, quod civis erat et peradolescens, ac certamen recusabat, non est congressus. Suam quidem ipsius statuam dicitur Milo intra Altin *suis humeris* deportasse. Traduntur de punica malo, et disco, haec *memoratu digna*. Punicum malum ita manu compressa tenebat, ut neque, qui conatus esset, extorqueret, neque ipse tamen illud eliderat. Peruncto disco quum institisset, omnes ludibrio habebat, qui se detrudere quantovis impetu facto conarentur. Magnum etiam illud fuit roboris documentum. Frontem chorda circumligabat perinde ac si taeniam sibi circumdaret aut coronam: intercluso deinde *quanta maxima vi poterat*, compressis labiis spiritu, quum venae capitis sanguine plurimo intumuissent,

στρέφων τὸν ἀντίχειρα ἐς τὸ ἄνω, τῶν λοιπῶν δὲ ἀλλήλοις ἐπικειμένων κατὰ στοῖχον· τὸν ἐλάχιστον οὖν τῶν δακτύλων κάτω γιγνόμενον οὐκ ἀπεκίνησεν ἄν τις βιαζόμενος. (3) Ἀποθανεῖν δὲ ὑπὸ θηρίων φασὶν αὐτόν· ἐπιτυχεῖν γὰρ αὐτὸν ἐν τῇ Κροτωνιάτιδι αὐαινομένῳ
487 ξύλῳ· σφῆνες δὲ ἐγκείμενοι διίστασαν τὸ ξύλον· ὁ δὲ ὑπὸ φρονήματος ὁ Μίλων καθίησι τὰς χεῖρας ἐς τὸ ξύλον. ὀλισθαίνουσί τε δὴ οἱ σφῆνες, καὶ ἐχόμενος ὁ Μίλων ὑπὸ τοῦ ξύλου λύκοις ἐγένετο εὕρημα. μάλιστα δέ πως τὸ θηρίον τοῦτο ἐν τῇ Κροτωνιάτιδι πολύ τε νέμεται καὶ ἄφθονον. Μίλωνι μὲν δὴ τὸ τοιόνδε τέλος ἐπηκολούθησε. (4) Πύῤῥον δὲ τὸν Αἰακίδου βασιλεύσαντα ἐν τῇ Θεσπρωτίδι ἠπείρῳ, καὶ ἔργα πολλὰ ἐργασάμενον καὶ ἄξια μνήμης, ἃ ἐν τῷ λόγῳ τῷ ἐς Ἀθηναίους ἐδήλωσα, τοῦτον ἐς τὴν Ἄλτιν ἀνέθηκε Θρασύβουλος Ἠλεῖος. Παρὰ δὲ τὸν Πύῤῥον ἀνὴρ μικρὸς αὐλοὺς ἔχων ἐστὶν ἐκτετυπωμένος ἐπὶ στήλης. τούτῳ Πυθικαὶ νῖκαι γεγόνασι τῷ ἀνδρὶ δευτέρῳ μετὰ Σακάδαν τὸν Ἀργεῖον. Σακάδας

venarum robore nervum rumpebat. Idem ubi porrecta dextera cubitum lateri admovisset sublatoque pollice reliquos digitos iunctim intendisset, minimum nemo erat, qui ullo nisu posset a ceteris abiungere. (3) Ferarum hunc laniatu periisse memorant. Conspicatus enim hiantem immissis cuneis quercum aridam, in Crotoniatarum finibus, robore suo pristino fretus, truncum illum manibus dicitur rescindere conatus. Ibi quum relaxatis cuneis, comprehensus manibus Milo detineretur, a lupis, quae fera frequens est in Crotoniatarum agro, discerptus est. Fuit illi fatalis virium suarum fiducia. (4) Pyrrhum Aeacidae filium, Thesprotidis Epiri regem, magnis et memoratu dignissimis rebus gestis, quas exposui in libro de rebus Atticis, in Alti posuit Thrasybulus Eleus. Prope Pyrrhum vir quidam pusillo corpore super pila stat tibias tenens. Huic Pythicae palmae *de tibiarum cantu*, primo post Sacadam Argivum, decretae sunt.

μὲν γὰρ τὸν ἀγῶνα τὸν τεθέντα ὑπὸ Ἀμφικτυόνων οὐκ ὄντα πω στεφανίτην, καὶ ἐπ' ἐκείνῳ στεφανίτας δύο ἐνίκησε. (5) Πυθόκριτος δὲ ὁ Σικυώνιος τὰς ἐφεξῆς τούτων Πυθιάδας ἕξ, μόνος δὴ οὗτος αὐλητής. δῆλα δὲ ὅτι καὶ ἐν τῷ ἀγῶνι τῷ Ὀλυμπίασιν ἐπηύλησεν ἑξάκις τῷ πεντάθλῳ. Πυθοκρίτῳ μὲν γέγονεν ἀντὶ τούτων ἡ ἐν Ὀλυμπίᾳ στήλη, καὶ ἐπίγραμμα ἐπ' αὐτῇ· Πυθοκρίτου Καλλινίκου μνᾶμα τοῦ αὐλητᾶ. Ἀνέθεσαν δὲ καὶ τὸ κοινὸν τὸ Αἰτωλῶν Κύλωνα, ὃς ἀπὸ τῆς Ἀριστοτίμου τυραννίδος ἠλευθέρωσεν Ἠλείους. Γόργον δὲ τὸν Εὐκλήτου Μεσσήνιον ἀνελόμενον πεντάθλου νίκην, καὶ Δαμάρετον καὶ τοῦτον Μεσσήνιον, κρατήσαντα πυγμῇ παῖδας, τὸν μὲν αὐτῶν Βοιώτιος Θήρων, Δαμαρέτου δὲ τὴν εἰκόνα Ἀθηναῖος Σιλανίων ἐποίησεν. Ἀναυχίδας δὲ ὁ Φίλυος Ἠλεῖος πάλης ἔσχεν ἐν παισὶ στέφανον, καὶ ἐν ἀνδράσιν ὕστερον· τούτῳ μὲν δὴ τὴν εἰκόνα ὅστις ὁ εἰργασμένος ἐστὶν, οὐκ ἴσμεν. Ἄνοχος δὲ ὁ Ἀδαμάτα Ταραντῖνος, σταδίου λαβὼν καὶ διαύλου νίκην, ἔστιν

Sacadas vero primum iis ludis vicit, quos Amphictyones instituere, nondum coronarios (quibus victores coronari nondum obtinuerat) post eos deinde e duobus ludis coronariis palmam reportavit. Pythocritus deinde post hos Sicyonius Pythicas tulit palmas sex, solus tibiis quum cecinisset. Satis constat eundem Olympiae in quinquertio senis ludis praecinuisse. (5) Honoris ergo pila ei erecta cum titulo: Pythocriti Callinici tibicinis monumenta. Aetoli quoque concilii sui decreto, Cydoni statuam dedicarunt, quum Eleos Aristotimi tyranni dominatu liberasset. Iam Gorgum Eucleti filium, Messenium, victorem quinquertii, Boeotius Theron: Demaratum vero, et ipsum Messenium, de puerorum pugilatu coronatum, Atheniensis Silanion finxit. Enimvero Anauchidas Philyis filius Eleus de puerili lucta coronam cepit, mox de virili etiam; sed quis eius statuam fecerit, compertum utique mihi non est. Anochus, Adamatae filius, Tarentinus, qui de stadio

Ἀγελάδα τέχνη τοῦ Ἀργείου. Παῖδα δὲ ἐφ' ἵππου καθήμενον, καὶ ἑστηκότα ἄνδρα παρὰ τὸν ἵππον, φησὶ τὸ
488 ἐπίγραμμα εἶναι Ξενόμβροτον ἐκ Κῶ τῆς Μεροπίδος, ἐπὶ ἵππου νίκῃ κεκηρυγμένον, Ξενόδικον δὲ ἐπὶ πυγμῇ παίδων ἀναγορευθέντα· τὸν μὲν Παντίας αὐτῶν, Ξενόμβροτον δὲ Φιλότιμος Αἰγινήτης ἐποίησε. Πύθου δὲ τοῦ Ἀνδρομάχου, γένος ἀνδρὸς ἐξ Ἀβδήρων, ἐποίησε μὲν Λύσιππος, ἀνέθεσαν δὲ οἱ στρατιῶται δύο εἰκόνας. εἶναι δὲ ἡγεμών τις ξένων ἢ καὶ ἄλλως τὰ πολεμικὰ ἀγαθὸς ὁ Πύθης ἔοικε. Κεῖνται δὲ καὶ ἐν παισὶν εἰληφότες δρόμου νίκας, Μενεπτόλεμος ἐξ Ἀπολλωνίας τῆς ἐν τῷ Ἰονίῳ, καὶ Κορκυραῖος Φίλων, ἐπὶ δὲ αὐτοῖς Ἱερώνυμος Ἄνδριος, ὃς τὸν Ἠλεῖον Τισαμενὸν πενταθλοῦντα ἐν Ὀλυμπίᾳ κατεπάλαισε, τὸν ἐν Ἕλλησιν ὕστερον τούτων ἐναντία Μαρδονίου καὶ Μήδων Πλαταιᾶσι μαντευσάμενον. οὗτός τε δὴ ὁ Ἱερώνυμος ἀνάκειται, καὶ παρ' αὐτὸν παλαιστὴς παῖς, Ἄνδριος καὶ οὗτος, Προκλῆς ὁ Λυκαστίδα. τοῖς πλάσταις δὲ, οἳ τοὺς ἀνδριάντας ἐποίη-

et repetito curriculo victor extitit, Ageladae Argivi opus fuit. Puerum equo insidentem, adsistente viro, testatur inscriptio Xenombrotum esse ex Coo Meropidis terrae, equestris victoriae praeconio nobilem. Eam statuam finxit Philotimus Aegineta: Xenodicum vero in puerorum pugilatu victorem, Pantias fecit. At Pythis Andromachi filii, patria Abderitae, fecit quidem Lysippus, dedicarunt vero milites, qui sub eo meruere, statuas duas. Ducem enim mercenariorum, aut alioqui bellicis rebus clarum Pythem fuisse, facile iudices. Positi etiam sunt de cursu victores pueri, Meneptolemus ex Apollonia, quae in Ionio est; et Corcyraeus Philon. Ad hos Hieronymus Andrius, a quo deiectus est in Olympico quinquertio Tisamenus Eleus, is nempe, quo postea in Plataeensi praelio contra Mardonium Persarum ducem augure Graeci usi sunt. Proximus Hieronymo est puer palaestrita, et ipse Andrius, Procles Lycastidae

σαν, τῷ μὲν Στόμιός ἐστιν ὄνομα, τῷ δὲ τὸν Προκλέα εἰργασμένῳ Σῶμις. Αἰσχίνῃ δὲ Ἠλείῳ νῖκαί τε δύο ἐγένοντο πεντάθλου, καὶ ἴσαι ταῖς νίκαις αἱ εἰκόνες.

CAPUT XV.

Athletarum signa Olympiae porro recensentur — Pantarcis signum — Clitomachi signum eiusque facta — Archidami, Agesilai filii, ac Demetrii eiusque filii, Antigoni, signa — Arei, Lacedaem. regis — Ptolemaei, Lagi filii, et Capri Elei signa.

Ἀρχίππῳ δὲ Μιτυληναίῳ τοὺς ἐς τὴν πυγμὴν ἐσελθόντας κρατήσαντι ἄνδρας ἄλλο τοιόνδε προσποιοῦσιν οἱ Μιτυληναῖοι ἐς δόξαν, ὡς καὶ τὸν ἐν Ὀλυμπίᾳ καὶ Πυθοῖ καὶ Νεμέᾳ καὶ Ἰσθμῷ λάβοι στέφανον, ἡλικίαν οὐ πρόσω γεγονὼς ἐτῶν εἴκοσι. Τὸν δὲ παῖδα σταδιοδρόμον Ζήνωνα Καλλιτέλους ἐκ Λεπρέου τοῦ ἐν τῇ Τριφυλίᾳ Πυριλάμπης Μεσσήνιος, Κλειτόμαχον δὲ Ἠλεῖον ὅστις ὁ ποιήσας ἐστὶν, οὐκ ἴσμεν· ἀνηγορεύθη δὲ ὁ Κλειτόμαχος ἐπὶ νίκῃ πεντάθλου. (2) Πανταρκη δὲ Ἠλεῖον Ἀχαιῶν ἀνάθημα εἶναι, τὸ ἐπίγραμμα τὸ ἐπ'

filius: illum Stomius, hunc Somis fictores fecere. Aeschini Eleo duae quinquertii palmae evenere, et totidem erectae fuerunt statuae.

Cap. XV. Archippo Mitylenaeo, qui viros caestibus vicit, et alias cives sui ad nominis celebritatem tribuunt victorias. Coronas enim tradunt eum Olympicas, Pythicas, Nemiacas, et Isthmicas cepisse, quum annum nondum excessisset vicesimum. Zenonem autem Callitelis filium, e Lepreo Triphyliae, victorem e puerorum stadio, Pyrilampes Messenius finxit. Nam Clitomachum Eleum, quinquertii victoria nobilitatum, quis fecerit plane ignoro. (2) Pantarcem quidem Eleum, ab Achaeis dedicatum, ipsa testatur

αὐτῷ φησιν· εἰρήνην τε γὰρ Ἀχαιοῖς ποιῆσαι καὶ Ἠλείοις αὐτὸν, καὶ ὅσοι παρ' ἀμφοτέρων πολεμούντων ἑαλώκεσαν, ἄφεσιν καὶ τούτοις γενέσθαι δι' αὐτοῦ. οὗτος ἀνεί-
489 λετο καὶ κέλητι ἵππῳ νίκην ὁ Παντάρκης, καὶ οἱ καὶ τῆς νίκης ὑπόμνημά ἐστιν ἐν Ὀλυμπίᾳ. Ὀλίδαν δὲ ἀνέθηκεν Ἠλεῖον τὸ ἔθνος τὸ Αἰτωλῶν. Χαρῖνος δὲ Ἠλεῖος ἐπὶ διαύλου τε ἀνάκειται καὶ ὅπλου νίκῃ. Παρὰ δὲ αὐτὸν Ἀγέλης Χῖος κρατήσας πυγμῇ παῖδας, Θεομνήστου Σαρδιανοῦ τέχνη. (3) Κλειτομάχου δὲ Θηβαίου τὴν μὲν εἰκόνα ἀνέθηκεν Ἑρμοκράτης ὁ τοῦ Κλειτομάχου πατήρ. τὰ δέ οἱ ἐς δόξαν ἦν τοιάδε· ἐν Ἰσθμῷ παλαιστὰς κατεπάλαισεν ἄνδρας, καὶ ἐπὶ ἡμέρας τῆς αὐτῆς τούς τε τὴν πυγμὴν καὶ τοὺς ἐς τὸ παγκράτιον ἐσελθόντας ἐκράτει τῇ μάχῃ. αἱ δὲ Πυθοῖ νῖκαι παγκρατίου μέν εἰσιν αὐτῷ πᾶσαι, τρεῖς δὲ ἀριθμόν. ἐν δὲ Ὀλυμπίᾳ δεύτερος ὁ Κλειτόμαχος οὗτος μετὰ τὸν Θάσιον Θεαγένην ἐπὶ παγκρατίῳ τε ἀνηγορεύθη καὶ πυγμῇ. παγκρατίου μὲν οὖν μιᾷ πρὸς μʹ καὶ ρʹ Ὀλυμπιάσιν ἔφθανεν ἀνηγορημέ-

inscriptio, quod scilicet pacis inter Achaeos et Eleos sequester fuisset, quodque iis, qui ab utrisque bello capti essent, manumissionem impetrasset. Quare quum desultorio equo in Olympia vicisset, hoc ei *Achaei* monumentum posuerunt. Eleum Olidan dedicavit Aetolorum natio. At Charinus Eleus de repetito cursu, deque armatorum ludicro victoriae monumentum habet. Prope ipsum Ageles Chius, victis pugilatu pueris, Theomnesti Sardiani opus. (3) Clitomachi Thebani effigiem statuit Hermocrates, Clitomachi pater. Eius maxime illustria opera haec fuerunt. Ad Isthmum viros palaestritas perculit; eodemque die de pugilatu palmam tulit, et eos, qui in pancratium descenderant, *luctando* vicit. De pancratio Pythicae eius palmae fuere numero tres. In Olympia secundus hic Clitomachus Thasio Theageni de pancratio et pugilatu victor renunciatus est. Et pancratii quidem palmam centesima quadragesima prima Olympiade est adeptus. Nam ea, quae consecuta est,

νας νίκησιν. ἡ δὲ Ὀλυμπιὰς ἡ ἐφεξῆς εἶχε μὲν τὸν Κλειτόμαχον τοῦτον παγκρατίου καὶ πυγμῆς ἀγωνιστήν· εἶχε δὲ καὶ Ἠλεῖον Κάπρον ἐπὶ ἡμέρας τῆς αὐτῆς καλεῖσθαί τε ὁμοῦ καὶ παγκρατιάσαι προθυμούμενον. γεγονυίας δὲ ἤδη τῷ Κάπρῳ νίκης ἐπὶ τῇ πάλῃ, ἀνεδίδασκεν ὁ Κλειτόμαχος τοὺς Ἑλλανοδίκας γενήσεσθαι σὺν τῷ δικαίῳ σφίσιν, εἰ τὸ παγκράτιον ἐσεκαλέσαντο πρὶν ἢ πυκτεύσαντα αὐτὸν λαβεῖν τραύματα. λέγει τε δὴ εἰκότα, καὶ οὕτως ἐσκληθέντος τοῦ παγκρατίου, κρατηθεὶς ὑπὸ τοῦ Κάπρου, ὅμως ἐχρήσατο ἐς τοὺς πύκτας θυμῷ τε ἐρρωμένῳ καὶ ἀκμῆτι τῷ σώματι. Ἐρυθραῖοι δὲ οἱ Ἴωνες Ἐπιθέρσην τὸν Μητροδώρου, δύο μὲν ἐν Ὀλυμπίᾳ πυγμῆς, δὶς δὲ Πυθοῖ νίκας καὶ ἐν Νεμέᾳ τε καὶ ἐν Ἰσθμῷ λαβόντα, οὗτοι μὲν τὸν Ἐπιθέρσην τοῦτον ἀνέθεσαν. Συρακούσιοι δὲ δύο μὲν Ἱέρωνος εἰκόνας τὸ δημόσιον, τρίτην δὲ ἀνέθεσαν οἱ τοῦ Ἱέρωνος παῖδες. ἐδήλωσα δὲ ὀλίγῳ τινὶ πρότερον, ὡς ὁμώνυμός τε τῷ Δεινομένους ὁ Ἱέρων οὗτος, καὶ Συρακουσσῶν εἴη κατὰ ταὐτὰ ἐκείνῳ 490
τύραννος. Ἀνέθεσαν δὲ καὶ Ἠλεῖον ἄνδρα Τιμόπτολιν Λάμπιδος Παλεῖς, ἡ τετάρτη Κεφαλλήνων μοῖρα. οὗτοι

pancratio et caestibus depugnavit. Prodiit eodem die Caprus Eleus, palaestram et pancratium professus: delata vero iam Capro de palaestra palma, docuit Clitomachus ludorum praefectos, ius esse pancratium committi integris corporibus, priusquam vulnus ullum ex pugilatu acciperetur. Quo facto in pancratio quidem Capro succubuit: contra pugiles vero, summa animi praesentia, et corpore usus est firmissimo. Erythraei ex Ionia Epithersen Metrodori filium, bis Olympiae, toties in Pythicis; Isthmicis quoque et Nemeis de caestibus victorem declaratum dedicarunt. At Syracusani duas Hieroni publice, unam eidem ipsius filii statuam posuere. Paulo quidem superius ostendi, et hunc Hieronem idem cum superiore nomen habuisse, et Syracusis itidem dominatum. Posuerunt etiam Palenses, quarta Cephalleniorum tribus, Timoptolin Eleum, Lampidis filium. (Prisco

δὲ οἱ Παλεῖς ἐκαλοῦντο Δουλίχιοι εἰς τὰ ἀρχαιότερα. (4) Ἀνάκειται δὲ καὶ Ἀρχίδαμος ὁ Ἀγησιλάου, καὶ ἀνὴρ ὅστις δὴ θηρεύοντος παρεχόμενος σχῆμα. Δημήτριον δὲ τὸν ἐλάσαντα ἐπὶ Σέλευκον στρατιᾷ καὶ ἁλόντα ἐν τῇ μάχῃ, καὶ τοῦ Δημητρίου τὸν παῖδα Ἀντίγονον, ἀναθήματα ἴστω τὶς Βυζαντίων ὄντας. Σπαρτιάτῃ δὲ Εὐτελίδῃ γεγόνασιν ἐν παισὶ νῖκαι δύο ἐπὶ τῆς ὀγδόης καὶ τριακοστῆς Ὀλυμπιάδος πάλης, ἡ δὲ ἑτέρα πεντάθλου. πρῶτον γὰρ δὴ τότε οἱ παῖδες καὶ ὕστερον πενταθλήσοντες ἐσεκλήθησαν. ἔστι δὲ ἥ τε εἰκὼν ἀρχαία τοῦ Εὐτελίδα, καὶ τὰ ἐπὶ τῷ βάθρῳ γράμματα ἀμυδρὰ ὑπὸ τοῦ χρόνου. (5) Μετὰ δὲ τὸν Εὐτελίδαν Ἀρεύς τε αὖθις ὁ Λακεδαιμονίων βασιλεύς, καὶ Ἠλεῖος παρ' αὐτὸν ἀνάκειται Γόργος. μόνῳ δὲ ἀνθρώπων ἄχρι ἐμοῦ τῷ Γόργῳ τέσσαρες μὲν ἐν Ὀλυμπίᾳ γεγόνασιν ἐπὶ πεντάθλῳ, διαύλου δὲ καὶ ὅπλου μία ἐφ' ἑκατέρου νίκη. (6) Ὅτῳ δὲ παρεστήκασιν οἱ παῖδες, τοῦτον μὲν Πτολεμαῖον τὸν Λάγου φασὶν εἶναι· παρὰ δὲ αὐτὸν ἀνδριάντες δύο ἀνδρός

certe nomine Palenses Dulichii sunt appellati.) (4) Et suus ibidem honos est habitus Archidamo, Agesilai filio; iuxta quem est vir nescio quis, venatoris in modum ornatus. Demetrium certe, qui contra Seleucum bello suscepto, in pugna captus est, eiusque filium Antigonum, norit, qui animadvertet, Byzantiorum dedicationes esse. Spartano quidem Eutelidae, octava et tricesima Olympiade de puerili palaestra una, de quinquertio palma altera delata est. Tunc enim luctatorum prius, ac deinde quinquertionum ludicrum committebatur. Eutelidae effigies pervetusta est; quaeque in basi incisae literae, sunt ipsa iam vetustate pene abolitae. (5) Post Eutelidam est rursum Areus Lacedaemoniorum rex: eique proximus Eleus Gorgus, cui ad meam usque aetatem uni Olympicae palmae de quinquertio quatuor, de repetito cursu et de cursu clypeato singulae decretae. (6) Virum illum, cui adsistunt pueri, Ptolemaeum esse aiunt Lagi filium. Proximo loco statuae duae Capri Py-

εἰκὼν Ἠλείου Κάπρου τοῦ Πυθαγόρου, πάλης τε εἰληφότος καὶ παγκρατίου στέφανον ἐπὶ ἡμέρας τῆς αὐτῆς. χρόνῳ δὲ γεγόνασιν ἀνθρώπων αἱ δύο νῖκαι τῷ Κάπρῳ τούτῳ. τὸν μὲν δὴ ἐπὶ τοῦ παγκρατίου καταγωνισθέντα ὑπ' αὐτοῦ δεδήλωκεν ὁ λόγος ἤδη μοι· παλαίων δὲ κατέβαλεν Ἠλεῖον Παιάνιον Ὀλυμπιάδα πάλῃ τὴν προτέραν ἀνῃρημένον, καὶ Πύθια παίδων τε πυγμῇ, καὶ αὖθις ἐν ἀνδράσι πάλῃ τε καὶ πυγμῇ στεφανωθέντα ἐπὶ ἡμέρας τῆς αὐτῆς. Κάπρῳ μὲν δὴ οὐκ ἄνευ μεγάλων πόνων καὶ ἰσχυρᾶς ταλαιπωρίας ἐγένοντο αἱ νῖκαι.

CAPUT XVI.

Athletarum signa Olympiae — Timonis — Hellados et Elidis signa — de equestri curriculo — curru Polypithis et signis Eleorum, qui athletae non fuerunt — pila Dinosthenis, quae viam ex Olympia Lacedaemonem metitur — aliorum athletarum signis.

Εἰσὶ δὲ εἰκόνες ἐν Ὀλυμπίᾳ καὶ Ἀναυχίδᾳ καὶ Φερενίκῳ, γένος μὲν Ἠλείοις, πάλης δὲ ἐν παισὶν ἀγελομένοις στεφάνους. Πλειστάινον δὲ τὸν Εὐρυδάμου τοῦ 491

thagorae filii, qui palaestrae pancratiique eodem die palmam cepit: et ei quidem primo omnium binae de illis certaminibus palmae eodem die evenere. Et in pancratio sane, quem habuerit adversarium, superius exposui: in palaestra vero Paeanium Eleum stravit, qui superiore Olympiade victor de eadem palaestra renunciatus fuerat: idemque Pythicis ludis pueros in pugilatu vicerat, rursusque in virorum certamine eodem die palaestrae caestuumque coronam acceperat. Capro igitur haudquaquam parvo negotio, aut labore levi suae obtigere victoriae.

Cap. XVI. Sunt etiam Olympiae Anauchidae et Phereníci statuae. Elei fuere, et in puerorum luctá victoriam sunt adepti. Pliataenum filium Eurydami, Aetolorum con-

Σελεάδας δὲ ἀνδρῶν πάλην. (5) Ἐνταῦθα καὶ ἅρμα οὐ μέγα ἀνάκειται Πολυπείθους Λάκωνος, καὶ ἐπὶ στήλης τῆς αὐτῆς Καλλιτέλης ὁ τοῦ Πολυπείθους πατὴρ, παλαιστὴς ἀνήρ· νῖκαι δέ σφισιν, τῷ μὲν ἵπποις, Καλλιτέλει δὲ παλαίσαντι εἰσιν. Ἰδιώτας δὲ ἄνδρας Ἠλείους, Λάμπον Ἀρνίσκου, καὶ Ἀρίσταρχον, Ψωφίδιοι προξένους ὄντας σφίσιν ἀνέθεσαν, ἢ καὶ ἄλλην τινὰ ἐς αὐτοὺς ἔχοντες εὔνοιαν· μέσος δὲ ἕστηκεν αὐτῶν Λύσιππος Ἠλεῖος, καταπαλαίσας τοὺς ἐσελθόντας τῶν παίδων. Ἀνδρέας δὲ Ἀργεῖος ἐποίησε τοῦ Λυσίππου τὴν εἰκόνα. (6) Λακεδαιμονίῳ δὲ Δεινοσθένει σταδίου τε ἐγένετο ἐν ἀνδράσιν Ὀλυμπικὴ νίκη· καὶ στήλην ἐν τῇ Ἄλτει παρὰ τὸν ἀνδριάντα ἀνέθηκεν ὁ Δεινοσθένης· ὁδοῦ δὲ τῆς ἐς Λακεδαίμονα ἐξ Ὀλυμπίας ἐπὶ ἑτέραν στήλην τὴν ἐν Λακεδαίμονι μέτρα εἶναι σταδίους ἑξήκοντά τε καὶ ἑξακοσίους. (7) Θεόδωρον δὲ λαβόντα ἐπὶ πεντάθλῳ νίκην, καὶ Πύτταλον Λάμπιδος πυγμῇ παῖδας κρατήσαντα, καὶ Νελαΐδαν σταδίου τε ἀνελόμενον καὶ ὅπλου στέφανον,

stuum, pueros; Seleadas luctae certamine viros vicit. (5) Ibidem currus positus est non magnus Polypithis Laconis; et super eadem pila Calliteles Polypithis pater palaestra clarus. Lucta Calliteles, at Polypithes equis coronam promeritus. Ordinarios vero et privatos homines Eleos, Lampum Arnisci, et Aristarchum, vel hospitii vel aliorum causa meritorum, Psophidii posuerunt. Medio stat inter eos loco Lysippus Eleus, victis, qui in luctae certamen descenderant, pueris. Andreas Argivus Lysippi statuam finxit. (6) Dinosthenes Lacedaemonius e stadio viris devictis Olympicam palmam tulit, sibique in Alti pilam et statuam posuit. Ab ea quidem pila, via, qua ex Olympia Lacedaemonem iter est, ad pilam alteram, quae Lacedaemone erecta est, stadia intersunt DCLX. (7) Theodorum, qui in quinquertio victoriam est adeptus; et Pyttalum Lampidis filium, qui caestibus pueros vicit: Nelaidam praeterea, qui de sta-

Ἠλείους σφᾶς ὅπως ἴστω τις. Ἐπὶ δὲ τῷ Πυττάλῳ καὶ τάδε ἔτι λέγουσιν, ὡς γενομένης πρὸς Ἀρκάδας Ἠλείοις ἀμφισβητήσεως περὶ γῆς ὅρων, εἶπεν οὗτος ὁ Πύτταλος τὴν δίκην. ὁ δέ οἱ ἀνδριὰς ἔργον ἐστὶν Ὀλυνθίου Σθένιδος. Ἐφεξῆς δὲ Πτολεμαῖός τέ ἐστιν ἀναβεβηκὼς ἵππον, καὶ παρ' αὐτὸν Ἠλεῖος ἀθλητὴς Παιάνιος ὁ Δαματρίου, πάλης τε ἐν Ὀλυμπίᾳ καὶ τὰς δύο Πυθικὰς 493
ἀνῃρημένος νίκας. Κλεάρετός τέ ἐστιν Ἠλεῖος πεντάθλου λαβὼν στέφανον· καὶ ἅρμα ἀνδρὸς Ἀθηναίου Γλαύκωνος τοῦ Ἐτεοκλέους· ἀνηγορεύθη δὲ ὁ Γλαύκων οὗτος ἐπὶ ἅρματος τελείου δρόμῳ.

CAPUT XVII.

Athletarum signa ab alia Altis parte posita — Ptolemaei, nepotis Ptolem. Lagi, signum — Hermesianactis — Eperasti vatis — Gorgiae rhetoris signum et de eo memoranda.

Ταῦτα μὲν δὴ τὰ ἀξιολογώτατα ἀνδρὶ ποιουμένῳ τὴν ἔφοδον ἐν τῇ Ἄλτει κατὰ τὰ ἡμῖν εἰρημένα. εἰ δὲ ἀπὸ τοῦ Λεωνιδαίου πρὸς τὸν βωμὸν τὸν μέγαν ἀφικέσθαι

dio et armatorum cursu coronam cepit, neminem fugiat Eleos fuisse. De Pyttalo amplius hoc traditum est, quod fuerit Arcadibus et Eleis de agrorum finibus disceptantibus arbiter datus. Est eius statua Olynthii Sthenidis opus. Succedit Ptolemaeus equo insidens. Prope eum Eleus athleta, Paeanius Demetrii filius, qui de lucta Olympiae unam, e Pythicis ludis duas abstulit palmas. Clearestus deinde Eleus, qui de quinquertio corona donatus est. Spectatur et Atheniensis viri Glauconis Eteoclis filii currus: renunciatus victor est de curuli certamine integra aetate equorum.

Cap. XVII. Quae adhuc commemorata sunt, qui in Altin introierint, maxime insignia spectare possint. A Leonidae vero monumento rursus ad aram maximam dextera

τῇ δεξιᾷ θελήσειας, τοσάδε ἐστί σοι τῶν ἀνηκόντων ἐς μνήμην. Δημοκράτης Τενέδιος, καὶ Ἠλεῖος Κριάνιος· οὗτος μὲν ὅπλου λαβὼν νίκην, Δημοκράτης δὲ ἀνδρῶν πάλης· ἀνδριάντας δὲ τοῦ μὲν Μιλήσιος Διονυσικλῆς, τοῦ δὲ Κριανίου Μακεδὼν Λῦσός ἐστιν ὁ ἐργασάμενος. Κλαζομενίου δὲ Ἡροδότου καὶ Φιλίνου τοῦ Ἡγεπόλιδος Κῴου ἀνέθεσαν τὰς εἰκόνας αἱ πόλεις· Κλαζομένιοι μὲν, ὅτι ἐν Ὀλυμπίᾳ Κλαζομενίων πρῶτος ἀνηγορεύθη νικῶν Ἡρόδοτος· ἡ δὲ οἱ νίκη σταδίου γέγονεν ἐν παισί· Φιλίνου δὲ οἱ Κῷοι δόξης ἕνεκα ἀνέθεσαν. ἐν μέν γε Ὀλυμπίᾳ δρόμου γεγόνασιν αὐτῷ νῖκαι πέντε, τέσσαρες δὲ Πυθοῖ, καὶ ἴσαι Νεμείων, ἐν δὲ Ἰσθμῷ μία ἐπὶ ταῖς δέκα. (2) Πτολεμαῖον δὲ τοῦ Πτολεμαίου τοῦ Λάγου Ἀριστόλαος ἀνέθηκε Μακεδὼν ἀνήρ. Ἀνάκειται δὲ καὶ πύκτης κρατήσας ἐν παισὶ, Βούτας Πολυνείκους Μιλήσιος, καὶ Καλλικράτης ἀπὸ τῆς ἐπὶ Ληθαίῳ Μαγνησίας, ἐπὶ τῷ ὁπλίτῃ δρόμῳ στεφάνους δύο ἀνῃρημένος· Λυσίππου δὲ ἔργον ἡ τοῦ Καλλικράτους ἐστὶν εἰκών. Ἐπαν-

via contendentibus, digna, quae literis mandentur, haec sunt. *Primi ante oculos sunt* Democrates Tenedius, et Crianius Eleus: hic de cursu armatorum, ille de virorum lucta praemia tulere: et Democratis, Milesius Dionysicles; Criani, Lysus Macedo statuas fecere. At *iis, qui loco sunt proximi*, Herodoto Clazomenio, et Philino Coo, Hegepolidis filio, sua utrique patria statuae honorem habuit. Clazomenii Herodoto, quod primus ex ea civitate Olympicorum ludorum victor est declaratus, victis in stadio pueris. Philino Coi, quod illustri admodum fuit gloria. De cursu enim Olympicas quinque, Pythicas quatuor, Nemeorum totidem; ab Isthmo unam amplius, quam decem palmas abstulit. (2) Iam vero Ptolemaeus, Ptolemaei filius, Lagi nepos, Aristolai Macedonis donum fuit. *Eo ipso in loco* et pugil positus est, Butas Milesius, Polynicis filius, de pueris palmam nactus. Callicrates etiam e Magnesia ad Lethaeum: vicit bis in armatorum cursu. Callicratis haec

τίωνι δὲ καὶ Ἀλεξιβίῳ, τῷ μὲν ἐν παισὶ σταδίου, Ἀλεξιβίῳ δὲ πεντάθλου γέγονε νίκη· καὶ Ἡραία τε Ἀρκάδων ἐστὶν αὐτῷ πατρὶς, καὶ Ἀκέστωρ ὁ τὴν εἰκόνα εἰργασμένος· Ἐμαντίωνα δὲ, ἥστινος ἦν, οὐ δηλοῖ τὸ ἐπίγραμμα· ὅτι δὲ τοῦ Ἀρκάδων ἦν ἔθνους, δηλοῖ. (3) Κολοφώνιοι δὲ Ἑρμησιάναξ Ἀγονίου, καὶ Εἰκάσιος Λυκίνου τε ὢν καὶ τῆς Ἑρμησιάνακτος θυγατρὸς, καταπαλαισαν μὲν παῖδας ἀμφότεροι· Ἑρμησιάνακτι δὲ καὶ ἀπὸ τοῦ κοινοῦ τοῦ Κολοφωνίων ὑπῆρξεν ἀνατεθῆναι τὴν εἰκόνα. Τούτων δέ εἰσιν Ἠλεῖοι πλησίον πυγμῇ παῖδας 494
κρατήσαντες, ὁ μὲν Σθένιδος ἔργον τοῦ Ὀλυνθίου Χοίριλος, Θεότιμος δὲ Δαιτώνδα Σικυωνίου. παῖς δὲ ὁ Θεότιμος ἦν Μοσχίωνος, Ἀλεξάνδρῳ τῷ Φιλίππου τῆς ἐπὶ Δαρεῖον καὶ Πέρσας στρατείας μετασχόντος. (4) Δύο δὲ αὖθις ἐξ Ἤλιδος, Ἀρχίδαμος τεθρίππῳ νενικηκὼς, καὶ Ἐπέραστός ἐστιν ὁ Θεογόνου, ὅπλου νίκην ἀνῃρημένος. εἶναι δὲ καὶ μάντις ὁ Ἐπέραστος τοῦ Κλυτιδῶν γένους φησὶν ἐπὶ τοῦ ἐπιγράμματος τῇ τελευτῇ·

imago, Lysippi opus est. *Spectantur deinde* Emantion de puerili stadio, et Alexibius, de quinquertio victores. Fuit huic patria Heraea Arcadum oppidum: imaginem Acestor elaboravit. Emantionis effigiem quisnam fecerit, non indicat inscriptio; ex Arcadia tantum fuisse illum planum facit. (3) Colophonii *exin* Hermesianax Agonei filius, et Icasius Lycini ex Hermesianactis filia, pueros uterque in palaestrae certamine superarunt: et Hermesianacti quidem publice Colophonii statuam posuere. His proximi *athletae duo* Elei, a quibus pueri in pugilatu victi: Sthenis, Olynthii Choerili opus; et Theotimus, a Daetonda Sicyonio factus. Theotimus iste patre natus Moschione, qui Alexandro contra Darium et Persas bellanti stipendia fecit. (4) Iam duo item ex Elide, Archidamus quadrigis, et Theogoni filius Eperastus clypeato cursu victor. Eperastum hunc vatem etiam fuisse e Clytidarum familia, extrema indicat inscriptionis clausula:

Τῶν δ' ἱερογλώσσων Κλυτιδᾶν γένος εὔχομαι εἶναι,
Μάντις ἀπ' ἰσοθέων αἷμα Μελαμποδιδᾶν.

Μελάμποδος γὰρ ἦν τοῦ Ἀμυθάονος Μάντιος, τοῦ δὲ Ὀϊκλῆς· Κλυτίος δὲ Ἀλκμαίωνος τοῦ Ἀμφιαράου τοῦ Ὀϊκλέους. ἐγεγόνει δὲ τῷ Ἀλκμαίωνι ὁ Κλυτίος ἐκ τῆς Φηγέως θυγατρὸς, καὶ ἐς τὴν Ἦλιν μετῴκησε, τοῖς ἀδελφοῖς εἶναι τῆς μητρὸς σύνοικος φεύγων, ἅτε τοῦ Ἀλκμαίωνος ἐπιστάμενος σφᾶς εἰργασμένους τὸν φόνον. (5) Ἀνδριάντας δὲ ἀναμεμιγμένους οὐκ ἐπιφανέσιν ἄγαν ἀναθήμασιν, Ἀλεξίνικόν τε Ἠλεῖον, τέχνην τοῦ Σικυωνίου Κανθάρου, πάλης ἐν παισὶν ἀνῃρημένον νίκην, καὶ τὸν Λεοντῖνον Γοργίαν ἰδεῖν ἔστιν· ἀναθεῖναι δὲ τὴν εἰκόνα ἐς Ὀλυμπίαν φησὶν Εὔμολπος ἀπόγονος τρίτος Δηϊκράτους, συνοικήσαντος ἀδελφῇ τῇ Γοργίου. οὗτος
495 *ὁ Γοργίας πατρὸς μὲν ἦν Καρμαντίδου, λέγεται δὲ ἀνασώσασθαι μελέτην λόγων πρῶτος ἠμελημένην τε ἐς ἅπαν, καὶ ἐς λήθην ὀλίγου δεῖν ἥκουσαν ἀνθρώποις. εὐδοκιμῆσαι δὲ Γοργίαν λόγων εἵνεκα ἔν τε πανηγύρει τῇ Ὀλυμπιακῇ φασι, καὶ ἀφικόμενον κατὰ πρεσβείαν ὁμοῦ*

Fatidico cretus Clytidarum e sanguine vates,
Atque idem soboles dia Melampodidum.

Melampus enim Amythaonem patrem habuit: filium ipse Mantium genuit, Mantius Oiclem. Oiclis nascitur satu Amphiaraus: cuius Alcmaeon fuit, qui Clytium suscepit e Phegei filia: hic Elin migravit ab avunculis secedens, quod eos caedem sciebat Alcmaeoni machinatos. (5) Statuas deinceps non valde illustribus videas permistas donis: Alexinicum Eleum, Sicyonii Canthari opus: tulit hic de puerili palaestra palmam. Tum Leontinum Gorgiam, quem dedicatum tradunt ab Eumolpo Deicratis pronepote, cum quo soror fuerat Gorgiae. Natus est Gorgias patre Carmantide, et primus neglectam adhuc dicendi ex arte rationem excitasse dicitur, et ab hominum oblivione vindicasse. Dedit magnum eloquentiae specimen Gorgias, et in quinquennali Olympiae celebritate, et in ea legatione, qua functus

Τισίᾳ παρ' Ἀθηναίους. καί τοι ἄλλα τε Τισίας ἐς λόγους ἐσηνέγκατο, καὶ πιθανώτατα τῶν καθ' αὐτὸν γυναικὶ Συρακουσίᾳ χρημάτων ἔγραψεν ἀμφισβήτησιν· ἀλλά γε ἐκείνου ἐς πλέον τιμῆς ἀφίκετο ὁ Γοργίας παρὰ Ἀθηναίοις. καὶ Ἰάσων ἐν Θεσσαλίᾳ τυραννήσας, Πολυκράτους οὐ τὰ ἔσχατα ἐνεγκαμένου διδασκαλείου τοῦ Ἀθήνησι, τούτου τοῦ ἀνδρὸς ἐπίπροσθεν αὐτὸν ὁ Ἰάσων ἐποιήσατο. βιῶσαι δὲ ἔτη Γοργίαν πέντε φασὶν ἐπὶ τοῖς ἑκατόν. Λεοντίνων δὲ ἠρημωθεῖσάν ποτε ὑπὸ Συρακουσίων τὴν πόλιν κατ' ἐμὲ αὖθις συνέβαινεν οἰκεῖσθαι.

CAPUT XVIII.

Cratisthenis Cyrenaei currus Olympiae positus — Anaximenis, rhetoris et historici, signum, ac de eius ad Alexandrum Magnum legatione — de eius cum Theopompo simultate — Sotadae signum — primorum athletarum signa.

Ἔστι δὲ καὶ τοῦ Κυρηναίου Κρατισθένους χαλκοῦν ἅρμα· καὶ Νίκη τε ἐπιβέβηκε τοῦ ἅρματος, καὶ αὐτὸς ὁ Κρατισθένης. δῆλα μὲν δὴ ὅτι ἵππων γέγονεν αὐτῷ

est, Tisiae collega, apud Athenienses. Quanquam et Tisias quum alia in artem dicendi ornamenta intulit, tum Syracusanae mulieri pecuniariam litem movit tam gravibus persuasionum momentis, ut omnes sui temporis oratores superarit. Sedenim multo fuit apud Athenienses clarior Gorgias. Et hunc sane Iason, qui in Thessalia tyrannide potitus est, pluris multo fecit, quam Polycratem, qui nulli fuit in Atheniensium scholis eloquentiae laude inferior. Vixisse autem Gorgiam annos ferunt (haud minus) quinque amplius quam centum. Leontinorum certe urbs olim deleta a Syracusanis, aetate mea restituta est.

Cap. XVIII. Spectatur eo in loco et Cratisthenis Cyrenaei currus aereus; in quem ascendit Victoria, tum ipse etiam Cratisthenes. Ex quo facile coniicias, equis illum

νίκη· λέγεται δὲ καί, ὡς Μνασέου τοῦ δρομέως, ἐπικληθέντος δὲ ὑπὸ Ἑλλήνων Λίβυος, εἴη παῖς ὁ Κρατισθένης. τὰ δὲ ἀναθήματα αὐτῷ τὰ ἐς Ὀλυμπίαν ἐστὶ τοῦ Ῥηγίνου Πυθαγόρου τέχνη. (2) Ἐνταῦθα καὶ Ἀναξιμένους οἶδα εἰκόνα ἀνδρῶν, ὃς τὰ ἐν Ἕλλησιν ἀρχαῖα, καὶ ὅσα Φίλιππος ὁ Ἀμύντου καὶ ὕστερον Ἀλέξανδρος εἰργάσαντο, συνέγραψεν ὁμοίως ἅπαντα· ἡ δέ οἱ τιμὴ
496 γέγονεν ἐν Ὀλυμπίᾳ παρὰ τῶν Λαμψακηνῶν τοῦ δήμου. ὑπελείπετο δὲ Ἀναξιμένης τοσάδε ἐς μνήμην· βασιλέα γὰρ οὐ τὰ πάντα ἤπιον, ἀλλὰ καὶ τὰ μάλιστα θυμῷ χρώμενον Ἀλέξανδρον τὸν Φιλίππου, τέχνῃ περιῆλθε τοιᾷδε. Λαμψακηνῶν τὰ βασιλέως τοῦ Περσῶν φρονησάντων, ἢ καὶ αἰτίαν φρονῆσαι λαβόντων, ὁ Ἀλέξανδρος ἅτε ὑπερζέων ἐς αὐτοὺς τῇ ὀργῇ, κακῶν ἠπείλει τὰ μέγιστα ἐργάσεσθαι. οἱ δὲ ἅτε θέοντες περὶ γυναικῶν τε καὶ παίδων καὶ αὐτῆς πατρίδος, ἀποστέλλουσιν Ἀναξιμένην ἱκετεύειν, Ἀλεξάνδρῳ τε αὐτῷ καὶ ἔτι Φιλίππῳ πρότερον γεγονότα ἐν γνώσει. προσήει τε ὁ Ἀναξιμένης,

vicisse. Dicitur vero Mnaseae cursoris, quem cognomento Libyn Graeci appellaverunt, filium fuisse. Huius Olympici doni Pythagoras Rheginus opifex fuit. (2) Reperi eodem etiam in loco Anaximenis effigiem. Is et priscas Graecorum, et Philippi atque Alexandri res gestas *diligenter* perscripsit. Hunc ei Olympicae statuae honorem Lampsacenorum civitas habuit, meriti in se gratiam referens. Eam enim ab exitio civitatem calliditate sua vindicarat. Erat Alexander Philippi filius implacabili plerumque ingenio, et ad iram proclivior. Hunc Anaximenes irascentem vehementius Lampsacenis, et extrema omnia comminantem, quod ad Persarum regem vel iam defecissent, vel defectionis essent suspecti, huiusmodi lenivit dolo. Quum illi de liberis, uxoribus, *aris atque focis*, et *universa plane* patria solliciti, hominem tum Alexandro tum Philippo etiam ante probe cognitum, deprecatum misissent, et Alexander co-

καὶ τὸν Ἀλέξανδρον πεπυσμένον, καθ' ἥντινα αἰτίαν ἥκοι, κατομόσασθαί φασιν ἐπονομάζοντα θεοὺς τοὺς Ἑλλήνων, ἦ μὴν αὐτοῦ ταῖς δεήσεσιν ὁπόσα ἐστὶν ἐναντία ἐργάσεσθαι. ἔνθα δὴ εἶπεν Ἀναξιμένης· χάρισαί μοι τήνδε, ὦ βασιλεῦ, τὴν χάριν, ἐξανδραποδίσασθαι μὲν γυναῖκας καὶ τέκνα Λαμψακηνῶν, καταβαλεῖν δὲ καὶ ἐς ἔδαφος τὴν πόλιν πᾶσαν, τὰ δὲ ἱερὰ τῶν θεῶν σφισιν ἐμπρῆσαι. ὁ μὲν ταῦτα ἔλεγεν. Ἀλέξανδρος δὲ οὔτε πρὸς τὸ σόφισμα ἀντιμηχανήσασθαί τι εὑρίσκων, καὶ ἐνεχόμενος τῇ ἀνάγκῃ τοῦ ὅρκου, συγγνώμην ἔνειμεν οὐκ ἐθέλων Λαμψακηνοῖς. (3) Φαίνεται δὲ καὶ ἄνδρα ὁ Ἀναξιμένης ἐχθρὸν οὐκ ἀμαθέστατα, ἀλλὰ καὶ ἐπιφθονώτατα ἀμυνάμενος. ἐπεφύκει μὲν αὐτὸς σοφιστής, καὶ σοφιστῶν λόγους μιμεῖσθαι· ὡς δέ οἱ διαφορὰ ἐς Θεόπομπον ἐγεγόνει τὸν Δαμασιστράτου, γράφει βιβλίον, ἐς Ἀθηναίους καὶ ἐπὶ Λακεδαιμονίους ὁμοῦ καὶ Θηβαίους συγγραφὴν λοίδορον. ὡς δὲ ἦν ἐς τὸ ἀκριβέστατον αὐτῷ μεμιμημένα, ἐπιγράψας τοῦ Θεοπόμπου τὸ ὄνομα τῷ

gnita adventus causa verbis conceptis iurasset, Graecorum Deos testatus, facturum se omnia, contra quam ille rogasset, hac eum est Anaximenes oratione adortus: Hoc a te rex precibus contendo, ut Lampsacenorum coniuges et liberos in servitutem redigas, urbem totam exscindas, et Deorum templa exuras. His Alexander ambagibus circumventus quum se iuratum meminisset, contraria iis, quae precaretur Anaximenes, omnia se facturum, Lampsacenis invitus pepercit. (3) Idem etiam Anaximenes inimicum suum non minus erudite, quam invidiose ultus dicitur. Nam qui ingenio sophista esset, quum sophistarum orationem aptissime imitaretur, suscepta cum Theopompo, Damasistrati filio, simultate historiam conscripsit maledictorum in Athenienses, Lacedaemonios et Thebanos plenissimam. Ad unguem vero quum Theopompi stylum expressisset, supposito eius nomine per Graeciae civitates librum divul-

βιβλίῳ, διέπεμπεν ἐς τὰς πόλεις. καὶ αὐτός τε συγγεγραφὼς ἦν, καὶ τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ἐκηρύξετο. οὐ μὴν οὐδὲ εἰπεῖν τις αὐτοσχεδίως
497 Ἀναξιμένους πρότερός ἐστιν εὑρηκώς. τὰ ἔπη δὲ τὰ ἐς Ἀλέξανδρον οὔ μοι πιστά ἐστιν Ἀναξιμένην τὸν ποιήσαντα εἶναι. (4) Σωτάδης δὲ ἐπὶ δολιχοῦ νίκαις Ὀλυμπιάδι μὲν ἐννάτῃ καὶ ἐννενηκοστῇ Κρὴς, καθάπερ γε καὶ ἦν, ἀνεῤῥήθη· τῇ ἐπὶ ταύτῃ δὲ λαβὼν χρήματα παρὰ τοῦ Ἐφεσίων κοινοῦ, Ἐφεσίοις εἰσεποίησεν αὑτόν· καὶ αὐτὸν ἐπὶ τῷ ἔργῳ φυγῇ ζημιοῦσιν οἱ Κρῆτες. (5) Πρῶτοι δὲ ἀθλητῶν ἀνέθεσαν ἐς Ὀλυμπίαν εἰκόνας, * Πραξιδάμαντός τε Αἰγινήτου νικήσαντος πυγμὴν τὴν ἐννάτην Ὀλυμπιάδα ἐπὶ ταῖς πεντήκοντα· καὶ Ὀπουντίου Ῥηξιβίου παγκρατιαστὰς καταγωνισαμένου, μιᾷ πρὸς ταῖς ἑξήκοντα Ὀλυμπιάδι. αὗται κεῖνται μὲν αἱ εἰκόνες οὐ πρόσω τῆς Οἰνομάου κίονος, ξύλου δέ εἰσιν εἰργασμέναι, Ῥηξιβίου μὲν συκῆς, ἡ δὲ τοῦ Αἰγινήτου κυπαρίσσου, καὶ ἧσσον τῆς ἑτέρας πεπονηκυῖά ἐστιν.

gandum curavit; quae res Theopompo magnam apud omnes plane Graecos invidiam concitavit. Ante Anaximenem quidem nemo subita oratione conatus est dicere. Iam qui in Alexandrum scripti versus eius nomine circumferuntur, mea quidem sententia falso Anaximeni attribuuntur. (4) Sotades longioris curriculi victor Olympiade nona supra nonagesimam, Cretensis (uti fuit) renunciatus est: ea vero, quae consecuta est Olympiade, accepta publice ab Ephesiis pecunia, Ephesium se prodi maluit. Quo crimine ei exilii poena est a Cretensibus inflicta. (5) Primi athletarum omnium Olympiae statuas dedicarunt suas, Praxidamas Aegineta qui caestibus vicit Olympiade undesexagesima; et qui LXI Olympiade pancratiastas perculit, Rhexibius Opuntius. Positae sunt non procul ab Oenomai columna. Lignea utraque est, sed Rhexibii e fico, e cupresso Praxidamantis, et multo sane minus quam altera detrimentum est passa.

CAPUT XIX.

De thesauris in Alti super crepidine porina exstructis — Sicyoniorum thesauro — Tartesio flumine et urbe — de Carthaginiensium thesauro — Epidamniorum binis thesauris — Sybaritarum thesauro — Libyum in Cyrene ac Selinuntiorum — Metapontinorum — Megarensium — Geloorum thesauro.

Ἔστι δὲ λίθου πωρίνου κρηπὶς ἐν τῇ Ἄλτει, πρὸς ἄρκτον τοῦ Ἡραίου, κατὰ νώτου δὲ αὐτῆς παρήκει τὸ Κρόνιον. ἐπὶ ταύτης τῆς κρηπῖδός εἰσιν οἱ θησαυροί, καθὰ δὴ καὶ ἐν Δελφοῖς Ἑλλήνων τινὲς ἐποιήσαντο τῷ Ἀπόλλωνι θησαυρούς. (2) Ἔστι δὲ θησαυρὸς ἐν Ὀλυμπίᾳ Σικυωνίων καλούμενος, Μύρωνος δὲ ἀνάθημα τυραννήσαντος Σικυωνίων· τοῦτον ᾠκοδόμησεν ὁ Μύρων νικήσας ἅρματι τὴν τρίτην καὶ τριακοστὴν Ὀλυμπιάδα. ἐν δὲ τῷ θησαυρῷ καὶ θαλάμους δύο ἐποίησε, τὸν μὲν Δώριον, τὸν δὲ ἐργασίας τῆς Ἰώνων. χαλκοῦ μὲν δὴ αὐτοὺς ἑώρων εἰργασμένους· εἰ δὲ καὶ Ταρτήσσιος χαλκὸς λόγῳ τῷ Ἠλείων ἐστίν, οὐκ οἶδα. (3) Ταρτησσὸν δὲ εἶναι ποταμὸν ἐν χώρᾳ τῇ Ἰβήρων λέγουσι, στόμασιν ἐς θάλασσαν κατερχόμενον δυσίν, καὶ ὁμώνυμον αὐτῷ πό-

Cap. XIX. Est in Alti crepido tophacea, ad eam Iunonis templi partem, quae ad Aquilonem spectat. (Nam quae ad Austros conversa est, ad Saturni aedem pertinet.) Super ea crepidine thesauri locati sunt, quales Graeci Delphico Apollini fecerunt. *Sunt autem donariorum cellae.* (2) Unus quidem eorum, qui Olympiae sunt, Sicyoniorum appellatur. Dedicavit Myron Sicyoniorum tyrannus, parta curuli victoria, Olympiade tertia et trigesima. Thalamos duos intus fecit, Dorico alterum, alterum opere Ionico. Utrumque ex aere fabricatos ipse conspexi. Neque vero e Tartessiaco sint aere, nec ne, quod Elei affirmant, satis compertum habeo. (3) Tartessum certe fluvium Hispaniae esse tradunt, ostiis duobus in mare descendentem; amni

λιν, ἐν μέσῳ τοῦ ποταμοῦ τῶν ἐκβολῶν κειμένην. τὸν δὲ ποταμὸν μέγιστόν τε ὄντα τῶν ἐν Ἰβηρίᾳ καὶ ἄμπω-
498 τιν παρεχόμενον, Βαῖτιν ὠνόμασαν οἱ ὕστερον. εἰσὶ δ' οἳ Καρπίαν Ἰβήρων πόλιν καλεῖσθαι νομίζουσι τὰ ἀρχαιότατα Ταρτησσόν. ἐν Ὀλυμπίᾳ δὲ ἐπιγράμματα ἐπὶ τῷ ἐλάσσονί ἐστι τῶν θαλάμων, ἐς μὲν τοῦ χαλκοῦ τὸν σταθμὸν, ὅτι πεντακόσια εἴη τάλαντα, ἐς δὲ τοὺς ἀναθέντας, Μύρωνα εἶναι καὶ τὸν Σικυωνίων δῆμον. ἐν τούτῳ τῷ θησαυρῷ δίσκοι τὸν ἀριθμὸν ἀνάκεινται τρεῖς, οὓς ἐς τοῦ πεντάθλου τὸ ἀγώνισμα ἐσκομίζουσι. καὶ ἀσπίς ἐστιν ἐπίχαλκος γραφῇ τὰ ἐντὸς πεποικιλμένη, καὶ κράνος τε καὶ κνημῖδες ὁμοῦ τῇ ἀσπίδι. ἐπίγραμμα δὲ ἐπὶ τοῖς ὅπλοις, ἀκροθίνιον τῷ Διὶ ὑπὸ Μυόνων τεθῆναι. οἵτινες δὲ οὗτοι ἦσαν, οὐ κατὰ τὰ αὐτὰ παρίστατο ἅπασιν εἰκάζειν. ἐμὲ δὲ ἐσῆλθεν ἀνάμνησις, ὡς Θουκυδίδης ποιήσειεν ἐν τοῖς λόγοις Λοκρῶν τῶν πρὸς τῇ Φωκίδι καὶ ἄλλας πόλεις, ἐν δὲ αὐταῖς εἶναι καὶ Μυονέας. οἱ Μύονες οὖν οἱ ἐπὶ τῇ ἀσπίδι κατά γε ἡμετέραν γνώ-

cognominem urbem inter utrumque alveum sitam. Eum fluvium, omnium Hispaniae fluminum maximum, et marini aestus more reciprocantem Baetin recentiores nominant. Sunt et qui prisco nomine Tartessum Carpian vocitatam dicant. Quod ad thalamos attinet, pondus indicat minoris inscriptio talentum quingentorum; dedicatum publice a Sicyoniis, opificem fuisse Myronem. In eo thesauro disci collocati sunt tres, quos ad quinquertii ludicrum promunt. Est etiam ibidem scutum aerea lamina contectum, varia interius exornatum pictura: galea praeterea, et ocreae. Testatur armorum inscriptio, Iovi manubias a Myonibus dedicatas. Qui populi sint hi, variat hominum coniectura. Mihi certe in memoriam venit, Thucydidem inter Locros, qui Phocidi finitimi sunt, et alias enumerare civitates, et Myonenses. Quare qui in scuto nominantur Myones, mea quidem sententia non alii sunt, quam Locrensium continen-

μην ἄνθρωποι μὲν εἰσιν οἱ αὐτοὶ Μυωνεῖς οἱ ἐν τῇ Λοκρίδι ἠπείρῳ. τὰ δὲ ἐπὶ τῇ ἀσπίδι γράμματα πάρηκται μὲν ἐπὶ βραχὺ, πέπονθε δὲ αὐτὸ διὰ τοῦ ἀναθήματος τὸ ἀρχαῖον. κεῖται δὲ καὶ ἄλλα ἐνταῦθα ἄξια ἐπιμνησθῆναι; μάχαιρα ἡ Πέλοπος χρυσοῦ τὴν λαβὴν πεποιημένη, καὶ εἰργασμένον ἐλέφαντος κέρας τὸ Ἀμαλθείας, ἀνάθημα Μιλτιάδου τοῦ Κίμωνος, ὃς τὴν ἀρχὴν ἔσχεν ἐν Χεῤῥονήσῳ τῇ Θρᾳκίᾳ πρῶτος τῆς οἰκίας ταύτης· καὶ ἐπίγραμμα ἐπὶ τῷ κέρατί ἐστιν ἀρχαίοις Ἀττικοῖς γράμμασι·

Ζηνί μ' ἄγαλμ' ἀνέθηκαν Ὀλυμπίῳ ἐκ Χερονήσου 499
Τεῖχος ἑλόντες Ἀράτου· ἐπῆρχε δὲ Μιλτιάδης σφίν.

κεῖται δὲ καὶ ἄγαλμα πύξινον Ἀπόλλωνος ἐπιχρύσου τὴν κεφαλήν· ἀνατεθῆναι δὲ ὑπὸ Λοκρῶν φησι τῶν πρὸς Ζεφυρίῳ τῇ ἄκρᾳ; Πατροκλέα δὲ εἶναι Κατίλλου Κροτωνιάτην τὸν εἰργασμένον. (4) Ἐφεξῆς δὲ τῷ Σικυωνίῳ ἐστὶν ὁ Καρχηδονίων θησαυρὸς, Ποθαίου τέχνη, καὶ Ἀντιφίλου τε καὶ Μεγακλέους. ἀναθήματα δ' ἐν αὐτῷ, Ζεὺς

tis terrae incolae Myonenses. Literae inscriptionis illius ipsa vetustate iam exesae, ac iam prope abolitae sunt. Sed et alia, quae recenseantur digna eodem posita sunt loco. Pelopis ensis, capulo aureo, et ebore elaboratum cornu Amaltheae, Miltiadae Cimonis filii donum, qui primus ex ea domo in Thraciae Cherroneso imperium obtinuit. Est in cornu incisa priscis Atticis literis inscriptio

Me Iovi Olympiaco posuit donum Cheronesus,
Miltiadis ductu, quum moenia cepit Arati.

Simulacrum etiam Apollinis buxeum capite inaurato eodem in loco positum est: dedicatum memorant a Locris, qui sunt ad Zephyrium promontorium: opificem fuisse Patroclum Crotoniaten Catylli filium. (4) Prope Sicyonium, thesaurus est Carthaginiensium, Pothaei, Antiphili, et Megaclis opus. In eo sunt Iupiter ingenti magnitudine, et linteas

μεγέθει μέγας, καὶ θώρακες λινοῖ τρεῖς ἀριθμὸν, Γέλωνος δὲ ἀνάθημα καὶ Συρακουσίων, Φοίνικας ἤτοι τριήρεσιν ἢ καὶ πεζῇ μάχῃ κρατησάντων. (5) Ὁ δὲ τρίτος τῶν θησαυρῶν καὶ ὁ τέταρτος ἀνάθημά ἐστιν Ἐπιδαμνίων. ἔχει μὲν πόλον ἀνεχόμενον ὑπὸ Ἄτλαντος, ἔχει δὲ Ἡρακλέα καὶ δένδρον τὸ παρὰ Ἑσπερίσι, τὴν μηλέαν, καὶ περιειλιγμένον τῇ μηλέᾳ τὸν δράκοντα· κέδρου μὲν καὶ ταῦτα, Θεοκλέους δὲ ἔργα τοῦ Ἡγύλου: ποιῆσαι δὲ Αὐτόνομον τῷ παιδὶ, φησὶ τὰ ἐπὶ τοῦ πόλου γράμματα. αἱ δὲ Ἑσπερίδες (μετεκινήθησαν γὰρ ὑπὸ Ἠλείων) αὗται μὲν ἔτι καὶ ἐς ἐμὲ ἦσαν ἐν τῷ Ἡραίῳ. τὸν δὲ θησαυρὸν τοῖς Ἐπιδαμνίοις Πύῤῥος καὶ οἱ παῖδες Λακράτης τε καὶ Ἕρμων ἐποίησαν. (6) Ὠικοδόμησαν δὲ καὶ Συβαρῖται θησαυρὸν, ἐχόμενον τοῦ Ἐπιδαμνίων. ὁπόσοι δὲ περὶ Ἰταλίας καὶ πόλεων ἐπολυπραγμόνησαν τῶν ἐν αὐτῇ, Λουπίας φασὶ κειμένην Βρεντεσίου τε μεταξὺ καὶ Ὑδροῦντος μεταβεβληκέναι τὸ ὄνομα, Σύβαριν οὖσαν τὸ ἀρχαῖον. ὁ δὲ ὅρμος ταῖς ναυσὶ χειροποίητος καὶ Ἀδριανοῦ

loricae tres, Gelonis et Syracusanorum dona, victis classe vel pedestri pugna Poenis. (5) Tertius deinde et quartus thesaurus donum est Epidamniorum. In eo Atlas coelum sustinet, Hercules ad Hesperidas venit, de Hesperidum arboribus malum draco spiris involvit. E cedro sunt omnia, Theoclis Etyli filii opus. Autonomum certe filio fecisse aiunt eas, quae in polo incisae sunt, literas. Hesperides ipsae, quum inde fuissent ab Eleis amotae, in Iunonis templo mea aetate sunt. Thesaurum Epidamniis Pyrrhus, et Lacrates et Hermon eius filii fecere. (6) Aedificarunt et Sybaritae thesaurum suum, qui proxime ad Epidamniorum thesaurum constitutus est. Ii sane, qui de Italia eiusque civitatibus curiosius sibi investigandum putarunt, Lupiam memoriae prodiderunt oppidum esse inter Brundusium et Hydruntem, quod prisco nomine Sybaris fuerit. Portus in eo extat manu factus, Adriani Caesaris opus. (7) Con-

βασιλέως ἐστὶν ἔργον. (7) Πρὸς δὲ τῷ Συβαριτῶν Λιβύων ἐστὶ τῶν ἐν Κυρήνῃ θησαυρός· κεῖνται δὲ βασιλεῖς ἐν αὐτῷ Ῥωμαίων. Σικελιῶτας δὲ Σελινουντίους ἀνέστησαν μὲν Καρχηδόνιοι πολέμῳ· πρὶν δὲ ἢ τὴν συμφορὰν γενέσθαι σφίσι, θησαυρὸν τὸν ἐν Ὀλυμπίᾳ Διῒ 500
ἐποίησαν. Διόνυσος δέ ἐστιν ἐνταῦθα πρόσωπον καὶ ἄκρους πόδας καὶ τὰς χεῖρας ἐλέφαντος εἰργασμένος. (8) Ἐν δὲ τῷ Μεταποντίνων θησαυρῷ (προσεχὴς γὰρ τῷ Σελινουντίων ἐστὶν οὗτος) ἐν τούτῳ πεποιημένος ἐστὶν Ἐνδυμίων· πλὴν δὲ ἐσθῆτός ἐστι τὰ λοιπὰ καὶ τῷ Ἐνδυμίωνι ἐλέφαντος. Μεταποντίνους δὲ ἥτις μὲν ἐπέλαβεν ἀπολέσθαι πρόφασις, οὐκ οἶδα· ἐπ' ἐμοῦ δὲ ὅτι μὴ θέατρον καὶ περίβολοι τείχους ἄλλο ἐλείπετο οὐδὲν Μεταποντίου. (9) Μεγαρεῖς δὲ οἱ πρὸς τῇ Ἀττικῇ θησαυρόν τε ᾠκοδομήσαντο, καὶ ἀναθήματα ἀνέθεσαν ἐς τὸν θησαυρὸν, κέδρου ζώδια χρυσῷ διηνθισμένα, τὴν πρὸς Ἀχελῷον Ἡρακλέους μάχην. Ζεὺς δὲ ἐνταῦθα καὶ ἡ Δηϊάνειρα καὶ Ἀχελῷος καὶ Ἡρακλῆς ἐστιν, Ἄρης τε

tingit Sybaritarum thesaurum is, quem dedicarunt Cyrenaei Libyae civitas. In eo sunt imagines Romanorum regum. Selinuntios in Sicilia e sedibus suis expulere Carthaginienses. Ii ante suam calamitatem thesaurum istum Olympio Iovi dedicarunt; in quo est Liber Pater, ore, pedibus, et manibus eburnis. (8) At in Metapontinorum thesauro (nam et hi suum iuxta Selinuntiorum thesaurum dedicarunt) Endymion est. Signi eius praeter vestem ex ebore sunt omnia. Et Metapontinis quidem, quae fuerit exitii causa, compertum certe non habeo. Aetate sane mea eius urbis reliquiae tantum extant, theatrum et murorum ambitus: reliqua ad solum eversa. (9) Megarenses quoque, Atticae terrae finitimi, thesaurum aedificandum curarunt. In eo reposuerunt e cedro signa superinducto auro, Herculis cum Acheloo pugnam: adsistunt Iupiter et Deianira: Mars Acheloo, Minerva (uti semper antea) Herculi adest.

τῷ Ἀχελῴῳ βοηθῶν. εἱστήκει δὲ καὶ Ἀθηνᾶς ἄγαλμα, ἅτε οὖσα τῷ Ἡρακλεῖ σύμμαχος· αὕτη παρὰ τὰς Ἑσπερίδας ἀνάκειται νῦν τὰς ἐν τῷ Ἡραίῳ. τοῦ θησαυροῦ δὲ ἐπείργασται τῷ ἀετῷ ὁ γιγάντων καὶ θεῶν πόλεμος· ἀνάκειται δὲ καὶ ἀσπὶς ὑπὲρ τοῦ ἀετοῦ, τοὺς Μεγαρέας ἀπὸ Κορινθίων ἀναθεῖναι τὸν θησαυρὸν λέγουσα. ταύτην Μεγαρεῦσιν ἡγοῦμαι τὴν νίκην Ἀθήνησιν ἄρχοντος γενέσθαι Φόρβαντος, ἄρχοντος δὲ διὰ τοῦ αὐτοῦ βίου παντός· ἐνιαύσιαι γὰρ οὐκ ἦσάν πω τότε Ἀθηναίοις αἱ ἀρχαί· οὐ μὴν οὐδὲ ὑπὸ Ἠλείων ἀνεγράφοντό πω τηνικαῦτα αἱ Ὀλυμπιάδες. λέγονται δὲ καὶ Ἀργεῖοι μετασχεῖν πρὸς τοὺς Κορινθίους Μεγαρεῦσι τοῦ ἔργου. τὸν δὲ ἐν Ὀλυμπίᾳ θησαυρὸν ἔτεσιν ὕστερον τῆς μάχης ἐποίησαν οἱ Μεγαρεῖς. τὰ δὲ ἀναθήματα ἐκ παλαιοῦ σφᾶς ἔχειν εἰκός, ἅγε ὁ Λακεδαιμόνιος Δόντας Διποίνου καὶ Σκύλλιδος μαθητὴς ἐποίησε. (10) Τελευταῖος δὲ τῶν θησαυρῶν πρὸς αὐτῷ μέν ἐστιν ἤδη τῷ σταδίῳ· Γελῴων δὲ ἀνάθημα τόν τε θησαυρὸν καὶ τὰ ἀγάλματα εἶναι τὰ ἐν

Sed haec in Iunonis, ad eum locum, ubi Hesperides sunt, translata est. Circa thesauri fastigium gigantum cum dis bellum cernitur: at in superiore fastigii parte scutum affixum est, cum inscriptione, Thesaurum Megarenses posuisse de Corinthiorum manubiis. Potitos ea victoria Megarenses conicio, quum Phorbas summae reipublicae apud Athenienses praeesset, et praefuit ille quidem dum vixit. Nondum enim annui erant Athenis magistratus. Quin et ab Eleis ipsis nondum aetates per Olympiadas coeptae fuerant numerari. Fuisse dicuntur eius adversum Corinthios expeditionis participes Argivi. Thesaurum certe aliquot post pugnam annis Megarenses Olympiae faciundum curarunt. Signa, quae in eo sunt, par est vetustiora fuisse, quum ea fecerit Dontas Lacedaemonius, Dipoeni et Scyllidis discipulus. (10) Postremus omnium thesaurorum stadio proximus

αὐτῷ, λέγει τὸ ἐπίγραμμα. οὐ μέντοι ἀνακείμενά γε ἔτι ἀγάλματά ἐστι.

CAPUT XX.

De monte Cronio et Saturni sacris in eius vertice — templo Lucinae Olympiae et daemonis Sosipolidis sacris in eo — Sosipolide eiusque cultus origine — Hippodamio, templo Hippodamiae, eiusque cultu — occulto in stadium introitu et de ipso stadio — sacerdote Cereris Chamynes et Endymionis monumento — carceribus equorum (ἄφεσις), et quae ad illorum formam et rationem pertinent — ara rotunda, Taraxippo dicta, et varia, quae de eo narrantur — alio Taraxippo in Isthmo et simili petra in Nemea — Hippodamiae signo ad unam metarum.

Τὸ δὲ ὄρος τὸ Κρόνιον κατὰ τὰ ἤδη λελεγμένα μοι 501
παρὰ τὴν κρηπῖδα καὶ τοὺς ἐπ' αὐτῇ παρήκει θησαυρούς. ἐπὶ δὲ τοῦ ὄρους τῇ κορυφῇ θύουσιν οἱ Βασίλαι καλούμενοι τῷ Κρόνῳ κατὰ ἰσημερίαν τὴν ἐν τῷ ἦρι Ἐλαφίῳ μηνὶ παρὰ Ἠλείοις. (2) Ἐν δὲ τοῖς πέρασι τοῦ Κρονίου κατὰ τὸ πρὸς τὴν ἄρκτον ἐστὶν ἐν μέσῳ τῶν θησαυρῶν καὶ τοῦ ὄρους ἱερὸν Ἐλλειθυίας, ἐν δὲ αὐτῷ Σωσίπολις Ἠλείοις ἐπιχώριος δαίμων ἔχει τιμάς. τὴν μὲν δὴ Ἐλλείθυιαν ἐπονομάζοντες Ὀλυμπίαν, ἱερασομένην αἱ-

est. Gelensium donum esse, et thesaurum, et signa, indicat inscriptio. A signis tamen adhuc vacuus est.

Cap. XX. Saturnius mons crepidini, cui sunt impositi thesauri, imminet. In vertice rem divinam Saturno faciunt, qui Basilae appellantur, verno aequinoctio, eo mense, qui ab Eleis Elaphius dicitur. (2) Ad Cronii montis radices Septentrionem versus, medio inter montem et thesauros spatio, Lucinae fanum est. In eo Sosipolis, patrius Eleorum genius, certis celebratur honoribus. Ipsam certe Lucinam Olympiam cognominant; quaeque ei sacra faciat,

ροῦνται τῷ θεῷ κατὰ ἔτος ἕκαστον. ἡ δὲ πρεσβῦτις ἡ θεραπεύουσα τὸν Σωσίπολιν νόμῳ τε ἁγιστεύει τῷ Ἠλείων καὶ αὐτὴ, λύτρα τε ἐσφέρει τῷ θεῷ, καὶ μάζας κατατίθησιν αὐτῷ μεμαγμένας μέλιτι. ἐν μὲν δὴ τῷ ἔμπροσθεν τοῦ ναοῦ (διπλοῦς γὰρ δὴ πεποίηται) τῆς τε Εἰλειθυίας βωμὸς, καὶ ἔσοδος ἐς αὐτό ἐστιν ἀνθρώποις· ἐν δὲ τῷ ἐντὸς ὁ Σωσίπολις ἔχει τιμὰς, καὶ ἐς αὐτὸ ἔσοδος οὐκ ἔστι πλὴν τῇ θεραπευούσῃ τὸν θεὸν, ἐπὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον ἐφελκυσμένῃ ὕφος λευκόν. παρθένοι δὲ, ἐν τῷ τῆς Εἰλειθυίας ὑπομένουσαι, καὶ γυναῖκες ὕμνον ᾄδουσι· καθαγίζουσι δὲ καὶ θυμιάματα παντοῖα αὐτῷ, καὶ ἐπισπένδειν οὐ νομίζουσιν οἶνον. καὶ ὅρκος παρὰ τῷ Σωσιπόλιδι ἐπὶ μεγίστοις καθέστηκε. (3) Λέγεται δὲ καὶ Ἀρκάδων ἐς τὴν Ἠλείαν ἐσβεβληκότων στρατιᾷ, καὶ τῶν Ἠλείων σφίσιν ἀντικαθημένων, γυναῖκα ἀφικομένην παρὰ τῶν Ἠλείων τοὺς στρατηγοὺς, νήπιον παῖδα ἔχουσαν ἐπὶ τῷ μαστῷ, λέγειν, ὡς τέκοι μὲν αὐτὴ τὸν παῖδα, διδοίη δὲ ἐξ ὀνειράτων συμμαχήσοντα Ἠλείοις.

annuam sacerdotem deligunt. At anus ea, quae Sosipolin placat, Eleorum ritu operatur: piamina infert, et apponit Deo mella subactas offas. In antica sane templi parte est Lucinae ara, et ad eam duplex hominibus aditus. Foris Sosipolis colitur; neque ad eum aditus patet cuiquam, praeterquam uni illi sacrificulae, quae capite et facie candido textili velata, ad numinis simulacrum accedit. In Lucinae, virgines et nuptae remanentes hymnum Sosipolidi decantant. Odores ei, quodvis genus adolent, vino libandi ritum his sacris alienum ducunt. Iusiurandum certe ad Sosipolidis *aram* magna religione concipiunt. De eo haec sunt memoriae prodita. (3) Quum in Eleorum fines hostiliter Arcades invasissent, contraque eos aciem Elei direxissent, mulierem aiunt cum pendente ab uberibus infante ad Eleorum duces venisse, ac dixisse, se quidem puerum illum peperisse, sed somnio monitam dare illum Eleis pu-

οἱ δὲ ἐν ταῖς ἀρχαῖς (πιστὰ γὰρ τὴν ἄνθρωπον ἡγοῦντο
εἰρηκέναι) τιθέασι τὸ παιδίον πρὸ τοῦ στρατεύματος
γυμνόν. ἐπήεσάν τε δὴ οἱ Ἀρκάδες, καὶ τὸ παιδίον ἐν-
ταῦθα ἤδη δράκων ἦν· ταραχθεῖσι δὲ ἐπὶ τῷ θεάματι
τοῖς Ἀρκάσι καὶ ἐνδοῦσιν ἐς φυγὴν, ἐπέκειντο οἱ Ἠλεῖοι, 502
καὶ νίκην τε ἐπιφανεστάτην ἀνείλοντο, καὶ ὄνομα τῷ
θεῷ τίθενται Σωσίπολιν. ἔνθα δέ σφισιν ὁ δράκων ἔδο-
ξεν ἐσδῦναι μετὰ τὴν μάχην, τὸ ἱερὸν ἐποίησαν ἐνταῦθα·
σὺν δὲ αὐτῷ σέβεσθαι καὶ τὴν Εἰλείθυιαν ἐνόμισαν, ὅτι
τὸν παῖδά σφισιν ἡ θεὸς αὕτη προήγαγεν ἐς ἀνθρώπους.
τοῖς δὲ τῶν Ἀρκάδων ἀποθανοῦσιν ἐν τῇ μάχῃ ἐστὶ τὸ
μνῆμα ἐπὶ τοῦ λόφου, διαβάντων τὸν Κλάδεον ὡς ἐπὶ
ἡλίου δυσμάς. πλησίον δὲ τῆς Εἰλειθυίας ἐρείπια Ἀφρο-
δίτης οὐρανίας ἱεροῦ λείπεται, θύουσι δὲ καὶ αὐτόθι ἐπὶ
τῶν βωμῶν. (4) Ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως κατὰ τὴν
πομπικὴν ἔσοδον Ἱπποδάμιον καλούμενον, ὅσον πλέθρου
χωρίον περιεχόμενον θριγκῷ. ἐς τοῦτο ἅπαξ κατὰ ἔτος

gnae socium. Ibi eos, qui summae rei praeerant (quod mulieris verbis fidem habendam censuissent) puerum nudum ante signa collocandum curasse. Impressione ab Arcadibus facta, puerum in eorum conspectu in anguem mutatum. Eo prodigio hostes exterritos, in fugam se protinus dedisse: acriter Eleos institisse. Parta vero insigni victoria, deo *a servata civitate* nomen Sosipolis inditum: quoque loco in cavernam visus fuerat se anguis abdidisse, confecto praelio fanum erectum. Lucinam vero cum eo coli propterea instituerunt, quod ab ea in lucem puerum illum sibi editum interpretati sunt. Caesis in pugna Arcadibus monumentum est in tumulo trans amnem Cladeum versus occasum. Proxime ad Lucinae, ubi Veneris Coelestis cognomento templum fuit, rudera monstrant. Sacra certe et nunc fiunt ad aras, *quae reliquae sunt.* (4) Intra Altin, in ea, qua Pompae transmittuntur semita, aedes est, quod Hippodamium appellant: area iugeri spatio maceria circumsepta. Patet huc foeminis aditus stato quotannis die.

ἑκαστόν ἐστι ταῖς γυναιξὶν ἔσοδος, αἳ θύουσι τῇ Ἱπποδαμείᾳ, καὶ ἄλλα ἐς τιμὴν δρῶσιν αὐτῆς. τὴν δὲ Ἱπποδάμειάν φασιν ἐς Μιδέαν τὴν ἐν τῇ Ἀργολίδι ἀποχωρῆσαι, ἅτε τοῦ Πέλοπος ἐπὶ τῷ Χρυσίππου θανάτῳ μάλιστα ἐς ἐκείνην ἔχοντος τὴν ὀργήν· αὐτοὶ δὲ ὕστερον ἐκ μαντείας κομίσαι φασὶ τῆς Ἱπποδαμείας τὰ ὀστᾶ ἐν Ὀλυμπίᾳ. (5) Ἔστι δὴ ἐπὶ τῷ πέρατι τῶν ἀγαλμάτων, ἃ ἀπὸ ζημίας ἐποιήσαντο ἀθλητῶν, ἐπὶ τούτῳ τῷ πέρατί ἐστιν, ἣν κρυπτὴν ὀνομάζουσιν ἔσοδον· διὰ δὲ αὐτῆς τούς τε Ἑλλανοδίκας ἐσιέναι ἐς τὸ στάδιον καὶ τοὺς ἀγωνιστάς. τὸ μὲν δὴ στάδιον γῆς χῶμά ἐστι, πεποίηται δ' ἐν αὐτῷ καθέδρα τοῖς τιθεῖσι τὸν ἀγῶνα. (6) Ἔστι δὲ ἀπαντικρὺ τῶν Ἑλλανοδικῶν βωμὸς λίθου λευκοῦ· ἐπὶ τούτου καθεζομένη τοῦ βωμοῦ θεᾶται γυνὴ τὰ Ὀλύμπια, ἱέρεια Δήμητρος Χαμύνης, τιμὴν ταύτην ἄλλοτε
503 ἄλλη λαμβάνουσα παρὰ Ἠλείων. παρθένους δὲ οὐκ εἴργουσι θεᾶσθαι. πρὸς δὲ τοῦ σταδίου τῷ πέρατι, ᾗ τοῖς σταδιοδρόμοις ἄφεσις πεποίηται, Ἐνδυμίωνος μνῆμα ἐνταῦθα λόγῳ Ἠλείων ἐστίν.

Hae faciunt Hippodamiae rem divinam, et aliis eam honoribus prosequuntur. Hippodamia tradunt Mideam, (quod Argivorum agro oppidum est) quum Pelops ob Chrysippi caedem ab ea in primis poenas expeteret, confugisse: ipsos postea eius ossa ex oraculo in Olympiam reportanda curasse. (5) Eo loco, quo postrema sunt signa, ex eo signorum numero, quae de multatitio athletarum aere dedicata sunt, porticus est, quam Ocultam nominant. Per eam et ludorum praefectis et athletis ad stadium accessus est. Ipsum certe stadium terrae agger est, in eo ludis praefectorum sessio exstructa. (6) E regione sessionis illius ara eminet e candido lapide. In ea sedens Olympicos ludos mulier spectat, sacerdos Cereris *cognomento* Chamynes. Quem honorem alias alia ab Eleis accipit. Neque vero virginibus interdictum ludicra spectare. In extremo stadio, ubi sunt cursorum carceres, Endymionis Elei sepulcrum

(7) Ὑπερβάλλοντι δὲ ἐκ τοῦ σταδίου, καθ' ὅτου οἱ Ἑλλανοδίκαι καθέζονται, κατὰ τοῦτο τὸ χωρίον ἐς τῶν ἵππων ἀνειμένον τοὺς δρόμους καὶ ἡ ἄφεσίς ἐστι τῶν ἵππων. παρέχεται μὲν οὖν σχῆμα ἡ ἄφεσις κατὰ πρῶραν νεώς· τέτραπται δὲ αὐτῆς τὸ ἔμβολον ἐς τὸν δρόμον. καθότι δὲ τῇ Ἀγνάπτου στοᾷ προσεχής ἐστιν ἡ πρῶρα, κατὰ τοῦτο εὐρεῖα γίνεται. δελφὶς δὲ ἐπὶ κανόνος κατὰ ἄκρον μάλιστα τὸ ἔμβολον πεποίηται χαλκοῦς. ἑκατέρα μὲν δὴ πλευρὰ τῆς ἀφέσεως πλέον ἢ τετρακοσίους πόδας παρέχεται τοῦ μήκους· ᾠκοδόμηται δὲ ἐν αὐταῖς οἰκήματα. ταῦτα τὰ κληρωτὰ οἰκήματα διαλαγχάνουσιν οἱ ἐσιόντες ἐς τὸν ἀγῶνα τῶν ἵππων. πρὸ δὲ τῶν ἁρμάτων ἢ καὶ τῶν ἵππων τῶν κελήτων, διήκει πρὸ αὐτῶν καλῴδιον ἀντὶ ὕσπληγγος. βωμὸς δὲ ὠμῆς πλίνθου, τὰ ἐκτὸς κεκονιαμένος, ἐπὶ ἑκάστης Ὀλυμπιάδος ποιεῖται κατὰ τὴν πρῶραν μάλιστά που μέσην. ἀετὸς δὲ ἐπὶ τῷ βωμῷ χαλκοῦς κεῖται, τὰ πτερὰ ἐπιμήκιστον ἐκτείνων. ἀνακινεῖ μὲν δὴ τὸ ἐν τῷ βωμῷ μηχάνημα ὁ τε-

monstrant. (7) Supra eam stadii partem, in qua ludis praefecti consident, destinatus est equiriis campus: et ibi sui sunt equorum carceres. Formam illi eandem prope prae se ferunt, quam navis prora, verso in curriculum rostro. Qua parte autem cum porticu, cui nomen Agnampto, (*quod est quasi flexu carentem dicas*) prora ipsa iungitur, ibi utrinque dilatatur. In extremo rostro aeneus super regula delphinus eminet. Vtrumque vero carcerum latus quadringentos et amplius pedes in longitudinem patet. Exstructae in iis domunculae. Eas inter se sortiuntur, qui vel equos privos, vel currus in certamen producunt. Intenditur vero a fronte funis pro repagulis. Ara ad mediam fere prorae partem e crudo laterculo excitatur: hanc tectorio *recenti* singulis oblinunt ludorum conventibus. Super ara, aenea aquila late passis alis exstat. Ea quum machinulam quandam is commoverit, cui id negotii datum

ταγμένος ἐπὶ τῷ δρόμῳ· ἀνακινηθέντος δὲ, ὁ μὲν ἐς τὸ ἄνω πεποίηται πηδᾶν ὁ ἀετὸς, ὡς τοῖς ἥκουσιν ἐπὶ τὴν θέαν γενέσθαι σύνοπτος· ὁ δελφὶς δὲ ἐς ἔδαφος πίπτει. πρῶται μὲν δὴ ἑκατέρωθεν αἱ πρὸς τῇ στοᾷ τῇ Ἀγνάπτου χαλῶσιν ὕσπληγες, καὶ οἱ κατὰ ταύτας ἑστηκότες ἐκθέουσιν ἵπποι πρῶτοι, θέοντές τε δὴ γίνονται κατὰ τοὺς εἰληχότας ἑστάναι τὴν δευτέραν τάξιν· καὶ τηνικαῦτα χαλῶσιν αἱ ὕσπληγες αἱ ἐν τῇ δευτέρᾳ τάξει· διὰ πάντων τε κατὰ τὸν αὐτὸν λόγον συμβαίνει τῶν ἵππων, ἔςτ' ἂν ἐξισωθῶσιν ἀλλήλοις κατὰ τῆς πρῴρας τὸ ἔμβο-
504 λον. τὸ ἀπὸ τούτου δὲ ἤδη καθέστηκεν ἐπίδειξις ἐπιστήμης τε ἡνιόχων καὶ ἵππων ὠκύτητος. τὸ μὲν δὴ ἐξ ἀρχῆς Κλεοίτας ἐστὶν ἄφεσιν μηχανησάμενος, καὶ φρονῆσαί γε ἐπὶ τῷ εὑρήματι, ὡς καὶ ἐπίγραμμα ἐπὶ ἀνδριάντι τῷ Ἀθήνησιν ἐπιγράψαι·

Ὃς τὴν ἱππάφεσιν σευ, Ὀλυμπία, εὕρατο πρῶτος,
Τεῦξέ με Κλειοίτας υἱὸς Ἀριστοκλέους.

est, statim se in spectatorum conspectum quasi subvolatura attollit; at delphinus ad imam soli aream *alia machina* demittitur. Prima omnium ea submittuntur repagula, quae utrinque iuxta Agnampti porticum intenta fuerant: tum qui ea in parte sustinebantur equi, statim se in pedes dant. Ii quum ad alterum equorum ordinem accesserint, eodem modo et illis sua remittuntur repagula. Idem fit omni ex carcerum parte, usquedum ad ipsum prorae rostrum exaequata fuerit cursus conditio. Ibi, *equis in liberiorem se iam campum effundentibus*, et aurigarum se ostentat sollertia, et quadrupedum pernicitas. Primus, qui eam excogitavit carcerum formam, Cleoetas fuit, cui tanta est huius operis causa laus tributa, ut hi fuerint versus ad eius, quae Athenis est, statuam adscripti:

Carcere ab Eleo docuit qui mittere currus,
Mi autor Cleoetas natus Aristoclee.

Κλεοίτα δέ φασιν ὕστερον Ἀριστείδην σοφίαν τινὰ καὶ αὐτὸν ἐς τὸ μηχάνημα ἐσενέγκασθαι. (8) Παρεχομένου δὲ τοῦ ἱπποδρόμου παρήκουσαν ἐς πλέον τὴν ἑτέραν τῶν πλευρῶν, ἔστιν ἐπὶ τῆς μείζονος πλευρᾶς, οὔσης χώματος, κατὰ τὴν διέξοδον τὴν διὰ τοῦ χώματος, τὸ τῶν ἵππων δεῖμα ὁ Ταράξιππος. σχῆμα μὲν βωμοῦ περιφεροῦς ἐστι· παραθέοντας δὲ κατὰ τοῦτο τοὺς ἵππους φόβος τε αὐτίκα ἰσχυρὸς ἀπ' οὐδεμιᾶς προφάσεως φανερᾶς, καὶ ἀπὸ τοῦ φόβου λαμβάνει ταραχή· τά τε δὴ ἅρματα καταγνύουσιν ὡς ἐπίπαν, καὶ οἱ ἡνίοχοι τιτρώσκονται. καὶ τοῦδε ἡνίοχοι ἕνεκα θυσίας θύουσι, καὶ γενέσθαι σφίσιν ἵλεων εὔχονται τὸν Ταράξιππον. Ἕλληνες δὲ οὐ κατὰ τὰ αὐτὰ νομίζουσιν ἐς τὸν Ταράξιππον, ἀλλ' οἱ μὲν εἶναι τάφον. ἀνδρὸς αὐτόχθονος καὶ ἀγαθοῦ τὰ ἐς ἱππικήν, καὶ ὄνομα Ὠλένιον αὐτῷ τίθενται· ἀπὸ τούτου δὲ καὶ τὴν Ὠλενίαν ἐν τῇ Ἠλείᾳ πέτραν φασὶν ὀνομασθῆναι. οἱ δὲ τὸν Φλιοῦντος Δαμέωνα, μετασχόντα Ἡρακλεῖ τῆς ἐπὶ Αὐγέαν καὶ Ἠλείους στρατείας, αὐτόν τε ἀποθανεῖν καὶ τὸν ἵππον, ἐφ' ᾧ ἐπωχεῖτο, ὑπὸ Κτεά-

Post Cleoetan Aristiden memorant et ipsum aliquid solertiae ad excolendum illud machinamentum contulisse. (8) Alterum curriculi latus aliquanto longius excurrit, factum hoc etiam aggesta terra. In ipso propemodum exitu terriculum est equorum, Taraxippus, arae rotundae figura. Nomen ex eo inditum, quod equi dum hac praeterferantur, vehementi pavore, sine manifesta causa, corripiuntur, eoque ita turbantur, ut currus saepe toti frangantur et aurigae vulnerentur. Eam ob rem aurigae ibi sacrificant, et vota Taraxippo faciunt, ut se ipsis aequum et clementem praebeat. Variat de Taraxippo Graecorum sententia. Sunt qui indigenae hominis sepulcrum illud esse dicant, praestantis equos regendi scientia: Olenium nomen produnt, a quo sit in Eleorum finibus Olenium saxum appellatum. Alii Dameonem fuisse, Phliuntis filium, qui in Augean expeditionis Herculi socius, a Cteato Actoris filio una cum equo,

του λέγουσι τοῦ Ἄκτορος, καὶ τὸ μνῆμα κοινὸν Δαμέωνι καὶ τῷ ἵππῳ γενέσθαι. λέγουσι δὲ καὶ ὡς Μυρτίλῳ κενὸν ἐνταῦθα ἡρῷον ποιήσειε Πέλοψ, καὶ θύσειέ τε αὐτῷ, τὸ ἐπὶ τῷ φόνῳ μήνιμα ἰώμενος, καὶ ἐπονομάσαι Ταράξιππον, ὅτι τῷ Οἰνομάῳ διὰ τοῦ Μυρτίλου τῆς τέχνης
505 ἐταράχθησαν αἱ ἵπποι. τοῖς δέ ἐστιν εἰρημένον, ὡς αὐτὸς Οἰνόμαος ὁ τοὺς ἱππεύοντάς ἐστιν ἐν τῷ δρόμῳ βλάπτων. ἤκουσα δὲ καὶ ἐς τὸν Πορθάονος Ἀλκάθουν ἀγόντων τὴν αἰτίαν, ὡς ἐνταῦθα μέρη λάβοι γῆς ὁ Ἀλκάθους ἀποθανὼν ὑπὸ Οἰνομάου τῶν Ἱπποδαμείας γάμων ἕνεκα· ἅτε δὲ ἀτυχήσαντα ἐν ἱπποδρόμῳ, βάσκανόν τε εἶναι τοῖς ἱππεύουσι καὶ οὐκ εὐμενῆ δαίμονα. ἀνὴρ δὲ Αἰγύπτιος Πέλοπα ἔφη παρὰ τοῦ Θηβαίου λαβόντα Ἀμφίονος κατορύξαι τι ἐνταῦθα, ἔνθα καλοῦσι τὸν Ταράξιππον· καὶ ὑπὸ τοῦ κατορωρυγμένου ταραχθῆναι μὲν τῷ Οἰνομάῳ τότε, ταράσσεσθαι δὲ καὶ ὕστερον τοῖς πᾶσι τὰς ἵππους. ἠξίου δὲ οὗτος Αἰγύπτιος, εἶναι μὲν Ἀμφίονα, εἶναι δὲ καὶ τὸν Θρᾶκα Ὀρφέα μαγεῦσαι

quo vehebatur, sit interfectus: ab Eleis eo in loco, et ipsi et equo, inanis habitum sepulcri honorem. Non desunt qui hoc inane monumentum heroicum illud ipsum esse autument, quod Myrtilo Pelops posuerit, quum a se perempto parentaret, quo eius iram placaret: Taraxippum vero vocasse, quod Myrtili dolo Oenomai equae consternatae fuerint. Multi etiam Oenomaum illum esse dictitant, qui in curuli certamine equos et aurigas illo exagitet pavore. Audivi etiam, qui Porthaonis filium Alcathoum esse dicerent, qui quum inter procos Hippodamiae ab Oenomao fuisset occisus, et eo ipso in loco humatus, iniuriae suae, quam in ipso curriculo passus esset, atrox et infestus vindex obequitantibus exoriatur. At Aegyptius quidam Pelopem aiebat acceptum nescio quid ab Amphione Thebano, eo in loco defodisse; cuius *arcana* vi tunc conterriti fuerint Oenomai equi, et omnes deinde equi eodem afficiantur modo. Et censebat ille quidem Amphionem et Orpheum

δεινόν· καὶ αὐτοῖς ἐπᾴδουσι θηρία τε ἀφικνεῖσθαι τῷ Ὀρφεῖ, καὶ Ἀμφίονι ἐς τὰς τοῦ τείχους οἰκοδομίας τὰς πέτρας. ὁ δὲ πιθανώτατος (ἐμοὶ δοκεῖν) τῶν λόγων Ποσειδῶνος ἐπίκλησιν εἶναι τοῦ Ἱππίου φησίν. (9) Ἔστι δὲ καὶ ἐν Ἰσθμῷ Ταράξιππος, Γλαῦκος ὁ Σισύφου. γενέσθαι δὲ αὐτῷ τὴν τελευτὴν λέγουσιν ὑπὸ τῶν ἵππων, ὅτε Ἄκαστος τὰ ἆθλα ἔθηκεν ἐπὶ τῷ πατρί. ἐν Νεμέᾳ δὲ τῇ Ἀργείων ἥρως μὲν ἦν οὐδείς, ὅστις ἔβλαπτε τοὺς ἵππους, πέτρας δὲ ὑπὲρ τῶν ἵππων τὴν καμπὴν ἀνεστηκυίας χρόαν πυῤῥᾶς, ἡ ἀπ' αὐτῆς αὐγὴ, κατὰ ταὐτὰ καὶ εἰ πῦρ, ἐνεποίει φόβον τοῖς ἵπποις. ἀλλὰ γὰρ ὁ ἐν Ὀλυμπίᾳ Ταράξιππος πολὺ δή τι ὑπερηρκὼς ἐστιν ἐς ἵππων φόβον. (10) Ἐπὶ δὲ νύσσης μιᾶς Ἱπποδαμείας ἐστὶν εἰκὼν χαλκῆ, ταινίαν τε ἔχουσα καὶ ἀναδεῖν τὸν Πέλοπα μέλλουσα ἐπὶ τῇ νίκῃ.

(etsi Thrax diceretur) Aegyptios fuisse: propterea vero alteri feras allicere, alteri vero saxa ad muros exstruendos movere attributum, quod uterque magorum scientia excellerent. Mea vero sententia eorum est maxime probabilis oratio, qui Taraxippum cognomen esse dicunt Neptuni equestris. (9) Est etiam in Isthmo Taraxippus, *qui* Glaucus *fuit* Sisyphi filius, ab equabus discerptus ludis funebribus, quos patri suo fecit Acastus. In Argivorum Nemea nullus omnino est herois genius, qui equis pavorem immittat: saxum tantum eminet supra curriculi flexum, colore rutilo; cuius fulgore concitantur equi, haud aliter multo, quam si immissis ignibus iniecta esset trepidatio. Sed qui ab Olympico existit Taraxippo, longe est acerrimus terror. (10) Ad metarum unam aenea Hippodamiae statua est taeniam prae se ferens, iam prope victori Pelopi coronam impositura.

CAPUT XXI.

De templo Cereris Chamynae et varia huius cognominis ratione — gymnasio Olympiae et signis in eo — variis memorandis trans fluvium Cladeuni et Erymanthum — fluvio Diagone, templo Aesculapii Demaeneti et Apollinis Leucyanitae — templo Minervae Cydoniae in Pisaeorum finibus — fluvio Parthenia et Harpinnate — sepulcro procorum Hippodamiae, quorum nomina recensentur.

Τὸ δὲ ἕτερον τοῦ ἱπποδρόμου μέρος οὐ χῶμα γῆς ἐστιν, ὄρος δὲ οὐχ ὑψηλόν. ἐπὶ τῷ πέρατι τοῦ ὄρους ἱερὸν πεποίηται Δήμητρι ἐπίκλησιν Χαμύνῃ. καὶ οἱ μὲν ἀρχαῖον τὸ ὄνομα ἥγηνται· χανεῖν γὰρ τὴν γῆν ἐνταῦθα
506 τὸ ἅρμα τοῦ Ἅιδου, καὶ αὖθις μύσαι· οἱ δὲ Χάμυνον ἄνδρα Πισαῖον Πανταλέοντι ἐναντιούμενον τῷ Ὀμφαλίωνος τυραννοῦντι ἐν Πίσῃ, καὶ ἀπόστασιν βουλεύοντι ἀπὸ Ἠλείων, ἀποθανεῖν φασιν αὐτὸν ὑπὸ τοῦ Πανταλέοντος, καὶ ἀπὸ τοῦ Χαμύνου τῆς οὐσίας τῇ Δήμητρι οἰκοδομηθῆναι τὸ ἱερόν. (2) Ἀγάλματα δὲ ἀντὶ τῶν ἀρχαίων Κόρην καὶ Δήμητρα λίθου τοῦ Πεντέλησιν Ἀθηναῖος ἀνέθηκεν Ἡρώδης ἐν τῷ γυμνασίῳ τῷ ἐν Ὀλυμπίᾳ· πεντάθλοις μὲν καθεστήκασιν ἐν αὐτῷ καὶ δρομεῦ-

Cap. XXI. Altera hippodromi pars non agger, sed collis est minime arduus; ad cuius extremum finem aedes condita est Cereri cognomento Chamynae. Putant quidam priscum id esse nomen. Ibi enim quum Plutonis currum reciperet, terram discessisse, et ad se statim redisse. Alii vero Chamynum Pisaeum hominem memorant, a Pantaleonte Omphalionis filio, qui Pisae tyrannidem occuparat, quod acrius illi adversaretur, et ad defectionem Eleos impelleret, interemptum: de Chamyni vero pecunia templum Cereri aedificatum. (2) Pro veteribus nova signa reposuit deae ipsius et filiae e Pentelico lapide Herodes Atticus in gymnasio, quod Olympiae est, in quo certamina meditantur sua

σιν αἱ μελέται. κρηπὶς δὲ ἐν τῷ ὑπαίθρῳ λίθου πεποίηται· τὸ δὲ ἐξ ἀρχῆς καὶ τρόπαιον κατὰ Ἀρκάδων ἐπὶ τῇ κρηπῖδι εἱστήκει. καὶ ἄλλος δέ ἐστιν ἐλάσσων περίβολος ἐν ἀριστερᾷ τῆς ἐσόδου τῆς ἐς τὸ γυμνάσιον· καὶ αἱ παλαῖστραι τοῖς ἀθληταῖς εἰσιν ἐνταῦθα. τῆς στοᾶς δὲ τῆς πρὸς ἀνίσχοντα ἥλιον τοῦ γυμνασίου προσεχεῖς τῷ τοίχῳ τῶν ἀθλητῶν εἰσιν αἱ οἰκήσεις, ἐπί τε ἄνεμον τε τραμμέναι Λίβα καὶ ἡλίου δυσμάς.

(3) Διαβάντων δὲ τὸν Κλάδεον τάφος τε Οἰνομάου, γῆς χῶμα, περιῳκοδομημένος λίθοις ἐστὶ, καὶ ὑπὲρ τοῦ μνήματος ἐρείπια οἰκοδομημάτων, ἔνθα τῷ Οἰνομάῳ τὰς ἵππους αὐλίζεσθαι λέγουσιν. ὅροι δὲ πρὸς Ἀρκάδας τῆς χώρας, τὰ μὲν παρόντα Ἠλείοις, τὰ δὲ ἐξ ἀρχῆς οἱ αὐτοὶ Πισαίοις καθεστήκεσαν ἀνέχοντες κατὰ τάδε. διαβάντων δὲ ποταμὸν Ἐρύμανθον κατὰ τὴν Σαύρου καλουμένην δειράδα, τοῦ Σαύρου τε μνῆμα καὶ ἱερόν ἐστιν Ἡρακλέους, ἐρείπια ἐφ' ἡμῶν. λέγουσι δὲ, ὡς ὁδοιπόρους τε καὶ τοὺς προσοικοῦντας ὁ Σαῦρος ἐκακούργει, πρὶν ἢ παρὰ Ἡρακλέους τὴν δίκην ἔσχε. (4) Κατὰ ταύ-

quinquertiones et cursores. Crepido sub divo lapidea eminet, in qua fuit olim erectum trophaeum de victis Arcadibus. Ad laevam aditus eius gymnasii, minor est ambitus, in quo athletarum palaestrae. Porticum eam gymnasii, quae ortum solis prospectat, attingunt athletarum diversoria in Africum et occasum conversa. In ulteriore Cladei amnis parte sepulcrum exstat Oenomai, terrae tumulus lapide circumseptus. (3) Supra monumentum ruinae se ostendunt tectorum, quae equorum Oenomai stabula putant fuisse. Regionis Arcadiam versus limites in praesentia Eleis, ab initio vero etiam Pisaeis hoc in loco extiterunt. Trans Erymanthum fluvium ad Sauri iugum (sic enim locus ille appellatur) Sauri ipsius monumentum est, et Herculis ruinosum temporibus nostris templum. Infestum fuisse viatoribus et accolis Saurum ferunt; ab Hercule vero interfectum, (4) loco nomen dedisse. Iuxta hoc Sauri

την ἐπώνυμον τοῦ λῃστοῦ δειράδα, ποταμὸς ἀπὸ μεσημβρίας κατιὼν ἐς τὸν Ἀλφειὸν καταντικρὺ τοῦ Ἐρυμάνθου μάλιστα, οὗτός ἐστιν ὁ τὴν Πισαίαν πρὸς Ἀρκάδας
507 διορίζων, ὄνομα δέ οἱ Διάγων. τεσσαράκοντα δὲ ἀπὸ τοῦ Σαύρου δειράδος προελθόντι στάδια, ἔστιν Ἀσκληπιοῦ ναὸς, ἐπίκλησιν μὲν Δημαίνετος ἀπὸ τοῦ ἱδρυσαμένου, ἐρείπια δὲ καὶ αὐτός· ᾠκοδομήθη δὲ ἐπὶ τοῦ ὑψηλοῦ παρὰ τὸν Ἀλφειόν. τούτου δὲ οὐ πόῤῥω ἱερὸν Διονύσου Λευκυανίτου πεποίηται, καὶ ποταμὸς παρέξεισι ταύτῃ Λευκυανίας· ἐκδίδωσι μὲν οὖν καὶ οὗτος ἐς τὸν Ἀλφειὸν, κάτεισι δὲ ἐκ Φολόης τοῦ ὄρους. (5) Διαβήσῃ τε δὴ τὸ ἀπὸ τούτου τὸν Ἀλφειὸν, καὶ ἐντὸς γῆς ἔσῃ τῆς Πισαίας. ἐν ταύτῃ τῇ χώρᾳ λόφος ἐστὶν ἀνήκων ἐς ὀξὺ, ἐπὶ δὲ αὐτῷ πόλεως Φρίξας ἐρείπια, καὶ Ἀθηνᾶς ἐστιν ἐπίκλησιν Κυδωνίας ναός. οὗτος μὲν οὖν τὰ πάντα ἐστὶν ὡς βωμὸς καὶ ἐς ἐμὲ ἔτι· ἱδρύσασθαι δὲ τῇ θεῷ τὸ ἱερὸν Κλύμενόν φασιν, ἀπόγονον Ἡρακλέους τοῦ Ἰδαίου, παραγενέσθαι δὲ αὐτὸν ἀπὸ Κυδωνίας τῆς Κρητικῆς καὶ τοῦ Ἰαρδάνου ποταμοῦ. λέγουσι

iugum fluvius a meridie in Alpheum illabitur ex adverso Erymanthi. Hic Pisaeum agrum ab Arcadico dividit. Nomen amni Diagon. A Sauri tumulo stadia ferme XL progressis Aesculapii aedes est: cognomen deo Demaenetus a conditore. Extant templi duntaxat ruinae: erectum fuerat in edito iuxta Alpheum loco. Ab hoc templo modico distat intervallo Liberi Patris, Leucyanitae cognomento aedes. Praeterlabitur amnis Leucyanias, et ipse etiam in Alpheum illabens, descendit hic e Pholoe monte. (5) Hinc qui Alpheum transierint, Pisaeorum fines ingrediantur. Intra eos primum se vertex montis ostendit praeacuto fastigio: in eo Phrixae urbis ruinae cernuntur, et Minervae aedes cognomento Cydoniae. Haec ad arae formam aetate mea redacta est. Dedicasse templum tradunt Clymenum, de posteris unum Idaei Herculis: venisse vero eum e Cydonia Cretae oppido, et ab Iardano amne. Pelopem etiam

δὲ καὶ Πέλοπα οἱ Ἠλεῖοι τῇ Ἀθηνᾷ θῦσαι τῇ Κυδωνίᾳ, πρὶν ἢ ἐς τὸν ἀγῶνα αὐτὸν Οἰνομάῳ καθίστασθαι. (6) Προϊόντι δὲ ἐντεῦθεν τό τε ὕδωρ τῆς Παρθενίας ἐστὶ, καὶ πρὸς τῷ ποταμῷ τάφος ἵππων τῶν Μάρμακος. Ἱπποδαμείας δὲ μνηστῆρα ἔχει λόγος ἀφικέσθαι πρῶτον τοῦτον Μάρμακα, καὶ ἀποθανεῖν ὑπὸ τοῦ Οἰνομάου πρὸ τῶν ἄλλων, ὀνόματα δὲ αὐτοῦ ταῖς ἵπποις Παρθενίαν τε εἶναι καὶ Ἔριφαν, Οἰνόμαον δὲ ἐπικατασφάξαι μὲν τὰς ἵππους τῷ Μάρμακι, μεταδοῦναι μέντοι καὶ ταύταις ταφῆναι· καὶ ὄνομα Παρθενίας τῷ ποταμῷ ἀπὸ ἵππου τῆς Μάρμακος. ἔστι δὲ καὶ ἄλλος Ἁρπιννάτης καλούμενος ποταμὸς, καὶ οὐ πολὺ ἀπὸ τοῦ ποταμοῦ πόλεως Ἁρπίννης ἄλλα τε ἐρείπια καὶ μάλιστα οἱ βωμοί. οἰκίσαι δὲ Οἰνόμαον τὴν πόλιν, καὶ θέσθαι τὸ ὄνομα ἀπὸ τῆς μητρὸς λέγουσιν Ἁρπίννης. (7) Προελθόντι δὲ οὐ πολὺ, γῆς χῶμά ἐστιν ὑψηλὸν, τῶν μνηστήρων τῶν Ἱπποδαμείας τάφος. Οἰνόμαον μὲν οὖν ἐγγὺς ἀλλήλων κρυ-

Elei dicunt, priusquam in curule certamen cum Oenomao descenderet, Cydoniae Minervae rem divinam fecisse. (6) Qui processerint paulo longius, ad Partheniam fluvium venient; in cuius ripa sepulcrum exstat Marmacis equorum. Hunc Marmacem procorum omnium primum ad petendam Hippodamiam venisse aiunt, atque adeo primum omnium ab Oenomao interfectum: eius vero equas, quarum alteri Partheniae, alteri vero Eriphae nomen fuerit, ad Marmacis tumulum Oenomai iussu mactatas, et ibidem humatas: a Parthenia itaque equarum altera fluvium nomen accepisse. Est in eadem regione Harpinnates fluvius. Non procul a fluvio visuntur Harpinnae oppidi quum alia rudera, tum in primis ara. Urbem eam condidisse Oenomaum narrant, et de matris Harpinnae nomine appellasse. (7) Hinc parvo interiecto spatio praecelsus terrae agger est, *et in eo* Hippodamiae procorum tumulus. Neque vero illos Oenomaus insigni honestabat sepultura, sed satis habebat, si eorum cadavera humi defodienda proximis tumulis curasset. At

508 κτειν γῇ φασιν οὐκ ἐπιφανῶς αὐτούς· Πέλοψ δὲ ὕστερον μνῆμα ἐν κοινῷ σφισιν ἐπὶ μέγα ἐξῆρε τιμῇ ἐς αὐτοὺς καὶ Ἱπποδαμείας χάριτι· δοκεῖν δέ μοι, καὶ ὑπόμνημα ἐς τοὺς ἔπειτα ὅσων τε καὶ οἵων τὸν Οἰνόμαον κρατήσαντα ἐνίκησεν αὐτός. ἀπέθανον δὲ ὑπὸ τοῦ Οἰνομάου κατὰ τὰ ἔπη τὰς μεγάλας Ἠοίας Ἀλκάθους ὁ Παρθάονος, δεύτερος οὗτος ἐπὶ τῷ Μάρμακι· μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε καὶ Κρόταλος. τούτων μὲν οὖν γονέας τε καὶ πατρίδας οὐχ οἷά τε ἦν πυθέσθαι μοι· τὸν δὲ ἀποθανόντα ἐπ' αὐτοῖς Ἀκρίαν τεκμαίροιτο ἄν τις Λακεδαιμόνιόν τε εἶναι καὶ οἰκιστὴν Ἀκριῶν. ἐπὶ δὲ τῷ Ἀκρίᾳ Κάπετόν φασιν ὑπὸ τοῦ Οἰνομάου φονευθῆναι, καὶ Λυκοῦργον, Λάσιόν τε καὶ Χαλκώδοντα, καὶ Τρικόλωνον· ἀπόγονον δὲ αὐτὸν εἶναι, καὶ ὁμώνυμον Τρικολώνῳ τῷ Λυκάονος λέγουσιν οἱ Ἀρκάδες. Τρικολώνῳ δὲ ὕστερον ἐπέλαβεν ἐν τῷ δρόμῳ τὸ χρεὼν Ἀριστόμαχόν τε καὶ Πρίαντα, ἔτι δὲ Πελά-

Pelops commune omnibus monumentum operis magnificentia spectandum erexit, quum ut ipsis eum procis honorem haberet, tum ut Hippodamiae ipsius nomen illustrius celebraretur: mea vero sententia non alia magis de causa, quam ut argumento esset opus illud, quod et qualium virorum caede exultantem Oenomaum ipse perculisset. Occubuerunt autem (sicuti iis carminibus proditum est, quae magnae sunt Eoeae appellatae) ab Oenomao occisi, post Marmacem, primus Alcathous Parthaonis filius: Euryalus deinde, Eurymachus, et Crotalus. Horum ego trium parentes, et eorum uniuscuiusque patriam compertam omnino non habeo. Sed qui post hos occisus est, Acrian, facile coniici possit Lacedaemonium fuisse, Acriarum conditorem. Ad hos interfectos ab Oenomao recensent Capetum, Lycurgum, Lasium, Chalcodontem, et Tricolonum. Postremum hunc nepotem et cognominem Arcades memorant Tricoloni Lycaonis filii. Contigit post Tricolonum in cursu mortem oppetere Aristomachum, Priantem, Pelagontem, Aeolium, et

γοντα, Αἰόλιόν τε καὶ Κρόνιον. οἱ δὲ καὶ ἐπαριθμοῦσι τοῖς κατειλεγμένοις Ἔρυθρον παῖδα Λεύκωνος τοῦ Ἀθάμαντος (ἀπὸ τούτου Ἐρύθραι πόλισμα ἐκαλεῖτο Βοιωτῶν) καὶ Ἠϊονέα Μάγνητος τοῦ Αἰόλου. τούτοις μὲν δὴ ἐνταῦθά ἐστι τὸ μνῆμα, καὶ τὸν Πέλοπα, ἡνίκα τῶν Πισαίων ἔσχε τὴν ἀρχὴν, φασὶν ἐναγίζειν ἀνὰ πᾶν ἔτος.

CAPUT XXII.

De templo Dianae Cordaces et cognominis origine — Pisae conditore, Pisaeorum certaminibus cum Eleis et Anolympiadibus — urbe Pylo eiusque reliquiis — vico Heraclea, fluvio Cythero ac Nympharum Ionidum templo et nominibus — oppidulo Letrinis ac Diana Alpheaea — Diana Elaphiaea.

Προελθόντι δὲ ὅσον τε στάδιον σημεῖά ἐστιν ἱεροῦ Κορδάκας ἐπίκλησιν Ἀρτέμιδος· ὅτι οἱ τοῦ Πέλοπος ἀκόλουθοι τὰ ἐπινίκια ἤγαγον παρὰ τῇ θεῷ ταύτῃ, καὶ ὠρχήσαντο ἐπιχώριον τοῖς περὶ τὸν Σίπυλον Κόρδακα ὄρχησιν. τοῦ ἱεροῦ δὲ οὐ πόῤῥω οἴκημά τε οὐ μέγα, καὶ κιβωτός ἐστιν ἐν αὐτῷ χαλκῆ. ὀστᾶ τοῦ Πέλοπος ἐν τῇ κιβωτῷ φυλάσσουσι. τείχους δὲ ἢ ἄλλου κατασκευάσμα-

Cronium. Sunt qui recensent etiam Erithrum Leuconis filium, Athamantis nepotem, a quo Boeotorum oppidulum Erythrae appellatae fuerint; et Eiones Magnetes Aeoli. His *omnibus commune* hic erectum fuit monumentum; ad quod parentasse quotannis Pelopem tradunt, quamdiu Pisaeorum imperium tenuit.

Cap. XXII. Hinc stadium ferme unum progressis, reliquiae templi sunt Dianae cognomento Cordaces: quod Pelopis comites aiunt, quum deae huic pro victoria votos ludos facerent, patriam saltationem cordacem, ad Sipylum celebrari solitam, usurpasse. Non longe ab eo templo aedes est non utique magna; in qua arca aenea et in ea Pelopis ossa conservantur. Murorum vel aliorum aedificiorum nul-

τος ἐλείπετο οὐδὲν ἔτι, ἄμπελοι δὲ ἦσαν διὰ τοῦ χωρίου
509 πεφυτευμέναι παντός, ἔνθα ἡ Πίσα ᾠκεῖτο. (2) Οἰκιστὴν μὲν δὴ γενέσθαι τῇ πόλει Πῖσον τὸν Περιήρους φασὶ τοῦ Αἰόλου. Πισαῖοι δὲ ἐφειλκύσαντο αὐθαίρετον συμφοράν, ἀπεχθανόμενοί τε Ἠλείοις καὶ σπουδὴν ποιούμενοι, τιθέναι τὸν Ὀλυμπιακὸν ἀγῶνα ἀντὶ Ἠλείων. οἵγε Ὀλυμπιάδι μὲν τῇ ὀγδόῃ τὸν Ἀργεῖον ἐπηγάγοντο Φείδωνα τυράννων τῶν ἐν Ἕλλησι μάλιστα ὑβρισάντων, καὶ τὸν ἀγῶνα ἔθεσαν ὁμοῦ τῷ Φείδωνι. τετάρτῃ δὲ Ὀλυμπιάδι καὶ τριακοστῇ στρατὸν οἱ Πισαῖοι καὶ βασιλεὺς αὐτῶν Πανταλέων ὁ Ὀμφαλίωνος παρὰ τῶν προσχώρων ἀθροίσαντες, ἐποίησαν ἀντὶ Ἠλείων τὰ Ὀλύμπια. ταύτας τὰς Ὀλυμπιάδας καὶ ἐπ' αὐταῖς τὴν τετάρτην τε καὶ ἑκατοστήν, τεθεῖσαν δὲ ὑπὸ Ἀρκάδων, Ἀπολυμπιάδας οἱ Ἠλεῖοι καλοῦντες, οὐ σφᾶς ἐν καταλόγῳ τῶν Ὀλυμπιάδων γράφουσιν. ὀγδόῃ δὲ ἐπὶ ταῖς τεσσαράκοντα Ὀλυμπιάδι Δαμοφῶν ὁ Πανταλέοντος ὑπόνοιαν μέν τινα παρέσχεν Ἠλείοις, νεώτερα ἐς αὐτοὺς βου-

lae exstant amplius reliquiae, sed undique vitibus consitus locus est, ubi olim Pisa incolebatur. (2) Eius urbis conditorem nominant Pisum Perieris filium, Aeoli nepotem. Ipsi quidem Pisaei vehementer irritatis Eleis, dum sibi Olympicorum ludorum condendi auctoritatem cupidius vindicare student, exitium struxerunt. Olympiade enim octava Elei Phidonem Argivum, impotentem tyrannum, et cunctae Graeciae invidia laborantem, advocarunt; eiusque maxime praesidio subnisi, ludos commiserunt. Quarta deinde et tricesima Olympiade Pisaei comparatis undique finitimorum copiis, regem suum secuti Pantaleontem Omphalionis filium, submotis Eleis, Olympicis ipsi ludis praefuerunt. Has *omnes* Olympiadas, et praeterea quartam et centesimam, quam Arcades condidere, Anolympiadas *(ac si dicas irritas Olympiadas)* vocantes Elei, in fastos suos non referunt. Octava vero supra quadragesimam Olympiade, Damophon Pantaleontis filius in proditionis suspicionem apud Eleorum mul-

λεύειν· ἐσβαλόντας δὲ ἐς τὴν Πισαίαν σὺν ὅπλοις, ἀπελθεῖν οἴκαδε ἀπράκτους ἔπεισε δεήσεσί τε καὶ ὅρκοις. Πύῤῥου δὲ τοῦ Πανταλέοντος μετὰ Δαμοφῶντα τὸν ἀδελφὸν βασιλεύσαντος, Πισαῖοι πόλεμον ἑκούσιον ἐπανείλοντο Ἠλείοις. συναπέστησαν δέ σφισιν ἀπὸ Ἠλείων Μακίστιοι καὶ Σκιλλούντιοι, οὗτοι μὲν ἐκ τῆς Τριφυλίας, τῶν δὲ ἄλλων περιοίκων Δυσπόντιοι. τούτοις καὶ μάλιστα ἐς τοὺς Πισαίους οἰκεῖα ἦν, καὶ οἰκιστὴν Δυσποντέα γενέσθαι σφίσιν Οἰνομάου παῖδα ἐμνημόνευον. Πισαίους μὲν δὴ καὶ ὅσοι τοῦ πολέμου Πισαίοις μετέσχον, ἐπέλαβεν ἀναστάτους ὑπὸ Ἠλείων γενέσθαι. (3) Πύλου δὲ τῆς ἐν τῇ Ἠλείᾳ δῆλα τὰ ἐρείπια κατὰ τὴν ἐξ Ὀλυμπίας ἐστὶν ἐς Ἦλιν ὀρεινὴν ὁδὸν, ὀγδοήκοντα δὲ στάδια ἐς Ἦλιν ἀπὸ τῆς Πύλου. ταύτην τὴν Πύλον ᾤκισε μὲν κατὰ τὰ ἤδη λελεγμένα μοι Μεγαρεὺς ἀνὴρ Πύλων ὁ Κλήσωνος· γενομένη δὲ ὑπὸ τοῦ Ἡρακλέους ἀνάστατος, καὶ αὖθις ἐπισυνοικισθεῖσα ὑπὸ Ἠλείων, ἔμελλεν
ἀνὰ χρόνον οὐχ ἕξειν οἰκήτορας. παρὰ δὲ αὐτὴν ποτα- 510

titudinem venit; quod quum armati in Pisaeorum fines excurrissent, re infecta precibus et obtestationibus, domum ut redirent, persuasit. Quum autem in regnum successisset post Damophontem fratrem Pyrrhus Pantaleontis filius, Pisaei ultro arma Eleis intulerunt: quo tempore coniuratione facta, ab Eleis defecerunt etiam Macistii, et Scilluntii: hi quidem e Triphylia; ex cetera vero vicinitate Dispontii. His enim cum Pisacis optime conveniebat, nempe qui urbis suae primordia ad Oenomai filium Disponteum referebant. Bellum Pisaeorum, et omnium, qui cum ipsis conspiraverant, populorum internecione terminatum est. (3) Pyli Eliacae rudera in conspectu sunt ab Olympia per montanam viam Elidem contendentibus. Abest a Pylo Elis stadia LXXX. Hanc urbem (sicuti *multo* superius commemoravi) condidit Megarensis Pylus, Clesonis filius. Excisa vero ab Hercule, ac postea ab Eleis restituta, iampridem ab inquilinis infrequens et deserta est. Praeter ipsam la-

μὸς Λάδων κάτεισιν ἐς τὸν Πηνειόν. λέγουσι δὲ οἱ Ἠλεῖοι καὶ ἔπος ἐς τὴν Πύλον ταύτην ἔχειν τῶν Ὁμήρου·

Γένος δ' ἦν ἐκ ποταμοῖο
Ἀλφειοῦ, ὅστ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης.

καὶ ἐμὲ ἔπειθον λέγοντες· ῥεῖ γὰρ δὴ διὰ ταύτης ὁ Ἀλφειός, ἐς δὲ ἄλλην Πύλον οὐκ ἔστιν ἐπενεγκεῖν τὸ ἔπος. Πυλίων γὰρ τῶν ὑπὲρ νήσου τῆς Σφακτηρίας οὐ πέφυκεν ἀρχὴν διοδεύειν τὴν γῆν ὁ Ἀλφειός· οὐ μὴν οὐδὲ ἐν τῇ Ἀρκάδων Πύλον ποτὲ ὀνομασθεῖσαν ἴσμεν πόλιν. (4) Ἀπέχει δὲ ὡς πεντήκοντα Ὀλυμπίας σταδίους κώμη τε Ἠλείων Ἡράκλεια, καὶ πρὸς αὐτῇ Κύθηρος ποταμός· πηγὴ δὲ ἐκδιδοῦσα ἐς τὸν ποταμὸν, καὶ νυμφῶν ἔστιν ἱερὸν ἐπὶ τῇ πηγῇ. ὀνόματα δὲ ἰδίᾳ μὲν ἑκάστῃ τῶν νυμφῶν, Καλλιφάεια, καὶ Συνάλλαξις, καὶ Πηγαία τε καὶ Ἴασις, ἐν κοινῷ δέ σφισιν ἐπίκλησις Ἰωνίδες. λουομένοις δὲ ἐν τῇ πηγῇ καμάτων τέ ἐστι καὶ ἀλγημάτων παντοίων ἰάματα. καλεῖσθαι δὲ τὰς νύμφας ἀπὸ Ἴωνος

bitur Ladon amnis in Peneum. Ad hanc Pylon disputant Elei Homeri versus istos pertinere:

- - - genus deduxit ab amne
Alpheo, Pylium late qui perfluit arva.

Ac mihi sane id facile persuaserunt. Hanc enim perlabitur Alpheus: nec ad aliam Pylum referre carmen licet. Nam per Pyliorum fines, qui supra Sphacteriam insulam sunt, certe non decurrit Alpheus: neque omnino ullam novimus in Arcadia terra urbem eodem hoc nomine fuisse. (4) Distat L ferme stadia ab Olympia Eleorum vicus Heraclea. Allabitur Cytherus fluvius. Fons in fluvium se exonerat: ad quem fontem Nymphis est aedes consecrata. Sua sunt propria Nymphis nomina, Calliphaea, Synallaxis, Pegaea, et Iasis. Communi quidem vocabulo Ionides nuncupantur. Saluberrimae sunt lavantibus aquae ad lassitudines, et quosvis corporis dolores levandos. Appellatas autem Nymphas

λέγουσι τοῦ Γαργήττου, μετοικήσαντος ἐνταῦθα ἐξ Ἀθηνῶν.

(5) Εἰ δὲ ἐλθεῖν ἐς Ἦλιν διὰ τοῦ πεδίου θελήσειας, σταδίους μὲν εἴκοσι καὶ ἑκατὸν ἐς Λετρίνους ἕξεις, ὀγδοήκοντα δὲ ἐκ Λετρίνων καὶ ἑκατὸν ἐπὶ Ἦλιν. τὸ μὲν δὴ ἐξ ἀρχῆς πόλισμα ἦν οἱ Λέτρινοι, καὶ Λετρεὺς ὁ Πέλοπος ἐγεγόνει σφίσιν οἰκιστής. ἐπ' ἐμοῦ δὲ οἰκήματά τε ἐλείπετο ὀλίγα, καὶ Ἀλφειαίας Ἀρτέμιδος ἄγαλμα ἐν ναῷ. γενέσθαι δὲ τὴν ἐπίκλησιν τῇ θεῷ λέγουσιν ἐπὶ λόγῳ τοιῷδε. ἐρασθῆναι τῆς Ἀρτέμιδος τὸν Ἀλφειόν, ἐρασθέντα δέ, ὡς ἐπέγνω, μὴ γενήσεσθαί οἱ διὰ πειθοῦς καὶ δεήσεως τὸν γάμον, ἐπιτολμᾶν ὡς βιασάμενον τὴν θεόν, καὶ αὐτὸν ἐς παννυχίδα ἐς Λετρίνους ἐλθεῖν, ὑπὸ αὐτῆς τε ἀγόμενον τῆς Ἀρτέμιδος καὶ νυμφῶν, αἷς παίζων συνῆν ἀκολουθῶν αὐτῇ· τὴν δὲ (ἐν ὑπονοίᾳ γὰρ τοῦ Ἀλφειοῦ τὴν ἐπιβουλὴν ἔχειν) ἀλείψασθαι τὸ πρόσωπον πηλῷ, καὶ αὐτὴν καὶ ὅσαι τῶν νυμφῶν παρῆσαν, καὶ τὸν Ἀλφειόν, ὡς ἐσῆλθεν, οὐκ ἔχειν αὐτὸν ἀπὸ 511
τῶν ἄλλων διακρῖναι τὴν Ἄρτεμιν, ἅτε δὲ οὐ διαγινώ-

putant ab Ione Gargetti, quum is Athenis profectus in hunc locum coloniam deduxisset. (5) Quod si per campos Elidem proficisci malueris, stadiis CXX confectis, Letrinos pervenies. Inter Letrinos vero et Elidem stadia intersunt CLXXX. Iam tum ab initio oppidum fuere Letrini; quod a Letreo Pelopis filio conditum est: mea vero aetate domorum paucarum exstabant reliquiae, et Alpheaeae Dianae cum simulacro aedes. Deae ob causam huiuscemodi cognomen impositum memorant. Alpheum amore captum Dianae, posteaquam ad nuptias eius conciliandas nihil se aut gratia, aut precibus profecturum intellexit, vim ei offerre conatum. Verum quum illa fugiens, insequentem amatorem Letrinos usque ad nocturnos choros pertraxisset (interesse enim Nympharum lusibus consueverat) ibi deam sibi suisque comitibus luto os oblevisse. Quare quum Alpheus a Nymphis Dianam discernere nequisset, elusum abisse. Ab

σκοντα, ἀπελθεῖν ἐπὶ ἀπράκτῳ τῷ ἐγχειρήματι. Λετριναῖοι μὲν δὴ Ἀλφειαίαν ἐκάλουν τὴν θεὸν ἐπὶ τοῦ Ἀλφειοῦ τῷ ἐς αὐτὴν ἔρωτι· οἱ δὲ Ἠλεῖοι (φιλία γάρ σφισιν ὑπῆρχεν ἐξ ἀρχῆς ἐς Λετριναίους) τὰ παρὰ σφίσιν Ἀρτέμιδος ἐς τιμὴν τῇ Ἐλαφιαίᾳ καθεστηκότα ἐς Λετρίνους τε μετήγαγον, καὶ τῇ Ἀρτέμιδι ἐνόμισαν τῇ Ἀλφειαίᾳ δρᾶν· καὶ οὕτω τὴν Ἀλφειαίαν θεὸν Ἐλαφιαίαν ἀνὰ χρόνον ἐξενίκησεν ὀνομασθῆναι. Ἐλαφιαίαν δὲ ἐκάλουν οἱ Ἠλεῖοι τὴν Ἄρτεμιν ἐπὶ τῶν ἐλάφων (ἐμοὶ δοκεῖν) τῇ θήρᾳ· αὐτοὶ δὲ γυναικὸς ἐπιχωρίας ὄνομα εἶναι τὴν Ἐλάφιον, καὶ ὑπὸ ταύτης τραφῆναι τὴν Ἄρτεμίν φασι. Λετρίνων δὲ ὅσον γε ἐξ ἀπωτέρω σταδίοις, ἔστιν ἀέναος λίμνη τριῶν που τὴν διάμετρον σταδίων μάλιστα.

CAPUT XXIII.

De gymnasio in urbe Elide eiusque septo, Xysto dicto — memorandis in hoc gymnasio — alio minore gymnasii septo — tertio gymnasii septo, Malco dicto, et memorandis in eo — curia Eleorum, Lalichmio dicta — via Siope dicta et templo Dianae Philomiracis.

Ἐν δὲ Ἤλιδι τὰ ἄξια μνήμης, γυμνάσιόν ἐστιν ἀρχαῖον, καὶ ὅσα ἐς τοὺς ἀθλητὰς πρὶν ἢ ἐς Ὀλυμπίαν

hoc Alphei amore Alpheaeam Dianam Letrinaeos nuncupasse. At Elei, quibus cum Letrinaeis pervetus est amicitia, Elaphiaeae Dianae caeremonias accepisse affirmant se a Letrinaeis: et Alphiaeae quidem nomine religionem primum sancitam, sed voce corrupta temporis longinquitate, dictam postea Elaphiaean. A cervorum tamen venatione Elaphiaean appellatam ego ab Eleis existimo. Traditum tamen ab ipsis etiam est, nutricem fuisse Dianae Elaphion indigenam mulierem, a qua deae fuerit nomen inditum. A Letrinis nihilo, quam stadia sex, longius lacus abest, per lineam rectam stadia tria excurrens. Is perennes aquas fundit.

Cap. XXIII. In Elide memoratu digna sunt, gymnasium vetus, in quo athletas, priusquam in Olympiam de-

ἀφικνεῖσθαι νομίζουσιν, ἐν τούτῳ σφίσι τῷ γυμνασίῳ δρᾶν καθέστηκε. πλάτανοι μὲν ὑψηλαὶ διὰ τῶν δρόμων πεφύκασιν ἐντὸς τοίχου· ὁ σύμπας δὲ οὗτος περίβολος καλεῖται Ξυστὸς, ὅτι Ἡρακλεῖ τῷ Ἀμφιτρύωνος ἐς ἄσκησιν ἐγίνετο, ὅσαι τῶν ἀκανθῶν ἐφύοντο ἐνταῦθα, ἐπὶ ἑκάστῃ ἡμέρᾳ σφᾶς ἀναξύειν. χωρὶς μὲν δὴ ἐς ἅμιλλαν τῶν δρόμων ἐστὶν ἀποκεκριμένος δρόμος, ὀνομάζεται δὲ ὑπὸ τῶν ἐπιχωρίων ἱερός· χωρὶς δὲ, ἔνθα ἐπὶ μελέτῃ δρομεῖς καὶ οἱ πένταθλοι θέουσιν. (2) Ἔστι δὲ ἐν τῷ γυμνασίῳ καλούμενον Πλέθριον· ἐν δὲ αὐτῷ συμβάλλουσιν οἱ Ἑλλανοδίκαι τοὺς καθ' ἡλικίαν, ἢ καὶ αὐτῷ διαφέροντας τῷ ἐπιτηδεύματι· συμβάλλουσι δὲ ἐπὶ πάλῳ. εἰσὶ δὲ καὶ θεῶν ἐν τῷ γυμνασίῳ βωμοὶ, Ἡρακλέους τοῦ Ἰδαίου, Παραστάτου δὲ ἐπίκλησιν, καὶ Ἔρωτος, καὶ ὃν Ἠλεῖοι καὶ Ἀθηναῖοι κατὰ ταὐτὰ Ἠλείοις Ἀντέρωτα ὀνομάζουσι, Δήμητρός τε καὶ τῆς παιδός. Ἀχιλλεῖ δὲ οὐ βωμὸς, κενὸν δέ ἐστιν αὐτῷ μνῆμα ἐκ μαντείας. τῆς 512
πανηγύρεως δὲ ἀρχομένης, ἐν ἡμέρᾳ ῥητῇ περὶ ἀποκλί-

scendant, omnia facere institutum est, quae ante certamen fieri mos ritusque maiorum postulat. Intra maceriam in ambitum curriculi, platani consitae sunt. Septum illum universum Xystus ex eo appellatur, quod Hercules Amphitryonis filius ad laborum patientiam quotidianis exercitationibus se confirmans, sentes omnes, qui pullularent eo in loco, vellere ac eradere sit solitus. *Aliud* est ab hoc seiunctum curriculum; Sacrum incolae appellant. Seorsum et illud est, in quo cursores et quinquertiones certamen meditantes, decurrunt. (2) In gymnasio locus est, quod vocant Plethrium. *Area est iugeri unius amplitudine.* In ea per aetates, et exercitationum genera, sorte ductos athletas committunt ludorum praefecti. Sunt et deorum in eo gymnasio arae, Herculis Idaei, Auxiliaris cognomento; Cupidinis, et *contrarii numinis*, quem eodem Elei, quo Athenienses nomine Anterotem nuncupant: Cereris etiam, et filiae. Achilli non ara, sed inane monu-

νοντα ἐς δυσμὰς τοῦ ἡλίου τὸν δρόμον, αἱ γυναῖκες αἱ Ἠλεῖαι ἄλλα τε τοῦ Ἀχιλλέως δρῶσιν ἐς τιμὴν, καὶ κόπτεσθαι νομίζουσιν αὐτόν. (3) Ἔστι δὲ καὶ ἄλλος ἐλάσσων γυμνασίου περίβολος, ὃς ἔχεται μὲν τοῦ μείζονος· τετράγωνον δὲ ὀνομάζουσιν ἐπὶ τῷ σχήματι. καὶ παλαίστραν τοῖς ἀθλοῦσιν ἐνταῦθα ποιοῦνται, καὶ συμβάλλουσιν αὐτόθι τοὺς ἀθλητὰς οὐ παλαίσοντας ἔτι, ἐπὶ δὲ ἱμάντων τῶν μαλακωτέρων ταῖς πληγαῖς. ἀνάκειται δὲ τῶν ἀγαλμάτων τὸ ἕτερον, ἃ ἀπὸ ζημίας Σωσάνδρου τοῦ Σμυρναίου καὶ Ἠλείου Πολύκτορος τῷ Διῒ ἐποιήθη. (4) Ἔστι δὲ καὶ τρίτος γυμνασίου περίβολος, ὄνομα μὲν Μαλκὼ, τῆς μαλακότητος τοῦ ἐδάφους εἵνεκα, τοῖς δὲ ἐφήβοις ἀνεῖται τῆς πανηγύρεως τὸν χρόνον πάντα. ἔστι δὲ ἐν γωνίᾳ τῆς Μαλκοῦς πρόσωπον Ἡρακλέους ἄχρις ἐς τοὺς ὤμους, καὶ ταινιῶν παλαιστρικῶν μία, τύπος Ἔρωτα ἔχων ἐπειργασμένον, καὶ τὸν καλούμενον Ἀντέρωτα· ἔχει δὲ ὁ μὲν φοίνικος ὁ Ἔρως κλάδον, ὁ δὲ ἀφελέσθαι πειρᾶται τὸν φοίνικα ὁ Ἀντέρως. τῆς ἐσόδου

mentum est ex oraculo dedicatum. Ad illud Eleae matronae, primis ludorum initiis, die stato, inclinante iam in vesperum sole, inter ceteros, quos Achilli habent honores, solenni ritu pectus plangunt. (3) Est et minor alius gymnasii ambitus maiori contiguus: ab ipsa figura quadrangulum nominant. Eo pro palaestra utuntur ad exercitationes athletae. Ibidem athletas eos committunt, qui quum a lucta iam vacationem habeant, loris colludunt mollioribus. Est eo in loco alterum eorum signorum positum, quae de Sosandri Smyrnaei et Polyctoris Elei multa Iovi dedicata fuere. (4) Est et tertius gymnasii ambitus, nomine Maltho, a soli levitate. Patet hic puberibus per omne ludorum tempus. In eius angulo signum positum est Herculis, extans humeris tenus; forma etiam unius de taeniis, quibus palaestritae utuntur. Cupido in ea et Anteros caelati sunt: Cupido palmae termitem manibus tenet: eum illi Anteros de manibus extorquere conatur. In utraque primi aditus parte

δὲ ἀντικρὺ μὲν τῆς ἐς τὴν Μαλθὼ πυλίδος ἕστηκεν εἰκὼν πύκτου· καὶ αὐτὸν ἔφασκεν ὁ νομοφύλαξ Ἠλείων γένος μὲν Ἀλεξανδρέα εἶναι τῆς ὑπὲρ Φάρου τῆς νήσου, Σαραπίωνα δὲ ὄνομα, ἀφικόμενον δὲ ἐς Ἦλιν, σπανίζουσι σίτου σφίσι τροφὰς δοῦναι. τούτῳ μὲν αὐτόθι ἀντὶ τούτου γεγόνασιν αἱ τιμαί· χρόνος δὲ στεφάνου τε τοῦ ἐν Ὀλυμπίᾳ καὶ εὐεργεσίας αὐτῷ τῆς ἐς Ἠλείους Ὀλυμπιὰς ἑβδόμη πρὸς ταῖς δέκα τε καὶ διακοσίαις. (5) Ἐν τούτῳ τῷ γυμνασίῳ καὶ βουλευτήριόν ἐστιν Ἠλείοις, καὶ ἐπιδείξεις ἐνταῦθα λόγων τε αὐτοσχεδίων καὶ συγγραμμάτων ποιοῦνται παντοίων· καλεῖται δὲ Λαλίχμιον, τοῦ ἀναθέντος ἐπώνυμον. περὶ δὲ αὐτὸ ἀσπίδες ἅμα κεῖνται, 513
θέας ἕνεκα καὶ οὐκ ἐς ἔργον πολέμου πεποιημέναι. (6) Ἐκ δὲ τοῦ γυμνασίου πρὸς τὰ λουτρὰ ἐρχομένοις, δι' ἀγυιᾶς τε ἡ ὁδὸς Σιωπῆς, καὶ παρὰ τὸ ἱερὸν τῆς Φιλομειρακός ἐστιν Ἀρτέμιδος. τῇ μὲν δὴ θεῷ γέγονεν ἡ ἐπίκλησις, ἅτε τοῦ γυμνασίου γείτονι· τῇ ἀγυιᾷ δὲ

ad eum ambitum, quem Maltho diximus appellari, stat effigies pugilis pueri: hunc, qui apud Eleos *legibus conservandis praefectus est* (Nomophylax dicitur) mihi narravit, patria Alexandrinum fuisse, ab ea scilicet Alexandria, quae supra Pharum insulam est, Serapionem nomine. Honorem hunc ei habitum, quod in summa annonae caritate, ad ludos veniens, magnum frumenti numerum Elidem supportandum curarit. Huius in Eleos meriti, et acceptae coronae tempus, numeratur Olympias decima septima supra ducentesimam. (5) In eodem hoc gymnasio curiam suam habent Elei; et hic specimina edunt tum extemporanearum orationum, tum cuiusvis generis scriptorum. Lalichmium locus hic, de eius, qui dedicavit nomine, vocatur. Affixa sunt circumquaque scuta, ad operis ornamentum, non ad belli usum. (6) A gymnasio ad lavacra, per viam itur, quae Silentii dicitur, praeter Dianae Philomiracis *(quod est ac si dicas, Adolescentulorum amicae)* templum. Cognomen dea quidem accepit a gymnasii vicinitate. Viam vero

Σιωπὴ ὄνομα ἐπὶ λόγῳ τοιῷδε τεθῆναι λέγουσιν. ἄνδρας τοῦ Ὀξύλου στρατευόμενος ἐπὶ κατασκοπῇ τῶν ἐν Ἤλιδι ἀποπεμφθέντες, καὶ ἀλλήλοις διακελευσάμενοι κατὰ τὴν ὁδὸν, ἐπειδὰν πλησίον γίνωνται τοῦ τείχους, φθέγγεσθαι μὲν μηδὲν ἔτι μυχοί, ἐπακροᾶσθαι δὲ, εἴ τι παρὰ τῶν ἐντὸς πυθέσθαι δυνήσονται· οὗτοι λανθάνουσι παρελθόντες ἐς τὴν πόλιν κατὰ τὴν ἀγυιὰν ταύτην, καὶ ἐπακούσαντες, ὁπόσα ἐβούλοντο, ἐπανίασιν αὖθις ἐς τοὺς Αἰτωλούς· καὶ ἡ ἀγυιὰ τὸ ὄνομα εἴληφεν ἀπὸ τῶν κατασκόπων τῆς σιωπῆς.

CAPUT XXIV.

De foro Eleorum, Hippodromo dicto — Hellanodicaeone, domicilio praefectorum ludorum — portico Corcyraica, Pyrrhonis sophistae signo et monumento — templis et signis in foro, Apollinis Acesii, Solis et Lunae, Gratiarum, Amoris — Sileni templo et Silenis — prisco templo, quod quernis columnis sustinetur — domo XVI feminarum (v. L. V. C. 16.).

Ἑτέρα δὲ ἔξοδος ἐκ τοῦ γυμνασίου φέρει μὲν ἔς τε τὴν ἀγορὰν καὶ ἐπὶ τὸν Ἑλλανοδικαιῶνα καλούμενον, ἔστι δὲ ὑπὲρ τοῦ Ἀχιλλέως τὸν τάφον· καὶ ταύτῃ τοῖς Ἑλ-

ex eo Silentii appellatam hominum sermo prodidit, quod ab Oxylo speculatores missi ad exploranda Eleorum consilia, mutuis in itinere cohortationibus usi, quum propius iam ad moenia accessissent, voce ipsi compressa, propugnatorum sermones subauscultando excipientes, per hanc ipsam viam intra oppidum irrepserunt: cognitis vero et perspectis, quae volebant omnibus, impune ad Aetolos redierunt. Ab hoc speculatorum silentio viam nomen accepisse affirmant.

Cap. XXIV. *Exitus* alius ad forum excurrit a gymnasio, et ad *compitum*, quem Hellanodicaeonem vocant. Est is supra Achillis tumulum: et illac ludorum praefectus, qui

Ἑλλανοδίκαις ἐνταῦθα καθέστηκεν ἐς τὸ γυμνάσιον. ἐλαύνουσι πρὸ μὲν τοῦ ἡλίου ἀνίσχειν, συμβάλλοντας δρομεῖς· μεσούσης δὲ τῆς ἡμέρας ἐπὶ τὰ πένταθλα, καὶ ὅσα βαρέα ἆθλα ὀνομάζουσιν.

(2) Ἡ δὲ ἀγορὰ τοῖς Ἠλείοις οὐ κατὰ τὰς Ἰώνων, καὶ ὅσαι πρὸς Ἰωνίας πόλεις εἰσὶν Ἑλλήνων, τρόπῳ δὲ πεποίηται τῷ ἀρχαιοτέρῳ, στοαῖς τε ἀπὸ ἀλλήλων διεστώσαις καὶ ἀγυιαῖς δι' αὐτῶν. ὄνομα δὲ τῇ ἀγορᾷ τὸ ἐφ' ἡμῶν ἐστιν Ἱππόδρομος, καὶ ἐπιχώριοι τοὺς ἵππους ἐπαιδοτρίβουν ἐνταῦθα. τῆς δὲ στοᾶς τῆς πρὸς μεσημβρίαν ἐργασίας ἐστὶ τῆς Δωρίου, διακρίνουσι δὲ αὐτὴν ἐς μοίρας τρεῖς οἱ κίονες. ἐν ταύτῃ διημερεύουσι τὰ πολλὰ οἱ Ἑλλανοδίκαι. ποιοῦνται δὲ πρὸς αὐτοὺς καὶ βωμοὺς τῷ Διΐ. καὶ εἰσὶν ἐν τῷ ὑπαίθρῳ τῆς ἀγορᾶς οἱ βωμοὶ πλῆθος οὐ πολλοί· κατασκευάζονται γὰρ οὐ χαλεπῶς, ἅτε αὐτοσχεδίως οἰκοδομούμενοι. (3) Κατὰ ταύτην τὴν στοὰν 514
ἰόντι ἐς τὴν ἀγορὰν, ἔστιν ἐν ἀριστερᾷ παρὰ τὸ πέρας τῆς στοᾶς τὸ Ἑλλανοδικαιῶν· ἀγυιὰ δὲ διείργουσα ἀπὸ

Hellanodicae dicuntur, in gymnasium venire more maiorum traditum est. Et ante solis quidem ortum, cursores committunt: dimidiato vero iam die, quinquertia, et graviora quae vocant certamina. (2) Forum autem Eleorum non eadem est descriptione, qua Ionum et Ioniae finitimarum urbium fora; sed antiquiore multum. Porticus modicis intervallis exaedificatae sunt, semitis plurimis intersecantibus. Recentiori aetate nomen Hippodromi forum ipsum appellatur. Erudiunt enim hic maxime equos indigenae. Quae porticus ad meridiem est, Doricam prae se fert descriptionem. Eam trifariam columnae dividunt: stadio in ea diutius est iudicii praefectorum. Multas in ea porticu Iovi aras erigunt, et in aprica fori parte multae item arae sunt, quae removentur: autem non magno utique negotio. Sunt enim tumultuario opere constructae. (3) Secundum hanc porticum ad forum accedenti, ad laevam, circa extremam porticus partem, est Hellanodiceon, media calle a foro divisus. In eo per-

H 2

[illegible] ποιεῖν, διδάσκονται. (4) Τῇ στοᾷ δὲ [illegible] Κορκυραϊκὴ [illegible] Κορκυραῖοι [illegible] Ἠλείων [illegible]

[illegible] habitant [illegible] illud tempus in [illegible] de legum conservatoribus [illegible] (4) A porticu ea, in qua [illegible] porticus [illegible] Corcyraicam nominata, [illegible] quod Corcyraei ex Eleo agro [illegible] ipsi [illegible] Elei Corcyra [illegible] Est opus Doricum, duplici surgente columnarum ordine [illegible] forum, alter ad ea, quae ultra forum sunt, partes pertinet. Media porticus [illegible] columnae, sed [illegible] sustinet [illegible] utrimque [illegible] habet imagines. Ad eam porticus partem, quae ad forum conversa est, Pyrrhonis [illegible] statua cernitur, Sophistae hominis, [illegible]

χώρα τοῦ Ἠλείων ἄστεως. Πέτρα μὲν τῷ χωρίῳ τὸ ὄνομα, λέγεται δὲ ὡς ἡ Πετραίων δῆμος εἴη τὸ ἀρχαῖον. (5) Ἠλείοις δὲ ἐν τῷ ὑπαίθρῳ τῆς ἀγορᾶς τὰ ἐπιφανέστατα ναός ἐστι καὶ ἄγαλμα Ἀπόλλωνος Ἀκεσίου· σημαίνοιτο δ᾽ ἂν τὸ ὄνομα οὐδέν τι ἀλλοῖον ἢ ὁ καλούμενος Ἀλεξίκακος ὑπὸ Ἀθηναίων. ἑτέρωθι δὲ Ἡλίῳ πεποίηται καὶ Σελήνῃ λίθου τὰ ἀγάλματα· καὶ τῆς μὲν κέρατα ἐκ τῆς κεφαλῆς, τοῦ δὲ αἱ ἀκτῖνες ἀνέχουσιν. ἔστι δὲ καὶ Χαρίτων ἱερόν, καὶ ξόανα ἐπίχρυσα τὰ ἐς ἐσθῆτα, πρόσωπα δὲ καὶ χεῖρες καὶ πόδες λίθου λευκοῦ· ἔχουσι δὲ ἡ μὲν αὐτῶν ῥόδον, ἀστράγαλον δὲ ἡ μέση, καὶ ἡ τρίτη κλῶνα οὐ μέγαν μυρσίνης. ἔχειν δὲ αὐτὰς ἐπὶ τοιῷδε εἰκάζοι τις ἂν τὰ εἰρημένα· ῥόδον μὲν καὶ 515
μυρσίνην Ἀφροδίτης τε ἱερὰ εἶναι καὶ οἰκεῖα τῷ ἐς κάλλος λόγῳ· Χάριτας δὲ Ἀφροδίτῃ μάλιστα εἶναι θεῶν· ἀστράγαλόν τε μειρακίων τε καὶ παρθένων, οἷς ἄχαρι οὐδέν πω πρόσεστιν ἐκ γήρως, τούτων εἶναι τὸν ἀστράγαλον παίγνιον. τῶν Χαρίτων δὲ ἐν δεξιᾷ ἄγαλμά ἐστιν

Est eiusdem sepulcrum non longe ab Eleorum urbe: Saxum locus appellatur, et priscus hoc nomine fuisse videtur Eleorum vicus. (5) Habent Elei in fori area sub divo haec maxime insignia opera. Aedes est et signum Apollinis Acesii. Hoc nimirum cognominis nihil diversum ab Averruncatoris, quod Atheniensibus numen est, significare videri possit. Alia in parte Solis et Lunae lapidea posita sunt signa: e Lunae capite cornua; e Solis, radii existunt. Suum habent et Gratiae templum: simulacra lignea sunt, veste inaurata: facies, manus, et pedes e candido marmore: earum una rosam, talum altera, myrti frondem exiguam tertia praefert. Quae sit insignium ratio facile coniiciat, qui attenderit, rosam et item myrtum Veneri sacram, quod stirps utraque eximiam habeat pulchritudinis speciem: Gratiae vero Veneri prae ceteris dis attributae sint. Talus quidem adolescentulorum et virginum lusus est, quibus nihil adhuc ex senio decessit gratiae. In eadem basi Cupido Gra-

Ἔρωτος· ἕστηκε δὲ ἐπὶ βάθρου τοῦ αὐτοῦ. (6) Ἔστι δὲ καὶ Σιληνοῦ ναὸς ἐνταῦθα, ἴδιος τῷ Σιληνῷ καὶ οὐχ ὁμοῦ Διονύσῳ πεποιημένος· Μέθη δὲ οἶνον ἐν ἐκπώματι αὐτῷ δίδωσι. Θνητὸν δὲ εἶναι τὸ γένος τῶν Σιληνῶν, εἰκάσαι τὶς ἂν μάλιστα ἐπὶ τοῖς τάφοις αὐτῶν. ἐν γὰρ τῇ Ἑβραίων χώρᾳ Σιληνοῦ μνῆμα, καὶ ἄλλου Σιληνοῦ Περγαμηνοῖς ἐστιν. (7) Ἠλείων δὲ ἐν τῇ ἀγορᾷ καὶ ἄλλο τοιόνδε εἶδον ναοῦ σχῆμα· ἔστι δὲ οὐχ ὑψηλὸν, καὶ τοῖχοι μὲν οὐκ εἰσὶ, τὸν ὄροφον δὲ δρυὸς ἀνέχουσιν εἰργασμένοι κίονες. τοῦτο εἶναι μὲν ὁμολογοῦσιν οἱ ἐπιχώριοι μνῆμα, ὅτου δὲ, οὐ μνημονεύουσιν· εἰ δὲ ὁ γέρων, ὅντινα ἠρόμην, εἶπεν ἀληθῆ λόγον, Ὀξύλου τοῦτο ἂν μνῆμα εἴη. (8) Πεποίηνται δὲ ἐν τῇ ἀγορᾷ καὶ ταῖς γυναιξὶν οἴκημα ταῖς ἑκκαίδεκα καλουμέναις, ἔνθα τὸν πέπλον ὑφαίνουσι τῇ Ἥρᾳ.

tilis adsistit a dextera. (6) Templum ibidem Silenus habet proprium, non (ut multis in locis) cum libero Patre commune. Ei Ebrietas vinum e poculo porrigit. Mortales vero ortu Silenos esse, ex eo facile coniicias, quod apud Hebraeos et Pergamenos monstrantur Silenorum sepulcra. (7) Novam etiam quandam in Eleorum foro templi formam vidi. Modicae est aedes altitudinis, sine parietibus, tectum e quercu dolatis fulcientibus tibicinibus. Monumentum id esse inter omnes populares convenit: ecquisnam vero in eo sit conditus, non memorant. Quod si vera senex quidam, quem sum percontatus, mihi exposuit, Oxyli esse monumentum statuendum fuerit. (8) In ipso etiam foro sedecim foeminarum (tot enim sunt et sic appellantur) domus est, in qua Iunoni peplum contexunt.

CAPUT XXV.

De templo Elidis Imperatoribus Romanis dedicato — Veneris Coelestis et Vulgivagae templo ac signis — Orci (Ἅιδου) templo eiusque cultus apud Eleos origine — Fortunae templo et Sosipolidis cultu atque imagine picta — viri, Satrapae dicti, signo et cultu.

Ἔχεται δὲ τῆς ἀγορᾶς ναὸς ἀρχαῖος, στοαῖς ἐν κύκλῳ περίστυλος· ὁ δὲ ὄροφος κατεῤῥύηκε τῷ ναῷ, καὶ ἄγαλμα οὐδὲν ἐλείπετο· βασιλεῦσι δὲ ἀνεῖται Ῥωμαίοις. (2) Ἔστι δὲ τῆς στοᾶς ὀπίσω τῆς ἀπὸ τῶν λαφύρων τῶν ἐκ Κορκύρας Ἀφροδίτης ναὸς, τὸ δὲ ἐν ὑπαίθρῳ τέμενος οὐ πολὺ ἀφεστηκὸς ἀπὸ τοῦ ναοῦ. καὶ τὴν μὲν ἐν τῷ ναῷ καλοῦσιν Οὐρανίαν· ἐλέφαντος δέ ἐστι καὶ χρυσοῦ, τέχνη Φειδίου, τῷ δὲ ἑτέρῳ ποδὶ ἐπὶ χελώνης βέβηκε. τῆς 516
δὲ περιέχεται μὲν τὸ τέμενος θριγκῷ, κρηπὶς δὲ ἐντὸς τοῦ τεμένους πεποίηται, καὶ ἐπὶ τῇ κρηπῖδι ἄγαλμα Ἀφροδίτης χαλκοῦν ἐπὶ τράγῳ κάθηται χαλκῷ· Σκόπα τοῦτο ἔργον, Ἀφροδίτην δὲ Πάνδημον ὀνομάζουσι. τὰ δὲ ἐπὶ χελώνῃ τε καὶ ἐς τὸν τράγον παρίημι τοῖς θέλου-

Cap. XXV. Continenti cum foro tractu coniungitur antiqua aedes circumquaque porticibus et columnis incincta: tectum vetustate collapsum corruit; neque inter ruinas reliquum ullum signum est. Romanorum Imperatoribus fuit haec *olim* aedes dedicata. (2) Est autem ad posticum eius porticus, quae de manubiis Corcyraeorum erecta fuit, Veneris aedes. Area templo sacrata, sub divo non longe abest. Quae ibi colitur, Coelestem Venerem vocant. Eius ex ebore et auro signum est, Phidiae opus: altero quidem pede testudinem premit. Area ipsa maceria est circumsepta: intra maceriam crepido, super qua Veneris, quam Popularem nominant, signum ex aere: capro insidet ex eadem fabricato materia, Scopae opus. Quae vel testudinis, vel capri ratio sit, quibus haec perscrutari curae est, quaerendum re-

σιν εἰκάζειν. (3) Ὁ δὲ ἱερὸς τοῦ Ἅιδου περίβολός τε καὶ ναὸς (ἔστι γὰρ Ἠλείοις καὶ Ἅιδου περίβολός τε καὶ ναὸς) ἀνοίγνυται μὲν ἅπαξ κατὰ ἔτος ἕκαστον, ἐσελθεῖν δὲ οὐδὲ τότε ἐφεῖται παρά γε τοῦ ἱερωμένου. ἀνθρώπων δὲ ὧν ἴσμεν μόνοι τιμῶσιν Ἅιδην Ἠλεῖοι κατὰ αἰτίαν τήνδε. Ἡρακλεῖ στρατιὰν ἄγοντι ἐπὶ Πύλον τὴν ἐν τῇ Ἤλιδι, παρεῖναί οἱ καὶ Ἀθηνᾶν συνεργὸν λέγουσιν· ἀφικέσθαι οὖν καὶ Πυλίοις τὸν Ἅιδην συμμαχήσοντα τῇ ἀπεχθείᾳ τοῦ Ἡρακλέους, ἔχοντα ἐν τῇ Πύλῳ τιμάς. ἐπάγονται δὲ καὶ Ὅμηρον τῷ λόγῳ μάρτυρα ποιήσαντα ἐν Ἰλιάδι·

Τλῆ δ' Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν,
Εὖτέ μιν ωὐτὸς ἀνήρ, υἱὸς Διὸς αἰγιόχοιο,
Ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν.

εἰ δὲ κατὰ τὴν Ἀγαμέμνονος καὶ Μενελάου στρατείαν ἐπὶ Ἴλιον Ποσειδῶν τῷ Ὁμήρου λόγῳ τοῖς Ἕλλησιν ἐπίκουρος ἦν, οὐκ ἂν ἄπο τοῦ εἰκότος οὐδὲ Ἅιδην εἴη,

linquo. (3) Iam vero Summani ambitum et aedem (utrumque enim Elei Summano dedicarunt) semel quotannis aperiunt, neque tunc introire cuiquam praeterquam sacrificulo fas est. Soli omnium ex cognitis gentibus Elei Ditem patrem ob huiusmodi causam venerantur. Quum exercitum ad Pylon, quae in Elide est, oppugnandam Hercules adduxisset, opem ei ferente Minerva, praesto etiam Pyliis ad ferendum auxilium Summanum fuisse dicunt, quod et Herculi esset infensus, et singulari a Pyliis afficeretur honore. Testes vero citant huius rei Homeri ex Iliade versus:

Pertulit et saevus volucris mala vulnera teli
Dis pater, illum quum magno Iove natus ad alta
Tecta Pyli miserum cruciatu afflixit acerbo.

Quod si belli Troiani temporibus, uti ab Homero traditum est, auxilio Graecis venit Neptunus, non alienum a vero videri possit ex eiusdem poetae sententia, Ditem etiam pa-

δέξῃ, μη τοῦ αὐτοῦ ποιητοῦ, Πυλίοις ἀμῦναι. Ἠλεῖοι δ' οὖν, ὡς σφίσι τε εὔνῳ καὶ ἀπεχθανομένῳ πρὸς τὸν Ἡρακλέα ἐποιήσαντο τὸ ἱερὸν τῷ θεῷ. ἑκάστου δὲ ἅπαξ ἀνοίγειν τοῦ ἐνιαυτοῦ νομίζουσιν, ὅτι (οἶμαι) καὶ ἀνθρώποις ἅπαξ ἡ κάθοδος ἡ ἐς τοῦ Ἅιδου γίνεται. (4) Ἠλείοις καὶ Τύχης ἱερόν ἐστιν· ἐν στοᾷ δὲ τοῦ ἱεροῦ μεγέθει μέγα ἄγαλμα ἀνάκειται, ξόανον ἐπίχρυσον, πλὴν προσώ- 517
που, καὶ χειρῶν τε ἄκρων καὶ ποδῶν· ταῦτα δέ οἱ ἐστὶ λίθου λευκοῦ. ἐνταῦθα ἔχει τιμὰς καὶ ὁ Σωσίπολις ἐν ἀριστερᾷ τῆς Τύχης, ἐν οἰκήματι οὐ μεγάλῳ. κατὰ δὲ ὄψιν ὀνείρατος γραφῇ μεμιμημένος ἐστὶν ὁ θεός, παῖς μὲν ἡλικίαν, ἀμπέχεται δὲ χλαμύδα ποικίλην ὑπὸ ἀστέρων, τῇ χειρὶ δὲ ἔχει τῇ ἑτέρᾳ τὸ κέρας τῆς Ἀμαλθείας. (5) Καθ' ὃ δὲ Ἠλείων ἡ πόλις πληθύει μάλιστα ἀνθρώποις, κατὰ τοῦτο ἀνδριάς σφισιν ἀνδρὸς οὐ μείζων μεγάλου χαλκοῦς ἐστιν, οὐκ ἔχων πω γένεια, τόν τε ἕτερον τῶν ποδῶν ἐπιλλάξας τῷ ἑτέρῳ, καὶ ταῖς χερσὶν ἀμφοτέραις ἐπὶ δόρατι ἠρεισμένος· ἐσθῆτα δὲ ἐρεᾶν αὐτῷ

trem Pylios ope sua adiutos voluisse. Elei igitur Summano de se bene merito deo, quique esset in Herculem animo infensissimo, aedem erexerant, quam quotannis idcirco semel (uti mea fert opinio) recludunt, quod semel ad inferos patet hominibus via. (4) Suum est etiam apud Eleos Fortunae templum. In eius porticu eximia magnitudine signum dedicarunt, ligneum illud quidem, sed inauratum undique, praeter faciem tamen, summasque manus et pedes. Hae enim partes e candido marmore sunt. Decreti etiam in modica cella, ad Fortunae laevam, Sosipolidi honores. Deus iste e viso per somnum oblato pictura est effictus. Aetate puerili est, chlamyde amictus varia, et stellata; prae se gerit manu altera copiae cornu. (5) In celeberrima urbis parte signum ex aere erectum est, iuvenis nihilo magno homine procerior, facie inpubi, pedem pede premens, utraque manu hastae innixus. Lanea eum veste, interdum lin-

καὶ ἀπὸ λίνου τε καὶ βύσσου περιβάλλουσι. τοῦτο τὸ ἄγαλμα ἐλέγετο εἶναι Ποσειδῶνος, ἔχειν δὲ τὸ ἀρχαῖον ἐπὶ Σαμικῷ τῷ ἐν τῇ Τριφυλίᾳ τιμάς· μετακομισθὲν δὲ ἐς τὴν Ἦλιν τιμῆς μὲν καὶ ἐς πλέον ἔτι ἥκει· Σατράπην δὲ, καὶ οὐ Ποσειδῶνα, ὄνομα αὐτῷ τίθενται, μετὰ τὴν Πατρέων προσοίκησιν τὸ ὄνομα τοῦ Σατράπου διδαχθέντες· Κορύβαντός τε ἐπίκλησις ὁ Σατράπης ἐστί.

CAPUT XXVI.

De prisco theatro et Bacchi templo, de festo Thyiis dicto — templo Minervae in arce Eleorum — Cyllene, Eleorum navali, et Mercurii signo, fascino arrecto — gignentibus Eleorum agri, cultura serici apud Seres et Seria insula — Elidis et Achaiae finibus.

Θέατρον δὲ ἀρχαῖον μεταξὺ τῆς ἀγορᾶς καὶ τοῦ Μηνίου, τὸ θέατρόν τε καὶ ἱερόν ἐστι Διονύσου· τέχνη τὸ ἄγαλμα Πραξιτέλους. Θεῶν δὲ ἐν τοῖς μάλιστα Διόνυσον σέβουσιν Ἠλεῖοι, καὶ τὸν θεόν σφισιν ἐπιφοιτᾶν ἐς τῶν Θυίων τὴν ἑορτὴν λέγουσιν. ἀπέχει μέν γε τῆς πόλεως, ὅσον τε ὀκτὼ στάδια, ἔνθα τὴν ἑορτὴν ἄγουσι Θυῖον ὀνομάζοντες· λέβητας δὲ ἀριθμὸν τρεῖς ἐς οἴκημα

tea et byssina induunt: Neptunum esse autumant, qui quum ante in Samico Triphyliae coleretur, deportato Elidem signo, vel maiore multo in honore esse coeperit. Satrapen tamen ipsum, non Neptunum, vocant, accepto scilicet a finitimis Patrensibus Satrapae nomine. Est vero Corybantis cognomen Satrapes.

Cap. XXVI. Inter forum et Dianium, theatrum est vetus cum templo Libero dedicatum: *cuius* signum fecit Praxiteles. Deorum omnium unum maxime Liberum venerantur Elei, et eum sacri sui (quam Thyian nominant) ad eum locum qui stadia ab urbe distat circiter octo, diem obire dictitant. Nam quum in sacello legenas tres inanes *totidem*

ἐσκομίσαντες οἱ ἱερεῖς κατατίθενται κενούς, παρόντων 518
καὶ τῶν ἀστῶν καὶ ξένων, εἰ τύχοιεν ἐπιδημοῦντες· σφραγῖδας δὲ αὐτοί τε οἱ ἱερεῖς, καὶ τῶν ἄλλων ὅσοις ἂν κατὰ γνώμην ᾖ, ταῖς θύραις τοῦ οἰκήματος ἐπιβάλλουσιν. ἐς δὲ τὴν ἐπιοῦσαν τά τε σημεῖα ἐπιγνῶναι πάρεστί σφισι, καὶ ἐπελθόντες ἐς τὸ οἴκημα εὑρίσκουσιν οἴνου πεπλησμένους τοὺς λέβητας. ταῦτα Ἠλείων τε οἱ δοκιμώτατοι ἄνδρες, σὺν αὐτοῖς δὲ καὶ ξένοι κατώμνυντο ἔχειν κατὰ τὰ εἰρημένα· ἐπεὶ αὐτός γε οὐκ εἰς καιρὸν ἀφικόμην τῆς ἑορτῆς. λέγουσι δὲ καὶ Ἄνδριοι παρὰ ἔτος σφίσιν ἐς τοῦ Διονύσου τὴν ἑορτὴν ῥεῖν οἶνον αὐτόματον ἐκ τοῦ ἱεροῦ. Εἰ πιστεύειν χρὴ ταῦτα Ἕλλησιν, ἀποδέχοιτο ἂν τις τῷ λόγῳ γε τῷ αὐτῷ καὶ ὅσα Αἰθίοπες οἱ ὑπὲρ Συήνης ἐς τοῦ ἡλίου τὴν τράπεζαν λέγουσιν. (2) Ἐν ἀκροπόλει δὲ τῇ Ἠλείων ἐστὶν ἱερὸν Ἀθηνᾶς· ἐλέφαντος δὲ τὸ ἄγαλμα καὶ χρυσοῦ. εἶναι μέντοι Φειδίου φασὶν αὐτήν· πεποίηται δὲ ἀλεκτρυὼν ἐπὶ τῷ κράνει, ὅτι οὗτοι προχειρότατα ἔχουσιν ἐς μάχας οἱ ἀλεκ-

sacerdotes deponant, praesentibus et civibus et peregrinis, si quos forte adesse contigerit, mox vero templi fores vel sacerdotes ipsi, vel alii, quibus curae sit huius rei periculum facere, suo quisque obsignant annulo; postero vero die agnitis signis ingressi, vini plenas reperiunt lagenas. Haec, uti a me commemorata sunt, ex Eleis fide spectatissima viri, et aliquot item exteri, ita se habere mihi sancte deierarunt. Neque enim res tulit, ut ipse adessem, quum solemne illud celebraretur. Ferunt etiam Andrii apud se per festos Liberi Patris dies, vinum quotannis sponte sua e templo manare. Quod si haec Graecis ut credamus, adduci possumus, nihil iam prohibet quin et quaecumque Aethiopes, qui supra Syenen sunt, de Solis mensa fabulantur, vera putemus. (2) In arce Elidis Minervae fanum est, signumque auro et ebore fabricatum: Phidiae aiunt opus fuisse. Insistit deae cassidi gallus gallinaceus, quod (opinor) haec est avis pug-

αὐτός ἐστιν ὁ ποταμὸς νῆσον αὐτήν, ὥσπερ καὶ Αἰγύπτου τὸ Δέλτα ὑπὸ τοῦ Νείλου, καὶ οὐχ ὑπὸ μιᾶς περιέχεσθαι
520 θαλάσσης· τοιαύτην ἑτέραν καὶ τὴν Σηρίαν νῆσόν εἶναι. οὗτοι μὲν δὴ τοῦ Αἰθιόπων γένους αὐτοί τε εἰσιν οἱ Σῆρες, καὶ ὅσοι τὰς προσεχεῖς αὐτῇ νέμονται νήσους, Ἀβασάν καὶ Σακαίαν· οἱ δὲ αὐτοὺς οὐκ Αἰθίοπας, Σκύθας δὲ ἀναμεμιγμένους Ἰνδοῖς φασιν εἶναι. ταῦτα μὲν ἐς τοσόνδε λέγεται.

(5) Ἰόντι δὲ ἐς Ἀχαΐαν ἐκ τῆς Ἤλιδος, ἑπτὰ καὶ πεντήκοντα στάδιοι καὶ ἑκατὸν ἐπὶ ποταμόν εἰσι Λάρισον, καὶ Ἠλείοις ὅροι πρὸς Ἀχαιοὺς τῆς χώρας ὁ ποταμός ἐστιν ἐφ' ἡμῶν ὁ Λάρισος· τὰ δὲ ἔτι ἀρχαιότερα ἄκρα σφίσι πρὸς θαλάσσῃ ὅρος ἦν ὁ Ἄραξος.

sulam illam facere, quomodo et Delta in Aegypto a Nilo, non ab ullo mari circumdari. Talem insulam esse etiam Seriam. Aethiopici generis sunt et hi Seres quos dixi, et quotquot contiguas insulas tenent, Abasam et Sacaeam: etsi non desunt qui non Aethiopas sed Scythas Indis permistos esse eos dicant. Sed haec hactenus. (5) Qua vero in Achaiam ex Elide iter est stadium circiter centum et quinquaginta septem via ad fluvium Larisum ducit. Et hi quidem fines aetate nostra sunt inter Achaicum et Eliacum agrum, Larisus nimirum amnis. Priscis enim temporibus utriusque gentis terminus fuit Araxus promontorium.

ΠΑΥΣΑΝΙΟΥ
ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ
ΑΧΑΪΚΑ.

ΑΧΑΙΚΑ SEU LIB. VII.

CAPUT I.

De Achaïae situ et prisco nomine Aegialo — Aegiali primis regibus, Xutho, Ione — Achaei, a Doriensibus eiecti, Tisameno duce in Aegialum profecti Ionas expellunt — Iones ab Atheniensibus recipiuntur.

Ἡ δὲ τῆς Ἠλείας μέση καὶ Σικυωνίας, καθήκουσα μὲν 521
ἐπὶ τὴν πρὸς ἕω θάλασσαν, Ἀχαΐα δὲ ὄνομα τὸ ἐφ' ἡμῶν ἔχουσα ἀπὸ τῶν ἐνοικούντων, αὕτη τε Αἰγιαλὸς τὸ ἀρχαῖον, καὶ οἱ νεμόμενοι τὴν γῆν ἐκαλοῦντο Αἰγιαλεῖς, λόγῳ μὲν τῷ Σικυωνίων ἀπὸ Αἰγιαλέως βασιλεύσαντος ἐν τῇ νῦν Σικυωνίᾳ· εἰσὶ δὲ οἵ φασιν ἀπὸ τῆς χώρας, εἶναι γὰρ τὰ πολλὰ αὐτῆς αἰγιαλόν. (2) Χρόνῳ δὲ ὕστερον ἀποθανόντος Ἕλληνος, Ξοῦθον οἱ λοιποὶ τοῦ Ἕλληνος παῖδες διώκουσιν ἐκ Θεσσαλίας, ἐπενεγκόντες αἰτίαν, ὡς ἴδια χρήματα ὑφελόμενος ἔχοι τῶν πατρῴων. ὁ δὲ

Cap. I. Quae terra inter Eleos et Sicyonios media, ad mare Orientem versus excurrit, Achaia hoc tempore dicitur, ab *Achaeis* eam incolentibus: prisco nomine Aegialus appellabatur, et incolae Aegialenses nominati, ab Aegialeo Sicyoniae rege, ut ipsi dicunt Sicyonii. Alii a regionis situ, quae aegiali fere tota *(hoc est litoris)* formam habet. (2) Iam vero Hellene mortuo, Xuthum reliqui Hellenis filii e Thessalia eiiciunt, eo nempe crimine, quod paternam sibi solus

ἐς Ἀθήνας φυγὼν, θυγατέρα Ἐρεχθέως ἠξιώθη λαβεῖν, καὶ παῖδας Ἀχαιὸν καὶ Ἴωνα ἔσχεν ἐξ αὐτῆς. ἀποθανόντος δὲ Ἐρεχθέως, τοῖς παισὶν αὐτοῦ δικαστὴς Ξοῦθος ἐγένετο ὑπὲρ τῆς ἀρχῆς· καὶ (ἔγνω γὰρ τὸν πρεσβύτατον Κέκροπα βασιλέα εἶναι) οἱ λοιποὶ τοῦ Ἐρεχθέως παῖδες ἐξελαύνουσιν ἐκ τῆς χώρας αὐτόν· ἀφικομένῳ δὲ ἐς τὸν Αἰγιαλὸν καὶ οἰκήσαντι, αὐτῷ μὲν ἐγένετο ἐνταῦθα ἡ τελευτή· τῶν δέ οἱ παίδων, Ἀχαιὸς μὲν ἐκ τοῦ Αἰγιαλοῦ παραλαβὼν καὶ ἐξ Ἀθηνῶν ἐπικούρους, κατῆλθεν ἐς Θεσσαλίαν, καὶ ἔσχε τὴν πατρῴαν ἀρχήν· Ἴωνι δὲ ἐπὶ τοὺς Αἰγιαλεῖς στρατιὰν καὶ ἐπὶ Σελινοῦντα τὸν βασιλέα αὐ-
522 τῶν ἀθροίζοντι, ἀγγέλους ἔπεμπεν ὁ Σελινοῦς, τὴν θυγατέρα Ἑλίκην, ἣ μόνη οἱ παῖς ἦν, γυναῖκα αὐτῷ διδοὺς, καὶ αὐτὸν Ἴωνα ἐπὶ τῇ ἀρχῇ παῖδα ποιούμενος. καί πως ταῦτα τῷ Ἴωνι ἐγένετο οὐκ ἄπο γνώμης· καὶ τῶν Αἰγια-
15. λέων τὴν ἀρχὴν Ἴων ἔσχεν, ἀποθανόντος Σελινοῦντος, καὶ Ἑλίκην τε ἀπὸ τῆς γυναικὸς ᾤκισεν ἐν τῷ Αἰγιαλῷ πόλιν, καὶ τοὺς ἀνθρώπους ἐκάλεσεν Ἴωνας ἀφ' αὐτοῦ.

pecuniam vindicasset. Is quum Athenas confugisset, ab Erechtheo dignus est habitus, cui filiam desponderet; e qua Achaeus et Ion nati. Mox quum e vita discessisset Erechtheus, eius filiis de regno *dissidentibus*, disceptator Xuthus fuit: qui quum Cecropi natu maximo regnum adiudicasset, eum alii Erechthei filii e finibus exegerunt. Quare quum in Aegialum migrasset, ibique sedem constituisset suam, ibidem etiam e vita excessit. E filiis Achaeus, assumtis ex Aegialo et Athenis auxiliis, in Thessaliam veniens, paternum recepit imperium. At Ion quum bellum esset Aegialensibus et eorum regi Selinunti illaturus; per legatos ei Selinus unicam filiam Helicen despondit, sibique eum adoptionis iure filium fecit. Quod quum Ioni ex animi sententia evenisset, et Selinunti in imperium successit, et a se conditam urbem uxoris suae de nomine Helicen nominavit: gentem ipsam a se Ionas nuncupavit. Quanquam istud

τοῦτο οὐ μεταβολὴ τοῦ ὀνόματος, προσθήκη δέ σφισιν ἐγένετο· Αἰγιαλεῖς γὰρ ἐκαλοῦντο Ἴωνες· τῇ χώρᾳ δὲ ἔτι καὶ μᾶλλον διέμεινεν ὄνομα τὸ ἐξαρχῆς. Ὁμήρῳ γοῦν ἐν καταλόγῳ τῶν μετὰ Ἀγαμέμνονος ἐξήρκεσε τὸ ἀρχαῖον δηλῶσαι τῆς γῆς ὄνομα·

Αἰγιαλόν τ' ἀνὰ πάντα, καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν.

τότε δὲ ἐπὶ τῆς Ἴωνος βασιλείας πολεμησάντων Ἀθηναίοις Ἐλευσινίων, καὶ Ἀθηναίων Ἴωνα ἐπαγομένων ἐπὶ ἡγεμονίᾳ τοῦ πολέμου, τὸν μὲν ἐν τῇ Ἀττικῇ τὸ χρεὼν ἐπιλαμβάνει, καὶ Ἴωνος ἐν τῷ δήμῳ μνῆμα τῷ Ποταμίων ἐστίν· οἱ δὲ ἀπόγονοι τοῦ Ἴωνος τὸ Ἰώνων ἔσχον κράτος, ἐς ὃ ὑπ' Ἀχαιῶν ἐξέπεσον καὶ αὐτοὶ καὶ ὁ δῆμος. (3) Τοῖς δὲ Ἀχαιοῖς τηνικαῦτα ὑπῆρξε καὶ αὐτοῖς ἐκ Λακεδαίμονος καὶ Ἄργους ὑπὸ Δωριέων ἐξηλάσθαι. τὰ δὲ ἐς Ἴωνας καὶ Ἀχαιοὺς ὁπόσα ἐπράχθη σφίσιν ἐπ' ἀλλήλους, ἐπέξεισιν αὐτίκα ὁ λόγος μοι προδιηγησαμένῳ, καθ' ἥντινα αἰτίαν τοῖς Λακεδαίμονα οἰκοῦσι καὶ Ἄργος πρὸ τῆς τῶν Δωριέων καθόδου μόνοις Πελοποννησίων ὑπῆρξεν Ἀχαιοῖς καλεῖσθαι. Ἄρχανδρος Ἀχαιοῦ καὶ Ἀρ-

eis non mutationem nominis attulit, sed additamentum. Vocabantur enim Aegialenses Iones. Magis tamen regioni priscum nomen mansit, quod Homerus in delectu Agamemnonis copiarum, versu illo testatum reliquit:

Per totum Aegialon circumque Helicen spatiosam.

Ionem Aegialensibus imperantem, Athenienses belli contra Eleusinios gerendi ducem delegerunt. Qui quum diem in Attica obisset suum, in Potamiorum curia (ubi eius exstat monumentum) sepultus est. Mansit penes Ionis posteros imperium, usquedum ab Achaeis, quos et ipsos Lacedaemone tunc et Argis Dorienses exegerant, regno spoliati, cum universo populo profugerunt. (3) Quae autem inter Ionas et Achaeos gesta sint bella, mox exponam, quum docuero, quae res effecerit, ut soli Lacedaemonii et Argivi ante Doriensium reditum, ex omnibus Peloponnesi incolis Achaei

χιτέλης ἐς Ἄργος ἀφίκοντο ἐκ τῆς Φθιώτιδος, ἐλθόντες
δὲ ἐγένοντο Δαναοῦ γαμβροί, καὶ Αὐτομάτην μὲν Ἀρχι-
τέλης, Σκαιὰν δὲ ἔλαβεν Ἄρχανδρος. δηλοῦσι δὲ ἐν Ἄρ-
523 γει καταμείναντες οὐχ ἥκιστα ἐν τῷδε· Μετανάστην γὰρ
τῷ παιδὶ ὄνομα ἔθετο Ἄρχανδρος. δυνηθέντων δὲ ἔν τε
Ἄργει καὶ Λακεδαίμονι τῶν Ἀχαιοῦ παίδων, τοὺς ἀν-
θρώπους ἐνταῦθα ἐξενίκησεν Ἀχαιοὺς κληθῆναι. τοῦτο
μέν σφισιν ὄνομα ἦν ἐν κοινῷ, Δαναοὶ δὲ Ἀργείοις ἰδίᾳ.
τότε δὲ ὑπὸ Δωριέων ἐκπεπτωκότες ἔκ τε Ἄργους καὶ ἐκ
Λακεδαίμονος, ἐπεκηρυκεύοντο Ἴωσιν αὐτοί τε καὶ ὁ βα-
σιλεὺς Τισαμενὸς ὁ Ὀρέστου, γενέσθαι σύνοικοί σφισιν
ἄνευ πολέμου. τῶν δὲ Ἰώνων τοὺς βασιλέας ὑπῄει δέος,
μὴ, Ἀχαιῶν ἀναμιχθέντων αὐτοῖς, Τισαμενὸν ἐν κοινῷ
βασιλέα ἕλωνται, κατά τε ἀνδραγαθίαν καὶ γένους δόξαν·
Ἰώνων δὲ οὐ προσεμένων τοὺς Ἀχαιῶν λόγους, ἀλλὰ ἐπεξ-
ελθόντων σὺν ὅπλοις, Τισαμενὸς μὲν ἔπεσεν ἐν τῇ μάχῃ,
Ἴωνας δὲ Ἀχαιοὶ κρατήσαντες ἐπολιόρκουν καταπεφευγό-
τας ἐς Ἑλίκην, καὶ ὕστερον ἀφιᾶσιν ἀπελθεῖν ὑποσπόν-

sint appellati. Archander et Architeles Achaei filii e Phthiotide Argos commigrarunt. Iis Danaus filias duas nuptum dedit, Architeli Automaten, Scaean Archandro. Et Argos quidem illos venisse argumento esse potest, quod filio Archander nomen imposuit Metanastae, *quod perinde est ac si profugo dixeris.* Confirmato autem imperio, obtinuit usus, ut ab Achaei liberis communi nomine Achaei tam Lacedaemonii, quam Argivi; proprio Danai soli Argivi appellarentur. Mox iidem a Doriensibus Argis et Lacedaemone pulsi misso caduceatore ab Ionibus petierunt, ut sibi et regi suo Tisameno Orestis filio incolendi ius sine bello concederent. Ibi Ionum reges incessit metus, ne, si Achaei permisti Ionibus essent, communi consilio regem sibi tum ob virtutis, tum ob generis claritatem Tisamenum declararent. Quum ergo in ea re Achaeis minime assentirentur Iones, res ad arma deducta est: et Tisamenus quidem in praelio occubuit: Ionas vero Achaei Helicen, quo se illi e fuga receperant,

δους. Τισαμενοῦ δὲ τὸν νεκρὸν Ἀχαιῶν ἐν Ἑλίκῃ θαψάντων, ὕστερον χρόνῳ Λακεδαιμόνιοι, τοῦ ἐν Δελφοῖς σφισιν ἀνειπόντος χρηστηρίου, κομίζουσι τὰ ὀστᾶ ἐς Σπάρτην, καὶ ἦν καὶ ἐς ἐμὲ ἔτι αὐτῷ τάφος, ἔνθα τὰ δεῖπνα Λακεδαιμονίοις ἐστὶ τὰ Φειδίτια καλούμενα. (4) Ἴωνας δὲ ἀφικομένους ἐς τὴν Ἀττικὴν, Ἀθηναῖοι καὶ ὁ βασιλεὺς αὐτῶν Μέλανθος Ἀνδροπόμπου συνοίκους ἐδέξαντο, Ἴωνός τε δὴ ἕνεκα καὶ ἔργων, ἃ ἔπραξε πολεμαρχῶν Ἀθηναίοις. λέγεται δὲ καὶ, ὡς ἐν ὑπονοίᾳ ποιούμενοι τοὺς Δωριέας οἱ Ἀθηναῖοι, μὴ οὐδὲ αὐτῶν ἐθέλωσιν ἀπέχεσθαι, ἰσχύος μᾶλλον οἰκείας εἵνεκα, ἢ εὐνοίᾳ τῇ ἐς τοὺς Ἴωνας, συνοίκους σφᾶς ἐδέξαντο.

persecuti, abire eos impune ex pacto convento siverunt. Tisameni sane cadaver, quum Achaei Helice sepelissent, Lacedaemonii postea Delphici oraculi monitu, eius ossa Sparten deportarunt; et hoc ipso tempore monstratur Tisameni sepulcrum, quo loco epulum celebrant Lacedaemonii, quae Phiditia nuncupant. (4) Iones quum in Atticam venissent, ab Atheniensibus rege suo Melantho Andropompi filio auctore, in civitatem recepti sunt. Ionis et eo duce rerum belli gestarum memoria tantum valuit. Traditum etiam est, Athenienses, quum suspectos haberent Dorienses, ac metuerent, ne illi a se quoque manus abstinere nollent, magis suae potentiae studio quam Ionum amore, eos in domicilii consortium recepisse.

CAPUT II.

Codri filii cum Ionibus et aliis Graecis coloniam in Asiam deducunt — de tribus coloniis e Graecia deductis — Nilei in Miletum adventu et de Milesiis — templo Apollinis Didymis et Dianae Ephesia — Androclus, Codri filius, Ephesum venit — de eius nece et sepulcro — Priene et Myunte ab Ionibus occupatis.

Ἔπεσι δὲ οὐ πολλοῖς ὕστερον Μέδων καὶ Νειλεὺς πρεσβύτατοι τῶν Κόδρου παίδων ἐστασίασαν ὑπὲρ τῆς ἀρχῆς, καὶ οὐκ ἔφασκεν ὁ Νειλεὺς ἀνέξεσθαι βασιλευόμενος ὑπὸ τοῦ Μέδοντος, ὅτι ὁ Μέδων τὸν ἕτερον ἦν τῶν ποδῶν
524 χωλός. δόξαν δέ σφισιν, ἀνενεγκεῖν ἐς τὸ χρηστήριον τὸ ἐν Δελφοῖς, δίδωσι Μέδοντι ἡ Πυθία βασιλείαν τὴν Ἀθηναίων. οὕτω δὴ ὁ Νειλεὺς καὶ οἱ λοιποὶ τῶν Κόδρου παίδων ἐς ἀποικίαν ἀπεστάλησαν, ἀγαγόντες μὲν καὶ αὐτῶν Ἀθηναίων τὸν βουλόμενον, τὸ δὲ πλεῖστόν σφισιν ἦσαν τοῦ στρατεύματος οἱ Ἴωνες. (2) Ἐκ δὲ τῆς Ἑλλάδος τρίτος δὴ οὗτος στόλος ὑπὸ βασιλεῦσιν ἀλλοίοις [ὄχλοις τε ἀλλοίοις] ἐστάλησαν. τὰ μὲν γὰρ ἀρχαιότατα Ἰόλαος Θηβαῖος, ἀδελφιδοῦς ὁ Ἡρακλέους, Ἀθηναίοις ἐς Σαρδὼ καὶ Θεσπιεῦσιν ἡγήσατο. γενεᾷ δὲ μιᾷ πρότε-

Cap. II. Non multis post annis, quum Medon et Nileus Codri filii de regno dissiderent, negaretque Nileus regnum se Medontis ferre posse, qui pede altero claudicaret: rei cognitione Delphico oraculo permissa, respondit vates, deberi Medonti Atheniensium regnum. Dimissi itaque in coloniam Nileus, aliique Codri filii, tum ex Atheniensibus quicunque nomina dedissent, tum multo maximam Ionum manum abduxerunt. (2) Tertia fuit haec colonia, quae extero duce, et extera multitudine deducta est e Graecia. Multis enim ante aetatibus Herculis fratris filius Iolaus Thebanus, Athenienses ac Thespienses in Sardiniam deduxit. Uno vero seculo priusquam Iones Athenis proficiscerentur,

ρον, ἣ ἐξέπλευσαν ἐξ Ἀθηνῶν Ἴωνες, Λακεδαιμονίους τε καὶ Μινύας τοὺς ἐκβληθέντας ὑπὸ Πελασγῶν ἐκ Λήμνου, Θήρας ὁ Αὐτεσίωνος Θηβαῖος ἤγαγεν ἐς τὴν νῆσον, τὴν νῦν μὲν ἀπὸ τοῦ Θήρα τούτου, πρότερον δὲ ὀνομαζομένην Καλλίστην. τρίτον δὲ τότε οἱ Κόδρου παῖδες ἐπεστάχθησαν Ἴωσιν ἄρχοντες, οὐδέν σφισι γένους τῶν Ἰώνων μετὸν, ἀλλὰ Μεσσήνιοι μὲν τῶν ἐκ Πύλου τὰ πρὸς Κόδρου καὶ Μελάνθου, Ἀθηναῖοι δὲ ὄντες τὰ πρὸς μητρός. Ἴωσι δὲ τοῦ στόλου μετασχόντες οἵδε Ἑλλήνων· Θηβαῖοί τε οἱ ὁμοῦ Φιλώτᾳ γεγονότι ἀπογόνῳ Πηνέλεω, καὶ Ὀρχομένιοι Μινύαι συγγενείᾳ τῶν Κόδρου παίδων· μετέσχον δὲ καὶ Φωκεῖς οἱ ἄλλοι πλὴν Δελφῶν, καὶ Ἄβαντες ἐξ Εὐβοίας. τοῖς δὲ Φωκεῦσι Φιλογένης καὶ Δάμων οἱ Εὐκτήμονος Ἀθηναῖοι ναῦς τε διδόασιν ἐς τὸν πλοῦν, καὶ αὐτοὶ σφισιν ἐς τὴν ἀποικίαν ἐγένοντο ἡγεμόνες. ὡς δὲ ταῖς ναυσὶν ἐς τὴν Ἀσίαν κατῆραν, ἐπ' ἄλλην ἐτράποντο ἄλλοι τῶν ἐπὶ θαλάσσῃ πόλεων· Νειλεὺς δὲ καὶ ἡ σὺν αὐτῷ μοῖρα ἐς Μίλητον. (3) Μιλήσιοι δὲ αὐτοὶ τοιάδε τὰ ἀρχαιότατά σφισιν εἶναι λέγουσιν·

Lacedaemonios et Minyas e Lemno a Pelasgo eiectos, Theras Thebanus, Autesionis filius, in eam insulam deduxit, quae quum antea Calliste appellaretur, post ab eo Thera vocata est. Tertiam deduxere coloniam Codri filii, quum nulla esset illis cum Ionibus propinquitas: paterno siquidem genere et avito a Codro et Melantho e Pylo Messenii; materno Athenienses fuere. Contribuerunt in eam se coloniam Ionibus e Graeciae populis Thebani primum Philotam secuti Penelei nepotem: ex Orchomeniis Minyae, ob Codri liberum cognationem. Phocenses praeterea, exceptis Delphis: Abantes etiam ex Euboea. Phocensibus naves ad transmittendum dederunt, et ipsi classis duces extiterunt, Philogenes et Damon Athenienses, Euctemonis filii. Hi omnes quum in Asiam appulissent, alios alii fines occuparunt. (3) Nileus cum sua manu Miletum tenuit. Milesii sane ipsi de suis

ἐπὶ γενεὰς μὲν δὴ Ἀνακτορίαν καλεῖσθαι τὴν γῆν, Ἄνα-
κτός τε αὐτόχθονος καὶ Ἀστερίου βασιλεύοντος τοῦ Ἄνα-
κτος. Μιλήτου δὲ κατάραντος στόλῳ Κρητικῷ, ἥ τε γῆ
525 τὸ ὄνομα μετέβαλεν ἀπὸ τοῦ Μιλήτου καὶ ἡ πόλις. ἀφί-
κετο δὲ ἐκ Κρήτης ὁ Μίλητος καὶ ὁ σὺν αὐτῷ στρατὸς,
Μίνω τὸν Εὐρώπης φεύγοντες. οἱ δὲ Κᾶρες οἱ πρότε-
ρον νεμόμενοι τὴν χώραν, σύνοικοι τοῖς Κρησὶν ἐγένοντο.
τότε δὲ ὡς ἐκράτησαν τῶν ἀρχαίων Μιλησίων οἱ Ἴωνες,
τὸ μὲν γένος πᾶν τὸ ἄρσεν ἀπέκτειναν, πλὴν ὅσοι τῆς
πόλεως ἁλισκομένης ἐκδιδράσκουσι, γυναῖκας δὲ καὶ θυ-
γατέρας τὰς ἐκείνων γαμοῦσι. τοῦ δὲ Νειλέως ὁ τάφος
ἰόντων ἐς Διδύμους ἐστὶν οὐ πόῤῥω τῶν πυλῶν ἐν ἀρι-
στερᾷ τῆς ὁδοῦ. (4) Τὸ δὲ ἱερὸν τὸ ἐν Διδύμοις τοῦ
Ἀπόλλωνος καὶ τὸ μαντεῖόν ἐστιν ἀρχαιότερον, ἢ κατὰ
τὴν Ἰώνων ἐσοίκησιν· πολλῷ δὴ πρεσβύτερα ἔτι ἢ κατὰ
Ἴωνας τὰ ἐς τὴν Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν. οὐ μὴν
πάντα γε τὰ ἐς τὴν θεὸν ἐπύθετο (ἐμοὶ δοκεῖν) Πίνδα-
ρος, ὃς Ἀμαζόνας τὸ ἱερὸν ἔφη τοῦτο ἱδρύσασθαι στρα-

originibus haec commemorant. Iam tum ab initio Anactoriam fuisse totam eam regionem nominatam, sub rege Anacte indigena, et Asterio Anactis filio. Cretensium vero classe Mileto duce in eam oram appulsa, urbi et agro ab eo nomen immutatum. Venisse e Creta Miletum cum factione sua, quum Minoem regem Europae filium fugeret. Incolebant Cares eam Asiae partem: ab iis Cretenses in domicilii societatem recepti. Occupata vero ab Ionibus Mileto, mares omnes interfecti, praeter eos, qui capta urbe fuga sibi salutem quaesiere. Illorum coniuges et filias, victores uxores duxerunt. Nilei quidem sepulcrum non longe a portis est, ad laevam eius viae, qua Didymos iter. (4) Apollinis certe quod Didymis templum est, et oraculum, multo ante Ionum commigrationem conditum fuit. Quin et Ephesiae Dianae fanum iam celebre erat, antequam venirent in ea loca Iones. Neque tamen Pindaro nota de eo templo fuisse omnia existimo, quum versibus prodidit, ab Amazonibus bellum The-

τευομένας ἐπὶ Ἀθήνας τε καὶ Θησέα. αἱ δὲ ἀπὸ Θερμώδοντος γυναῖκες ἔθυσαν μὲν καὶ τότε τῇ Ἐφεσίᾳ θεῷ, ἅτε ἐπιστάμεναί τε ἐκ παλαιοῦ τὸ ἱερὸν, καὶ, ἡνίκα Ἡρακλέα ἔφυγον αἵδε καὶ Διόνυσον τὰ ἔτι ἀρχαιότερα, ἱκέτιδες ἐνταῦθα ἐλθοῦσαι· οὐ μὴν ὑπὸ Ἀμαζόνων γε ἱδρύνθη· Κρῆσος δὲ αὐτόχθων τις καὶ Ἔφεσος (Καΰστρου δὲ τοῦ ποταμοῦ τὸν Ἔφεσον παῖδα εἶναι νομίζουσιν) οὗτοι τὸ ἱερόν εἰσιν οἱ ἱδρυσάμενοι, καὶ ἀπὸ τοῦ Ἐφέσου τὸ ὄνομά ἐστι τῇ πόλει. Λέλεγες δὲ τοῦ Καρικοῦ μοῖρα καὶ Λυδῶν τὸ πολὺ οἱ νεμόμενοι τὴν χώραν ἦσαν· ᾤκουν
δὲ καὶ περὶ τὸ ἱερὸν ἄλλοι τε ἱκεσίας ἕνεκα, καὶ γυναῖ- 526
κες τοῦ Ἀμαζόνων γένους. (5) Ἄνδροκλος δὲ ὁ Κόδρου (οὗτος γὰρ δὴ ἀπεδέδεικτο Ἰώνων τῶν ἐς Ἔφεσον πλευσάντων βασιλεὺς) Λέλεγας μὲν καὶ Λυδοὺς τὴν ἄνω πόλιν ἔχοντας ἐξέβαλεν ἐκ τῆς χώρας· τοῖς δὲ περὶ τὸ ἱερὸν οἰκοῦσι δεῖμα ἦν οὐδὲν, ἀλλὰ Ἴωσιν ὅρκους δόντες, καὶ ἀνὰ μέρος παρ' αὐτῶν λαβόντες, ἐκτὸς ἦσαν πολέμου. ἀφείλετο δὲ καὶ Σάμον Ἄνδροκλος Σαμίους, καὶ

seo Atheniensium duci inferentibus conditum. Thermodonteae istae mulieres sacrificarant quidem Ephesiae deae et tum, quippe quae templum illud iam olim nossent, et quum eo tempore, quo Herculem ac multo ante Bacchum fugiebant, supplices eo se recepissent: ipsae tamen eius operis auctores neutiquam fuere. Cresus enim homo indigena, et Ephesus (quem Caystri fluminis filium fuisse censent) templum erexerunt. Et ab Epheso quidem ipsa etiam urbs nomen accepit. Incolebant tunc eam oram Leleges Carici nominis, et Lydorum pars magna. Habitabant vero circum templum supplicandi ac deprecandi causa tum alii, tum et Amazonici generis mulieres. (5) Androclus quidem Codri filius, Ionum qui Ephesum venerant dux, Lelegas et Lydos in superiore urbis parte habitantes eiecit: sacrae vero areae inquilini foedere cum Ionibus icto, omni belli metu caruerunt. Samiis etiam Samon Androclus ademit; eamque in-

ἔσχον Ἐφέσιοι χρόνον τινὰ Σάμον καὶ τὰς προσεχεῖς νήσους. (6) Σαμίων δὲ ἤδη κατεληλυθότων ἐπὶ τὰ οἰκεῖα, Πριηνεῦσιν ἤμυνεν ἐπὶ τοὺς Κᾶρας ὁ Ἄνδροκλος, καὶ νικῶντος τοῦ Ἑλληνικοῦ, ἔπεσεν ἐν τῇ μάχῃ. Ἐφέσιοι δὲ ἀνελόμενοι τοῦ Ἀνδρόκλου τὸν νεκρὸν, ἔθαψαν τῆς σφετέρας, ἔνθα δείκνυται καὶ ἐς ἐμὲ ἔτι τὸ μνῆμα κατὰ τὴν ὁδὸν τὴν ἐκ τοῦ ἱεροῦ παρὰ τὸ Ὀλύμπιον καὶ ἐπὶ πύλας τὰς Μαγνήτιδας· ἐπίθημα δὲ τῷ μνήματι ἀνήρ ἐστιν ὡπλισμένος. (7) Οἱ δὲ Ἴωνες Μυοῦντα ἐσοικισάμενοι καὶ Πριήνην, Κᾶρας μὲν καὶ οὗτοι τὰς πόλεις ἀφείλοντο. οἰκισταὶ δὲ Μυοῦντος μὲν Κυάρητος ἐγένετο ὁ Κόδρου· Πριηνεῦσι δὲ, Ἴωσιν ἀναμεμιγμένοι Θηβαῖοι, Φιλώταν τε τὸν ἀπόγονον Πηνέλεω, καὶ Αἴπυτον Νειλέως παῖδα ἔσχον οἰκιστάς. Πριηνεῖς μὲν δὴ ὑπὸ Ταβούτου τε τοῦ Πέρσου, καὶ ὕστερον ὑπὸ Ἱέρωνος ἀνδρὸς ἐπιχωρίου κακωθέντες ἐς τὸ ἔσχατον, ὅμως τελοῦσιν ἐς Ἴωνας. Μυοῦντος δὲ οἱ οἰκήτορες ἐπὶ τύχῃ τοιᾷδε ἐξέλιπον τὴν πόλιν. κατὰ τὴν Μυουσίαν χώραν θαλάσ-

sulam ad quoddam tempus possederunt Ephesii, cum reliqua etiam contiguarum insularum vicinia. (6) Atenim quum pristinas recepissent Samii sedes, Prienensibus contra Caras auxilium tulit Androclus: quumque Graeci e praelio victores discessissent, ipse in pugna cecidit. Eius cadaver sublatum Ephesii sepulturae intra fines suos mandarunt. Offenditur Androcli sepulcrum hac aetate in via, quae est inter Dianae et Olympii Iovis media, ad portam Magnetidem. Insigne sepulcri est vir armatus. (7) Iones postea Myuntem et Prienen colonis deductis, Caras et ipsi finibus exegerunt suis: et Myus quidem Cyareto Codri filio provincia obtigit: Prienes deducendae Ionibus permisti Thebani, Philotan Penelei nepotem, et Aegyptum Nilei filium duces et conditores habuerunt. Et Prienenses sane a Tabute prius, homine Persa: deinde ab Hierone cive suo maximis affecti calamitatibus, Ionico tamen adhuc nomine censentur. At Myuntem oppidani; eo quem iam exponam casu, urbem de-

σης κόλπος ἐσεῖχεν οὐ μέγας· τοῦτον λίμνην ὁ ποταμὸς ἐποίησεν ὁ Μαίανδρος, ἀποτεμόμενος τὸν ἔσπλουν τῇ ἰλύϊ· ὡς δὲ ἐνόστησε τὸ ὕδωρ, καὶ οὐκ ἔτι ἦν θάλασσα, κώνωπες, ἄπειρον πλῆθος, ἐγίγνοντό ἐκ τῆς λίμνης, ἐς 527
ὃ τοὺς ἀνθρώπους ἠνάγκασαν ἐκλιπεῖν τὴν πόλιν. ἀπεχώρησαν δὲ ἐς Μίλητον Μυούσιοι, τά τε ἄλλα ἀγώγιμα καὶ τῶν θεῶν φερόμενοι τὰ ἀγάλματα· καὶ ἦν κατ' ἐμὲ οὐδὲν ἐν Μυοῦντι, ὅτι μὴ Διονύσου ναὸς λίθου λευκοῦ. Μυουσίοις δέ γε κατέλαβεν ἐοικότα καὶ Ἀταρνείτας καθεῖν τοὺς ὑπὸ Περγάμου.

CAPUT III.

De Claro et Colophoniis — Lebediis — Teo eiusque incolis — Erythraeis — Clazomeniis et Phocaënsibus.

Κολοφώνιοι δὲ τὸ μὲν ἱερὸν τὸ ἐν Κλάρῳ καὶ τὸ μαντεῖον ἐκ παλαιοτάτου γενέσθαι νομίζουσιν. ἐχόντων δὲ ἔτι τὴν γῆν Καρῶν, ἀφικέσθαι φασὶν ἐς αὐτὴν πρώτους τοῦ Ἑλληνικοῦ Κρῆτας, Ῥάκιον ἔχοντας ἡγεμόνα· καὶ ὅσον εἵπετο ἄλλο τῷ Ῥακίῳ πλῆθος, ἔσχον τε τὰ ἐπὶ θα-

serere coacti sunt. Parvus fuit in agro Myusio ad mare sinus, quem Maeander fluvius *aquarum impetu* late summotis ripis, et oblimato ostio, stagnum reddidit. Exclusis itaque marinis aquis tanta repente coorta est e palude culicum vis, ut ea lue victi homines, rebus omnibus suis, deorum etiam signis asportatis, Miletum migrarint. Mea certe aetate Myunte nihil extat *memoratu dignum*, praeter Liberi templum e candido lapide. Similis vero calamitas Atarnitis etiam, qui infra Pergamum sunt, exitio fuit.

Cap. III. Colophonii, quod Clari est *Apollinis* templum, et oraculum, ipsa antiquitate sanctissimum ducunt. Tenentibus enim eos fines Caribus, venisse primos e Graecia Cretas memorant: Rhacium coloniae ducem fuisse, et eum quidem collecta undecunque multitudine, eam oram

λάσσῃ καὶ ναυσὶν ἴσχυον· τῆς δὲ χώρας τὴν πολλὴν ἐνέμοντο ἔτι οἱ Κᾶρες. Θερσάνδρου δὲ τοῦ Πολυνείκους καὶ Ἀργείων ἑλόντων Θήβας, ἄλλοι τε αἰχμαλώτων καὶ ἡ Μαντὼ τῷ Ἀπόλλωνι ἐκομίσθησαν ἐς Δελφούς. Τειρεσίαν δὲ κατὰ τὴν πορείαν τὸ χρεὼν ἐπέλαβεν ἐν τῇ Ἁλιαρτίᾳ. ἐκπέμψαντος δὲ σφᾶς ἐς ἀποικίαν τοῦ θεοῦ, περαιοῦνται ναυσὶν ἐς τὴν Ἀσίαν, καὶ ὡς κατὰ τὴν Κλάρον ἐγένοντο, ἐπεξίασιν αὐτοῖς οἱ Κρῆτες μετὰ ὅπλων, καὶ ἀνάγουσιν ὡς τὸν Ῥάκιον. ὁ δὲ (μανθάνει γὰρ παρὰ τῆς Μαντοῦς, οἵτινές τε ἀνθρώπων ὄντες, καὶ κατὰ αἰτίαν ἥντινα ἥκουσι) λαμβάνει μὲν γυναῖκα τὴν Μαντώ, ποιεῖται δὲ καὶ τοὺς σὺν αὐτῇ συνοίκους. Μόψος δὲ ὁ
528 Ῥακίου καὶ Μαντοῦς τὸ παράπαν τοὺς Κᾶρας ἐξέβαλεν ἐκ τῆς γῆς. Ἴωνες δὲ ὅρκους ποιησάμενοι πρὸς τοὺς ἐν Κολοφῶνι Ἕλληνας, συνεπολιτεύοντο, οὐδὲν ἔχοντες πλέον· βασιλείαν δὲ Ἰώνων ἡγεμόνες Δαμασίχθων λαμβάνει καὶ Πρόμηθος Κόδρου παῖδες. Πρόμηθος δὲ ὕστερον τὸν ἀδελφὸν Δαμασίχθονα ἀποκτείνας, ἔφυγεν ἐς

quo praevalida appulerat classe occupasse, quum incolerent etiamnum Cares magnam eius regionis partem. Thebas vero quum Thersander Polynicis filius et Argivi cepissent, inter captivos ad Apollinem Delphos abducta est Manto, quum eius pater Tiresias in via ad Haliartum diem obiisset suum. Ii captivi, quum iussisset oraculum coloniam capessere, navibus in Asiam transmisere. Ad Claron appulsis, Cretenses armati occurrere; a quibus ad Rhacium deducti illi sunt. Is quum ex puellae oratione, et qui essent, et quae fuisset in Asiam veniendi causa, cognovisset, Manto, in domicilii societatem eius comitatu recepto, uxorem duxit. Rhacii satu e Mantoe ortus Mopsus, Cares omnes e ditionis suae finibus eiecit. At Iones icto cum Graecis, qui Colophone consederant, foedere, aequabili cum illis iure civitate eadem fruebantur. Regnum Ionum penes Damasichthonem et Promethum Codri filios fuit. Promethus autem post haec Damasichthone fratre occiso, in Naxum insulam effugit, ibique

Νάξον· καὶ ἀπέθανε μὲν αὐτόθι ἐν τῇ Νάξῳ, τὸν νεκρὸν δὲ οἴκαδε ἀπαχθέντα κατεδέξαντο οἱ Δαμασίχθονος παῖδες· καὶ ἔνθα ὁ τοῦ Προμήθου τάφος, Πολυτειχίδες ὄνομά ἐστι τῷ χωρίῳ. Κολοφωνίοις δὲ ὅπως μὲν τὴν πόλιν συνέπεσεν ἐρημωθῆναι, προεδήλωσέ μοι τοῦ λόγου τὰ ἐς Λυσίμαχον. ἐμαχέσαντο δὲ Λυσιμάχῳ καὶ Μακεδόσι Κολοφώνιοι τῶν ἀνοικισθέντων εἰς Ἔφεσον μόνοι. τοῖς δὲ ἀποθανοῦσιν ἐν τῇ μάχῃ Κολοφωνίων τε αὐτῶν καὶ Σμυρναίων ἐστὶν ὁ τάφος ἰόντι ἐς Κλάρον ἐν ἀριστερᾷ τῆς ὁδοῦ. (2) Λεβεδίους δὲ ἐποίησε μὲν Λυσίμαχος ἀναστάτους τὴν πόλιν, ἵνα δὴ συντελείας μέγεθος τῇ Ἐφέσῳ γένοιτο. χώρα δέ σφισιν ἔς τε τὰ λοιπά ἐστιν εὐδαίμων, καὶ λουτρὰ παρέχεται θερμὰ πλεῖστα τῶν ἐπὶ θαλάσσῃ καὶ ἥδιστα. τὸ δὲ ἐξ ἀρχῆς καὶ τὴν Λέβεδον ἐνέμοντο οἱ Κᾶρες, ἐς ὃ Ἀνδραίμων σφᾶς ὁ Κόδρου καὶ Ἴωνες ἐλαύνουσι. τῷ δὲ Ἀνδραίμονι ὁ τάφος ἐκ Κολοφῶνος ἰόντι ἐστὶν ἐν ἀριστερᾷ τῆς ὁδοῦ, διαβάντι τὸν Ἄλεντα ποταμόν. (3) Τέων δὲ ᾤκουν μὲν Ὀρχομένιοι

diem suum obiit. Eius cadaver Damasichthonis filii domum reportatum recepere: extat in vico, cui Polytichides nomen, Promethi sepulcrum. De Colophoniorum vero exeidio tunc egimus, quum Lysimachi res gestas persequeremur. Ex iis autem, qui Ephesum in coloniam deducti fuerunt, cum Lysimacho et Macedonibus bellarunt soli Colophonii. Extat commune Colophoniorum et Smyrnaeorum, qui in praeliis ceciderunt, sepulcrum, ad viae laevam, qua Claron iter est. (2) Lebediorum sane urbem evertit Lysimachus non aliam ob causam, quam ut profugorum accessione cresceret Ephesiorum civitas. Est vero ager quum cetera insigni foecunditate, tum calidarum in eo sunt aquarum balneae, et plurimae, et corporibus suavissimae. Lebedon initio Cares tenuerunt; quos postea Andraemon Codri filius, Ionum dux, expulit. Est Andraemonis sepulcrum ad *militaris* viae laevam Colophone discedentibus, in ulteriore Calaontis amnis ripa. (3) Teon coloniam deduxere Orchomenii Minyae,

Μινύαι σὺν Ἀθάμαντι ἐς αὐτὴν ἐλθόντες· λέγεται δὲ ὁ Ἀθάμας οὗτος ἀπόγονος Ἀθάμαντος εἶναι τοῦ Αἰόλου· ἀναμεμιγμένοι δὲ τῷ Ἑλληνικῷ καὶ ἐνταῦθα ἦσαν οἱ Κᾶρες. ἐσήγαγε δὲ Ἴωνας ἐς τὴν Τέων Ἄποικος ἀπόγονος Μελάνθου τέταρτος, ὃς τοῖς Ὀρχομενίοις, οὐδ' ἐπὶ τοῖς Τηΐοις νεώτερον ἐβούλευσεν οὐδέν. ἔτεσι δὲ οὐ πολλοῖς ὕστερον ἔκ τε Ἀθηναίων καὶ ἐκ Βοιωτίας ἀφίκοντο ἄνδρες· ἡγοῦντο δὲ τοῦ μὲν Ἀττικοῦ Δάμασος καὶ Νάοκλος, Κόδρου παῖδες, τῶν δὲ Βοιωτῶν Γέρης Βοιωτός· καὶ σφᾶς συναμφοτέρους ὅ τε Ἄποικος καὶ οἱ Τήϊοι συν-
529 οίκους ἐδέξαντο. (4) Ἐρυθραῖοι δὲ τὸ μὲν ἐξ ἀρχῆς ἀφικέσθαι σὺν Ἐρύθρῳ τῷ Ῥαδαμάνθυός φασιν ἐκ Κρήτης, καὶ οἰκιστὴν τῇ πόλει γενέσθαι τὸν Ἔρυθρον. ἐχόντων δὲ αὐτὴν ὁμοῦ τοῖς Κρησὶ Λυκίων καὶ Καρῶν τε καὶ Παμφύλων, Λυκίων μὲν κατὰ συγγένειαν τὴν Κρητῶν, (καὶ γὰρ οἱ Λύκιοι τὸ ἀρχαῖόν εἰσιν ἐκ Κρήτης, οἳ Σαρπηδόνι ὁμοῦ ἔφυγον) Καρῶν δὲ κατὰ φιλίαν ἐκ παλαιοῦ πρὸς Μίνω, Παμφύλων δὲ, ὅτι γένους μέτεστιν

duce Athamante in ea loca profecti. Fuisse hic Athamas dicitur Athamantis eius nepos, quem Aeolus genuit. In hac etiam civitate permisti Graecis Cares constitere. Ionas vero Teon in coloniam deduxit Apoecus Melanthi abnepos; neque gravius omnino quicquam in Orchomenios et Teios consuluit. Non multis post annis eodem inquilini deducti sunt Athenis et ex Boeotia. Atticae coloniae Damasus et Naoclus Codri filii; Boeoticae, Geres Boeotius duces fuere. Utramque gentem priores inquilini cum vetere duce suo haud gravate acceperunt. (4) Erythraei origines suas ad Erythrum referunt Rhadamanthi filium; a quo se e Creta deductos memorant, et urbi a duce nomen impositum. Quum illam urbem una cum Cretensibus Lycii, Cares, et Pamphylii tenerent: (Lycii quidem ob Cretensium consanguinitatem: oriundi enim e Creta Lycii fuere, ab iis scilicet, qui cum Sarpedone profugerunt: Cares vero propter veterem cum

Ἑλληνικοῦ καὶ τούτοις, (εἰσὶ γὰρ δὴ καὶ οἱ Πάμφυλοι τῶν μετὰ Κάλχαντι) τούτων τῶν κατειλεγμένων ἐχόντων Ἐρυθρὰς, Κλέοπος ὁ Κόδρου συλλέξας ἐξ ἁπασῶν τῶν ἐν Ἰωνίᾳ πόλεων ὅσους δὴ παρὰ ἑκάστων, ἐπεισήγαγεν Ἐρυθραίοις συνοίκους. (5) Κλαζομενίοις δὲ καὶ Φωκαεῦσι, πρὶν μὲν ἢ Ἴωνας ἐς τὴν Ἀσίαν ἐλθεῖν, οὐκ ᾠκοῦντο αἱ πόλεις. Ἰώνων δὲ ἀφικομένων, μοῖρα ἐξ αὐτῶν πλανωμένη μετεπέμψατο ἡγεμόνα παρὰ Κολοφωνίων Πάρφορον, καὶ πόλιν κτίσαντες ὑπὸ τῇ Ἴδῃ, τὴν μὲν οὐ μετὰ πολὺ ἐκλείπουσιν· ἐπανιόντες δὲ ἐς Ἰωνίαν Σκύππιον τῆς Κολοφωνίας ἔκτισαν. ἀπελθόντες δὲ ἑκουσίως καὶ ἐκ τῆς Κολοφωνίας, οὕτω γῆν τε ἔσχον, ἣν καὶ νῦν ἔτι ἔχουσι, καὶ κατεσκευάσαντο ἐν τῇ ἠπείρῳ Κλαζομενὰς πόλιν· ἐς δὲ τὴν νῆσον διέβησαν δὴ κατὰ τὸ Περσῶν δέος. Ἀλέξανδρος δὲ ἀνὰ χρόνον ἔμελλεν ὁ Φιλίππου χεῤῥόνησον Κλαζομενὰς ἐργάζεσθαι χώματι ἐς τὴν νῆσον ἐκ τῆς ἠπείρου. τούτων

Minoe amicitiam: et Pamphylii, quod genere Graecos attingerent; ex eo namque hominum numero fuere, qui exciso Ilio cum Calchante errarunt) quum omnes hi, quos enumeravi populi, Erythras incolerent, Cleopus Codri filius congregata ex Ioniae urbibus eorum manu qui nomina in coloniam dedissent, cum Erythraeis eos moenium communione coniunxit. (5) Clazomenii sane et Phocaenses, ante Ionum in Asiam adventum, urbem plane nullam habuere. Ionum primum pars post diutinos errores, accepto a Colophoniis Parphoro duce, oppidum ad Idam montem condiderunt: quo postea relicto, in Ioniam reversi, Scyppium in Colophoniorum finibus condiderunt: mox et inde migrantes, in ea, quam nunc colunt, regione consederunt, oppidumque in continenti Clazomenas munierunt. Sedenim Persarum terrore in insulam *e regione sitam* transmiserunt. Post Alexander Philippi filius, Clazomenas, ducto a continenti solo ad insulam aggere, in peninsulae formam redigere cogitabat. Fuerunt autem magna Clazomeniorum pars

τῶν Κλεωναίων τὸ πολὺ οὐκ Ἴωνες, Κλεωναῖοι δὲ ᾤκησαν καὶ ἐκ Φλιοῦντος, ὅσοι Δωριέων ἐς Πελοπόννησον κατελθόντων ἐξέλιπον τὰς πόλεις. Οἱ δὲ Φωκαεῖς γένος μὲν τὸ ἀνέκαθέν εἰσιν ἐκ τῆς ὑπὸ τῷ Παρνασσῷ καλουμένης καὶ ἐς ἡμᾶς ἔτι Φωκίδος, οἳ Φιλογένει καὶ Δάμωνι ὁμοῦ τοῖς Ἀθηναίοις διέβησαν ἐς τὴν Ἀσίαν· τὴν χώραν δὲ οὐ πολέμῳ, κατὰ δὲ ὁμολογίαν λαμβάνουσι παρὰ Κυ-
530 μαίων. Ἰώνων δὲ οὐ δεχομένων σφᾶς ἐς Πανιώνιον, πρὶν ἢ τοῦ γένους βασιλέας τοῦ Κοδριδῶν λάβωσιν, οὕτω παρὰ Ἐρυθραίων ἐκ Τέω τε Οἴτην καὶ Πέρικλον λαμβάνουσι καὶ Ἄβαρτον.

CAPUT IV.

De Ionum urbibus in insulis Samo et Chio — Sami et Samiae stemma — de Sami incolis et Samothracia — de Iunone Samia — Daedalo — Chii nominis origine et incolis.

Αἱ δὲ ἐν ταῖς νήσοις εἰσὶν Ἰώνων πόλεις, Σάμος ἡ ὑπὲρ Μυκάλης, καὶ Χίος ἡ ἀπαντικρὺ τοῦ Μίμαντος. (2) Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος ἐποίησεν ἐν τοῖς ἔπε-

non Iones, sed Cleonaei, et Phliasii, quotcunque scilicet Doriensibus postliminio in Peloponnesum reversis, ultro solum vertere. Phocaenses ab ea nempe Phocide genus ducunt, quae ad Parnassum montem etiamnum est. Philogenem hi et Damonem secuti, Atheniensium duces, in Asiam traiecerunt, agro non armis, sed Cumaeorum concessu certis conditionibus potiti. Eos quum Iones in concilii sui communionem, quod Panionium appellant, non admitterent, nisi reges e Codri genere creassent, ab Erythris e Teo Oeten, Periclum, et Abartum accersierunt.

Cap. IV. In ipsis vero *contra Asiam* insulis civitates Ionum sunt, Samus supra Mycalen, et Chius ex adverso Mimantis. (2) Asius filius Amphiptolemi Samius carmini-

σιν, ὡς Φοίνικι ἐκ Περιμήδης τῆς Οἰνέως γένοιτο Ἀστυπάλαια καὶ Εὐρώπη· Ποσειδῶνος δὲ καὶ Ἀστυπαλαίας εἶναι παῖδα Ἀγκαῖον, βασιλεύειν δὲ αὐτὸν τῶν καλουμένων Λελέγων· Ἀγκαίῳ δὲ τὴν θυγατέρα τοῦ ποταμοῦ λαβόντι τοῦ Μαιάνδρου Σαμίαν γενέσθαι Περίλαον, καὶ Ἔνουδον, καὶ Σάμον, καὶ Ἀλιθέρσην, καὶ θυγατέρα ἐπ' αὐτῷ Παρθενόπην· Παρθενόπης δὲ τῆς Ἀγκαίου καὶ Ἀπόλλωνος Λυκομήδην γενέσθαι. Ἄσιος μὲν ἐς τοσοῦτον ἐν τοῖς ἔπεσιν ἐδήλωσεν. (3) Τότε δὲ οἱ τὴν νῆσον οἰκοῦντες ἀνάγκῃ πλέον ἐδέξαντο ἢ εὐνοίᾳ συνοίκους Ἴωνας. ἡγεμὼν δὲ ἦν τοῖς Ἴωσι Προκλῆς ὁ Πιτυρέως, αὐτός τε Ἐπιδαύριος καὶ Ἐπιδαυρίους τὸ πολὺ ἄγων, οἳ δὴ ὑπὸ Δηϊφόντου καὶ Ἀργείων ἐκ τῆς Ἐπιδαυρίας ἐξεπεπτώκεσαν· τούτῳ τῷ Προκλεῖ γένος ἦν ἀπὸ Ἴωνος τοῦ Ξούθου. Ἄνδροκλος δὲ καὶ Ἐφέσιοι στρατεύουσιν ἐπὶ Λεωγόρον τὸν Προκλέους, βασιλεύοντα μετὰ τὸν πατέρα ἐν Σάμῳ, καὶ μάχῃ νικήσαντες ἐξελαύνουσιν ἐκ τῆς νήσου Σαμίους· αἰτίαν δὲ ἐπέφερον, μετὰ Καρῶν σφᾶς

bus mandavit, Phoenici ex Perimeda Oenei filia genitas Astypalaean et Europen: Neptuni satu ex Astypalaea natum filium Ancaeum: hunc populis, qui Leleges dicebantur imperasse; et amnis Maeandri filiam Samiam uxorem duxisse, quae ei Perilaum, Enudum, Samum, Alithersen, et insuper Parthenopen filiam peperit. E Parthenope Ancaei filia Apollini Lycomedem genitum. Haec versibus testatus est Asius. (3) Ac eo quidem tempore, qui insulam incolebant, vi potius coacti, quam benevolentia adducti, in penatium suorum societatem Ionas receperunt. Erat Ionum dux Procles Pityrei filius, et ipse Epidaurius, et magnum Epidauriorum numerum deducebat, eiectos nempe ex Epidauria terra a Deiphonte et Argivis. Genus Procles ducebat ab Ione Xuthi filio. Huius filio Leogoro, quum patri in Samiorum regnum successisset, bellum intulerunt Ephesii duce Androclo; et praelio quidem victos extra insulam Samios expulerunt, crimini illud dantes, quod cum Caribus de bello

ἐπιβουλεύειν Ἴωσι. Σαμίων δὲ τῶν φευγόντων, οἱ μὲν
ἐπὶ τῇ Θρᾴκῃ νῆσον ᾤκησαν, καὶ ἀπὸ τούτων τῆς ἐνοι-
κήσεως Σαμοθρᾴκην τὴν νῆσον καλοῦσιν ἀντὶ Δαρδανίας·
οἱ δὲ ὁμοῦ Λεωγόρῳ περὶ Ἀναίαν τὴν ἐν τῇ ἠπείρῳ τῇ
πέραν βαλλόμενοι τεῖχος, δέκα ἔτεσιν ὕστερον διαβάντες
ἐν τῇ Σάμῳ, τούς τε Ἐφεσίους ἐκβάλλουσι, καὶ ἀνεσώ-
σαντο τὴν νῆσον. (4) Τὸ δὲ ἱερὸν τὸ ἐν Σάμῳ τῆς
Ἥρας εἰσὶν οἳ ἱδρύσασθαί φασι τοὺς ἐν τῇ Ἀργοῖ πλέον-
τας, ἀπάγεσθαι δὲ αὐτοὺς τὸ ἄγαλμα ἐξ Ἄργους. Σά-
531 μιοι δὲ αὐτοὶ τεχθῆναι νομίζουσιν ἐν τῇ νήσῳ τὴν θεὸν
παρὰ τῷ Ἰμβράσῳ ποταμῷ, καὶ ὑπὸ τῇ λύγῳ τῇ ἐν τῷ
Ἡραίῳ κατ' ἐμὲ ἔτι πεφυκυίᾳ· εἶναι δ' οὖν τὸ ἱερὸν
τοῦτο ἐν τοῖς μάλιστα ἀρχαῖον. ὃ οὐχ ἥκιστα ἄν τις καὶ
ἐπὶ ἀγάλματι τεκμαίροιτο· ἔστι γὰρ δὴ ἀνδρὸς ἔργον Αἰ-
γινήτου Σμίλιδος τοῦ Εὐκλείδου. οὗτος ὁ Σμῖλίς ἐστιν
ἡλικίαν κατὰ Δαίδαλον, δόξης δὲ οὐκ ἐς τὸ ἴσον ἀφί-
κετο. (5) Δαιδάλῳ μὲν γὰρ γένους τε Ἀθήνησιν ὑπῆρ-
χεν εἶναι τοῦ βασιλικοῦ τῶν καλουμένων Μητιονιδῶν,
καὶ ὁμοῦ τῇ τέχνῃ τῆς πλάνης τε εἵνεκα καὶ ἐπὶ ταῖς

Ionibus inferendo consilia agitassent. Profugorum e Samo pars in Thraciae insulam, quae olim Dardania, post ab ipsis est Samothrace nuncupata, coloniam deduxere. At qui Leogorum secuti sunt, ii ad Anaean in adversa continenti terra castellum permunierunt: unde decimo post anno Samum adorti, pulsis Ephesiis, insulam receperunt. (4) Fanum Iunonis, quod Sami est, sunt, qui dicant Argonautas ipsos dedicasse, illuc signo deae Argis devecto. Enimvero Samii ipsi, natam in Samo Iunonem tradunt ad flumen Imbrasum, sub vitice, quae hac ipsa aetate in Iunonis sacro solo ostenditur. Esse vero templum maxime priscum ex ipso simulacro facile coniici possit. Est enim Smilidis Aeginetae Euclidis filii opus. Fuit Smilis Daedalo aequalis aetate, gloria multo inferior. (5) Nam Daedalus, quum e regia stirpe, eius gentis, qui Metionidae sunt appellati, Athenis ortum duceret, non magis artis praestantia, quam erroribus et ca-

συμφοραῖς ἐπιφανέστερος ἐγένετο ἐς ἅπαντας ἀνθρώπους. ἀποκτείνας μὲν ἀδελφῆς παῖδα, καὶ ἐπιστάμενος τὰ οἴκοι νόμιμα, ἑκουσίως παρὰ Μίνω ἔφυγεν ἐς Κρήτην, καὶ αὐτῷ τε ἀγάλματα Μίνῳ καὶ τοῦ Μίνω ταῖς θυγατράσιν ἐποίησε, καθότι καὶ Ὅμηρος ἐν Ἰλιάδι ἐδήλωσε. καταγνωσθεὶς δὲ ἀδικεῖν ὑπὸ τοῦ Μίνω, καὶ ἐς δεσμωτήριον ὁμοῦ τῷ παιδὶ ἐμβληθεὶς, ἐκδιδράσκει τε ἐκ Κρήτης, καὶ ἐς Ἴνυκον Σικελῶν πόλιν ἀφικνεῖται παρὰ Κώκαλον, καὶ πολέμου παρέσχε τοῖς Σικελοῖς αἰτίαν πρὸς τοὺς Κρῆτας, ὅτι ἐξαιτοῦντος Μίνω μὴ πρόοιτο αὐτὸν ὁ Κώκαλος. καὶ ἐς τοσοῦτο ὑπὸ τοῦ Κωκάλου τῶν θυγατέρων ἐσπουδάσθη κατὰ τὴν τέχνην, ὡς καὶ θάνατον τῷ Μίνῳ βουλεῦσαι τὰς γυναῖκας ἐς χάριν Δαιδάλου. δῆλά τε ὡς ἀνὰ πᾶσαν μὲν τὴν Σικελίαν, ἐπὶ πλεῖστον δὲ καὶ Ἰταλίας ἀφίκετο τοῦ Δαιδάλου τὸ ὄνομα. Ὁ δὲ Σμῖλις, ὅτι μὴ 532
παρὰ Σαμίους καὶ ἐς τὴν Ἠλείαν, παρ' ἄλλους γε οὐδένας φανερός ἐστιν ἀποδημήσας· ἐς τούτους δὲ ἀφίκετο, καὶ τὸ ἄγαλμα ἐν Σάμῳ τῆς Ἥρας ὁ ποιήσας ἐστὶν οὗτος.

suum varietate, multa fuit apud omnes gentes nominis celebritate. Is enim quum occiso sororis filio, quam patriis legibus noxam meruisset, probe nosset, ultro in Cretam ad Minoem confugit; ubi et regi ipsi, et eius filiabus miri operis signa fecit, sicuti Homerus in Iliade memoriae prodidit. Verum postea a Minoe capitalis fraudis damnatus, et e vinculis cum filio elapsus, Inycum (ea Siciliae urbs erat) evasit ad regem Cocalum. Et ea fuit Siculis cum Minoe bellandi causa, quod poscente Minoe Daedalum sibi dedi, Cocalus recusasset. In tanto vero ob artis excellentiam apud Cocali filias honore fuit, ut de nece Minoi inferenda consilium inierint. Neque vero quicquam fuit Daedali fama vel in Sicilia, vel in Italia illis temporibus clarius. At Smilis nuspiam apud alias gentes, quam Samios et Eleos peregrinatus est, quod sit memoriae proditum. Samiis certe Smilis Iunonis signum fecit. (6) Ion vero Tragoediarum scri-

(6) ***Ἴων δὲ τῷ ποιήσαντι τραγῳδίαν ἐστὶν ἐν τῇ συγγραφῇ τοιάδε εἰρημένα· Ποσειδῶνα ἐς τὴν νῆσον ἔρημον οὖσαν ἀφικέσθαι, καὶ νύμφῃ τε ἐνταῦθα συγγενέσθαι, καὶ ὑπὸ τὰς ὠδῖνας τῆς νύμφης χιόνα ἐξ οὐρανοῦ πεσεῖν ἐς τὴν γῆν, καὶ ἀπὸ τούτου Ποσειδῶνα τῷ παιδὶ ὄνομα θέσθαι Χίον· συγγενέσθαι δὲ αὐτὸν καὶ ἑτέρᾳ νύμφῃ, καὶ γενέσθαι οἱ παῖδας Ἄγγελόν τε καὶ Μέλανα· ἀνὰ χρόνον δὲ καὶ Οἰνοπίωνα ἐς τὴν Χίον κατᾶραι ναυσὶν ἐκ Κρήτης, ἕπεσθαι δέ οἱ καὶ τοὺς παῖδας Τάλον καὶ Εὐάνθην καὶ Μέλανα καὶ Σάλαγόν τε καὶ Ἀθάμαντα. ἀφίκοντο δὲ Κᾶρες ἐς τὴν νῆσον ἐπὶ τῆς Οἰνοπίωνος βασιλείας, καὶ Ἄβαντες ἐξ Εὐβοίας. Οἰνοπίωνος δὲ καὶ τῶν παίδων ἔλαβεν ὕστερον Ἄμφικλος τὴν ἀρχήν· ἀφίκετο δὲ ἐξ Ἱστιαίας ὁ Ἄμφικλος τῆς ἐν Εὐβοίᾳ κατὰ μάντευμα ἐκ Δελφῶν. Ἕκτωρ δὲ ἀπὸ τοῦ Ἀμφίκλου τετάρτῃ γενεᾷ (βασιλείαν γὰρ ἔσχε καὶ οὗτος) ἐπολέμησεν Ἀβάντων καὶ Καρῶν τοῖς οἰκοῦσιν ἐν τῇ νήσῳ καὶ τοὺς μὲν ἀπέκτεινεν ἐν ταῖς μάχαις, τοὺς δὲ ἀπελθεῖν ἠνάγκασεν ὑποσπόνδους. γενομένης δὲ ἀπαλλαγῆς

ptor, historiarum monumentis mandavit, Neptunum in desertam aliquando insulam venisse: in ea cognitam ab ipso Nympham quandam, et ea parturiente *repente multam* e coelo nivem effusam; a quo rei eventu nomen filio Chius impositum fuerit. Eundem ex alia quadam Nympha filios Angelum et Melana suscepisse. Oenopionem postea e Creta in Chion insulam appulisse, et cum eo una filios, Talum, Euanthem, Melana, Salagum et Athamantem. Oenopione regnante, Caras eodem venisse, et Abantas ex Euboea: successisse deinde in regnum Oenopioni et filiis Amphiclum, advenam hominem, ab Hestiaea Euboeae, ex Apollinis Delphici oraculo. Fuit Amphicli abnepos Hector. Is regno inito, cum Caribus et Abantibus insulae inquilinis bellavit, et eorum parte iusto praelio fusa, reliquos in deditionem acceptos e sedibus suis expulit. Compositis demum Chii

πολέμου Χίοις, ἀφικέσθαι τηνικαῦτα ἐς μνήμην Ἕκτορα, ὥς σφᾶς καὶ Ἴωσι δέοι συνθύειν ἐς Πανιώνιον· τρίποδα δὲ ἆθλον λαβεῖν αὐτὸν ἐπὶ ἀνδραγαθίᾳ παρὰ τοῦ κοινοῦ φασι τοῦ Ἰώνων. τοσαῦτα εἰρηκότα ἐς Χίους Ἴωνα εὕρισκον· οὐ μέντοι ἐκεῖνός γε εἴρηκε, καθ' ἥντινα αἰτίαν Χῖοι τελοῦσιν ἐς Ἴωνας.

CAPUT V.

De Smyrnae recentioris conditore Alexandro M. et Nemesum cultu. — Ionum regionis coeli clementia et claris templis — Herculis templo Erythris — Minervae Poliadis templo Erythris — Ioniae urbium variis memorandis ac balneis — antro Homeri.

Σμύρναν δὲ ἐν ταῖς δώδεκα πόλεσιν οὖσαν Αἰολέων, καὶ οἰκουμένην τῆς χώρας καθὰ καὶ ἐς ἐμὲ ἔτι πόλιν [ἣν] καλοῦσιν ἀρχαίαν, Ἴωνες ἐκ Κολοφῶνος ὁρμηθέντες ἀφελόμενοι τοὺς Αἰολεῖς ἔσχον· χρόνῳ δὲ ὕστερον καὶ Ἴωνες 533
μετέδοσαν Σμυρναίοις τοῦ ἐν Πανιωνίῳ συλλόγου. Ἀλέξανδρος δὲ ὁ Φιλίππου τῆς ἐφ' ἡμῶν πόλεως ἐγένετο οἰκιστὴς κατ' ὄψιν ὀνείρατος. Ἀλέξανδρον γὰρ θηρεύοντα

rebus in memoriam Hectori rediit, commune sacrum fieri a se oportere cum universo Ionum conventu: et ab eodem conventu tripodem illi ferunt virtutis praemium delatum. Haec de Chiis Ionem tradidisse comperi, quum causam tamen ille non exposuerit quamobrem cum Ionibus coepti fuerint Chii censeri.

Cap. V. Iam vero Smyrna, quum una esset de duodecim Aeolensium urbibus, tamque frequens, quam nunc est, tota esset regio, Iones ex Colophone profecti, urbem, quam Archaean *(id est priscam)* nominant, Aeolensibus ademerunt. Insequentibus deinde temporibus, concilii sui ius cum Smyrnaeis Iones communicarunt. Huius vero, quae nunc exstat, urbis conditor exstitit Alexander, Philippi filius, per visum in quiete, ut id faceret, monitus. Venationibus enim

ἐν τῷ ὄρει τῷ Πάγῳ, ὡς ἐγένετο ἀπὸ τῆς θήρας, ἀφικέσθαι πρὸς Νεμέσεων λέγουσιν ἱερὸν, καὶ πηγῇ τε ἐπιτυχεῖν αὐτὸν καὶ πλατάνῳ πρὸ τοῦ ἱεροῦ, πεφυκυίᾳ δὲ ἐπὶ τοῦ ὕδατος. καὶ ὑπὸ τῇ πλατάνῳ καθεύδοντι κελεύειν φασὶν αὐτῷ τὰς Νεμέσεις ἐπιφανείσας, πόλιν ἐνταῦθα οἰκίζειν, καὶ ἄγειν ἐς αὐτὴν Σμυρναίους, ἀναστήσαντα ἐκ τῆς προτέρας. ἀποστέλλουσιν οὖν ἐς Κλάρον θεωροὺς οἱ Σμυρναῖοι περὶ τῶν παρόντων σφίσιν ἐρησομένους, καὶ αὐτοῖς ἔχρησε·

Τρισμάκαρες κεῖνοι καὶ τετράκις ἄνδρες ἔσονται,
Οἳ Πάγον οἰκήσουσι πέρην ἱεροῖο Μέλητος.

οὕτω μετῳκίσαντο ἐθελονταὶ, καὶ [θεῶν] Νεμέσεις νομίζουσιν ἀντὶ μιᾶς, καὶ μητέρα αὐταῖς φασιν εἶναι Νύκτα· ἔτι Ἀθηναῖοί γε τῇ ἐν Ῥαμνοῦντι θεῷ πατέρα λέγουσιν εἶναι Ὠκεανόν.

(2) Ἴωσι δὲ ἔχει μὲν ἐπιτηδειότατα ὡρῶν κράσεως ἡ χώρα· ἔχει δὲ καὶ ἱερὰ, οἷα οὐχ ἑτέρωθι· πρῶτον μὲν τῆς Ἐφεσίας μεγέθους τε εἵνεκα, καὶ ἐπὶ τῷ ἄλλῳ πλού-

intentum Alexandrum in Pago monte, eo ipso, quo erat ornatu, ad Nemesium fanum accessisse tradunt: quum vero ad fontem sub platano proximis aquis irrigua somnum caperet, obversatos in somniis Nemeses mandasse, ut eo in loco urbem conderet, atque ut eo Smyrnaeos deduceret: missos tunc Claron consultores a Smyrnaeis de summâ rerum, quibus talis fuerit *e templi penetralibus* reddita vox:

Terque quaterque viris aderit fors laeta beatis,
Quos Pagus accipiet trans sacra fluenta Meletis.

Facile itaque se deduci Smyrnaei passi sunt. Ac Nemeses quidem plures, non unam tantum venerantur, et earum matrem Noctem perhibent: sicuti Athenienses eius, quam Rhamnunte *eodem nomine* colunt deae, Oceanum patrem esse dictitant. (2) Ionum terra coeli clementia fruitur plurima. Templa in ea spectantur, qualia non facile alibi.

τῳ· δύο δὲ οὐκ ἐξειργασμένα Ἀπόλλωνος, τό τε ἐν Βραγχίδαις τῆς Μιλησίας, καὶ ἐν Κλάρῳ τῇ Κολοφωνίων. δύο δὲ ἄλλους ἐν Ἰωνίᾳ ναοὺς ἐπέλαβεν ὑπὸ Περσῶν κατακαυθῆναι, τόν τε ἐν Σάμῳ τῆς Ἥρας, καὶ ἐν Φωκαίᾳ τῆς Ἀθηνᾶς· θαῦμα δὲ ὅμως ἦσαν καὶ ὑπὸ τοῦ πυρὸς λελυμασμένοι. (3) Ἡσθείης δ' ἂν καὶ τῷ ἐν Ἐρυθραῖς Ἡρακλείῳ, καὶ Ἀθηνᾶς τῷ ἐν Πριήνῃ ναῷ· τούτῳ μὲν τοῦ ἀγάλματος ἕνεκα, Ἡρακλείῳ δὲ τῷ ἐν Ἐρυθραῖς κατὰ ἀρχαιότητα. τὸ δὲ ἄγαλμα οὔτε τοῖς καλουμένοις Αἰγιναίοις, οὔτε τῶν Ἀττικῶν τοῖς ἀρχαιοτάτοις ἐμφερὲς, εἰ δέ τι καὶ ἄλλο, ἀκριβῶς ἐστιν Αἰγύπτιον. σχεδία 584
γὰρ ξύλων, καὶ ἐπ' αὐτῇ ὁ θεὸς ἐκ Τύρου τῆς Φοινίκης ἐξέπλευσε· καθ' ἥντινα δὲ αἰτίαν, οὐδὲ αὐτοὶ τοῦτο οἱ Ἐρυθραῖοι λέγουσιν. ὡς δὲ ἐς τὴν θάλασσαν ἀφίκετο ἡ σχεδία τὴν Ἰώνων, φασὶν αὐτὴν ὁρμίσασθαι πρὸς ἄκρᾳ καλουμένῃ Μεσάτῃ· ἡ δέ ἐστι μὲν τῆς ἠπείρου τοῖς ἐκ τοῦ Ἐρυθραίων λιμένος ἐς νῆσον τὴν Χίον πλέουσι τοῦτο ἐπὶ μεσαίτατον. ἐπεὶ δὲ ἡ σχεδία κατὰ τὴν ἄκραν ἔσχεν,

Praestat magnitudine et opulentia Dianae Ephesiae: proxima duo non perfecta illa quidem Apollinis, alterum in Milesiorum finibus apud Branchidas, alterum Clari in Colophoniorum territorio. Duo Persarum furor in eadem Ionia exussit; Sami, Iunonis; ad Phocaean, Minervae: utrumque fanum igni corruptum, cum admiratione tamen spectatur. (3) Erythris praeterea Herculis, et Priene Minervae delubra magna cum voluptate visas; hoc certe propter deae signum, illud ob vetustatem. Ipsum sane simulacrum, non iis, quae Aeginaea vocantur, neque iis quae inter Attica sunt vetustissima consimile est: sed, si ullum aliud, exquisite est Aegyptium. In lignorum rate insistit Deus, uti e Tyro Phoenices, mari delatum (neque, qua tamen causa id acciderit) memorant Erythraei. Satis constat eam ratem in Ionicum pelagus delatam primum appulisse ad Heram, quae Media appellatur, quod scilicet e portu Erythraeorum Chion solventibus propemodum media est. Quum iam promontorium

ἐνταῦθα πολὺν μὲν οἱ Ἐρυθραῖοι πόνον, οὐκ ἐλάσσονα δὲ ἔσχον οἱ Χῖοι, ποιούμενοι σπουδὴν παρὰ σφᾶς καταγαγεῖν ἑκάτεροι τὸ ἄγαλμα. τέλος δὲ Ἐρυθραῖος ἄνθρωπος, ᾧ βίος μὲν ἦν ἀπὸ θαλάσσης γεγονὼς καὶ ἄγρας ἰχθύων, διέφθαρτο δὲ ὑπὸ νόσου τοὺς ὀφθαλμούς, ὄνομα δέ οἱ Φορμίων ἦν, οὗτος ὁ ἁλιεὺς εἶδεν ὄψιν ὀνείρατος, ὡς τὰς Ἐρυθραίων γυναῖκας ἀποκείρασθαι δέοι τὰς κόμας, καὶ οὕτω τοὺς ἄνδρας πλεξαμένους κάλων ἐκ τῶν τριχῶν, τὴν σχεδίαν παρὰ σφᾶς κατάξειν. αἱ μὲν δὴ ἀσταὶ τῶν γυναικῶν οὐδαμῶς ὑπακούειν τῷ ὀνείρατι ἐβούλοντο· ὁπόσαι δὲ τοῦ Θρᾳκίου γένους ἐδούλευον, καὶ οὔσαις σφίσιν ἐλευθέραις ἦν ἐνταῦθα βίος, ἀποκεῖραι παρέχουσιν αὐτάς· καὶ οὕτως οἱ Ἐρυθραῖοι τὴν σχεδίαν καθέλκουσιν. ἔσοδός τε δὴ ταῖς Θρᾳσσαις ἐς τὸ Ἡρακλεῖόν ἐστι γυναικῶν μόναις, καὶ τὸ καλώδιον τὸ ἐκ τῶν τριχῶν καὶ ἐς ἐμὲ ἔτι οἱ ἐπιχώριοι φυλάσσουσι. καὶ δὴ καὶ τὸν ἁλιέα οἱ αὐτοὶ οὗτοι ἀναβλέψαι τε καὶ ὁρᾶν τὸ λοιπὸν τοῦ βίου φασίν. (4) Ἔστι δὲ ἐν Ἐρυθραῖς καὶ

ratis attigisset, conspecto signo, summis viribus Erythraeos et Chios certatim ad se illud pertrahere conatos. Erythraeus postremo quidam, cui e mari et piscatu victus fuerat, sed ex morbo erat oculis captus (nomen ei viro Phormio fuit) quod per somnum moneri sibi visus fuerat, exposuit, oportere Erythraeorum foeminas comas tondere: e capillo earum si viri funem contexuissent, non difficulter, quo vellent ratem pertracturos. Ei somnio ut obtemperarent, quum cives foeminae in animum sibi non inducerent, e Thracia mulieres, quae voluntaria servitute, ingenuae ortu, quum essent, victum sibi apud Erythraeos quaeritabant, se tondendas praebuerunt. Quare iam rate potiti Erythraei, edixerunt solis e Thracia mulieribus in Herculis fanum introire ut liceret. Ostendunt autem funiculum illum e comis, hac etiam aetate, a se diligenter conservatum: et piscatorem illum oculorum calamitate liberatum, in reliquum omne vitae tempus oculis probe usum affirmant. (4) Est etiam Erythris aedes Po-

Ἀθηνᾶς Πολιάδος ναὸς, καὶ ἄγαλμα ξύλου μεγέθει μέγα καθήμενόν τε ἐπὶ θρόνου, καὶ ἠλακάτην ἐν ἑκατέρᾳ τῶν χειρῶν ἔχει, καὶ ἐπὶ τῆς κεφαλῆς πόλον. τοῦτο Ἐνδοίου τέχνην καὶ ἄλλοις ἐτεκμαιρόμεθα εἶναι, καὶ ἐς τὴν ἐργασίαν ὁρῶντες ἔνδον τοῦ ἀγάλματος, καὶ οὐχ ἥκιστα ἐπὶ ταῖς Χάρισί τε καὶ Ὥραις, αἳ, πρὶν ἐλθεῖν, ἑστήκα- 535
σιν ἐν ὑπαίθρῳ λίθου λευκοῦ. Ἐποιήθη δὲ καὶ κατ' ἐμὲ Σμυρναίοις ἱερὸν Ἀσκληπιοῦ, μεταξὺ Κορυφῆς τε ὄρους καὶ θαλάσσης ἀμιγοῦς ὕδατι ἀλλοίῳ. (5) Ἡ δὲ Ἰωνία χωρὶς τῶν τε ἱερῶν καὶ τῆς τοῦ ἀέρος κράσεως παρέχεται καὶ ἄλλα ἐς συγγραφήν· ἡ δέ γε Ἐφεσία χώρα τόν τε Κέγχριον ποταμὸν καὶ τοῦ Πίονος τοῦ ὄρους τὴν φύσιν, καὶ πηγὴν τὴν Ἁλιταίαν. Ἐν δὲ τῇ Μιλησίᾳ πηγή τέ ἐστι Βιβλὶς, καὶ ὅσα ἐς τῆς Βιβλίδος τὸν ἔρωτα ᾄδουσιν. Ἐν δὲ τῇ Κολοφωνίων ἄλσος τε τοῦ Ἀπόλλωνος, δένδρα μελίαι, καὶ οὐ πόῤῥω τοῦ ἄλσους Ἄλης ποταμὸς ψυχρότατος τῶν ἐν Ἰωνίᾳ. Λεβεδίοις δὲ τὰ λου-

liadis Minervae; cuius e ligno simulacrum eximia magnitudine in solio sedens, utraque manu colum tenet, capite polum gestat. Opus hoc fuisse Endoei et aliis argumentis coniecimus, tum ex toto simulacri opificio, tum vero maxime ex Gratiarum et Horarum signis, quae ante adventum *illuc meum* e candido lapide sub divo posita fuerant. Smyrnaei Aesculapii delubrum exaedificatum aetate mea habuerunt inter montem, quem Coryphen *(id est Verticem)* nuncupant, et alienae aquae impermistum mare. (5) Ionia ipsa, praeter templorum magnificentiam ac coeli salubritatem, multa habet, quae literis mandentur dignissima. Ephesius ager, Cenchrium amnem, Pionis montis *(id est Pinguis)* fertilitatem, et fontem Halitaeam, *quae meritò celebrentur, habet.* In Milesiorum finibus Biblis fons; ad quem ea contigerunt, quae sunt de Biblidis amore olim decantata. Apud Colophonios lucus visitur Apollinis, fraxinis condensus. Ab eo non longe fluvius Ales Ionicorum amnium frigidissimus. Lebediorum balneae hominibus admirandae aeque

ρὰ ἐν τῇ γῇ θαῦμα ἀνθρώποις ὁμοῦ καὶ ὠφέλιμα γίνεται. Ἔστι δὲ καὶ Τηΐοις ἐπὶ τῇ ἄκρᾳ λουτρὰ τῇ Μακρίᾳ, τὰ μὲν ἐπὶ τῷ κλύδωνι ἐν πέτρας χηραμῷ, τὰ δὲ καὶ ἐς ἐπίδειξιν πλούτου πεποιημένα. Κλαζομενίοις δὲ λουτρά ἐστιν· ἐν δὲ αὐτοῖς Ἀγαμέμνων ἔχει τιμάς. καὶ ἄντρον μητρός φασι Πύῤῥου καλουμένης, καὶ λόγον ἐπὶ τῷ Πύῤῥῳ λέγουσι τῷ ποιμένι. Ἐρυθραίοις δὲ ἔστι μὲν χώρα Χαλκῖτις, ἀφ' ἧς καὶ τῶν φυλῶν σφισιν ἡ τρίτη τὸ ὄνομα ἔσχηκεν· ἔστι δὲ τῆς Χαλκίτιδος κατατείνουσα ἐς τὸ πέλαγος ἄκρα, καὶ ἐν αὐτῇ λουτρὰ θαλάσσια, μάλιστα τῶν ἐν Ἰωνίᾳ λουτρῶν ὠφέλιμα ἀνθρώποις. (6) Σμυρναίοις δὲ ποταμὸς Μέλης ὕδωρ ἐστὶ κάλλιστον, καὶ σπήλαιον ἐπὶ ταῖς πηγαῖς, ἔνθα Ὅμηρον ποιῆσαι τὰ ἔπη λέγουσι. Χίοις δὲ ὁ τοῦ Οἰνοπίωνος τάφος θέαν τε παρέχεται καί τινας καὶ λόγους ἐς τοῦ Οἰνοπίωνος τὰ ἔργα. Σαμίοις δὲ κατὰ τὴν ὁδὸν τὴν ἐς τὸ Ἡραῖον τὸ Ῥαδίνης καὶ Λεοντίχου μνῆμά ἐστι, καὶ τοῖς ὑπὸ ἔρωτος ἀνιωμένοις εὔχεσθαι καθέστηκεν ἰοῦσιν ἐπὶ τὸ μνῆμα. τὰ μὲν

ac salubres. Sua sunt et Teiis lavacra in monte Macria, partim *illaborata* e cavernoso saxo erumpentibus aquis, partim ad opum ostentationem exornata. Habent et Clazomenii lavacra. Ad ea Agamemnon colitur; ibidemque antrum est Nymphae, quae Pyrrhi mater dicitur. Vulgatus est apud eos de Pyrrho pastore sermo. In Erythraeis est Chalcitis regio; a qua tertia ipsorum tribus nominatur. Porrigit se ex Chalcitide in pelagus promontorium, in quo marinarum aquarum scatebrae balneas edunt, omnium, quae in Ionia sunt aegris maxime utiles. (6) Apud Smyrnaeos longe pulcherrimus est amnis Meles: ad eius caput antrum, in quo Homerum tradunt carmina sua fecisse. In Chiis est Oenopionis sepulcrum, et opere ipso, et ob rerum ab Oenopione gestarum praedicationem spectandum. Sami in via, quae ad Iunonis ducit, Rhadines et Leontichi sepulcrum est, ad quod vota nuncupare solenne est Ionibus, quoties acri se amore affectos senserint. Sunt sane rerum miracula in

δὴ ἐν Ἰωνίᾳ θαύματα πολλά τε καὶ οὐ πολλῷ τινι τῶν ἐν τῇ Ἑλλάδι ἀποδέοντά ἐστι.

CAPUT VI.

Post Ionum discessum in Asiam Achaei illorum regionem sortiuntur, et XII urbes incolunt — de Achaeorum principibus et urbe Patris — bellis, quibus interfuerunt Achaei — Chilone palaestrita et Adrasto Lydo — rerum Graecarum conditione post Gallorum abitum in Asiam.

Τότε δὲ ἀπεληλυθότων Ἰώνων, γῆν τε οἱ Ἀχαιοὶ τὴν 536
Ἰώνων διελάγχανον, καὶ ἐσῳκίζοντο ἐς τὰς πόλεις. αἱ δὲ δύο τε καὶ δέκα ἦσαν ἀριθμὸν, ὁπόσαι τε καὶ ἐς ἅπαν τὸ Ἑλληνικὸν γνώριμοι· Δύμη μὲν πρὸς Ἤλιδός πρώτη· μετὰ δὲ αὐτὴν Ὤλενος, καὶ Φαραὶ, καὶ Τρίταια, καὶ Ῥύπες, καὶ Αἴγιον, καὶ Κερύνεια, καὶ Βοῦρα· ἐπὶ ταύταις δὲ Ἑλίκη, καὶ Αἰγαί τε καὶ Αἴγειρα, καὶ Πελλήνη πρὸς τῆς Σικυωνίας ἐσχάτη. ἐς ταύτας οἱ Ἀχαιοὶ καὶ οἱ βασιλεῖς αὐτῶν ἐσῳκίζοντο πρότερον ἔτι ὑπὸ Ἰώνων οἰκουμένας. (2) Ἦσαν δὲ οἱ τὸ μέγιστον τοῖς Ἀχαιοῖς ἔχοντες κράτος, οἵ τε Τισαμενοῦ παῖδες, Δαϊμένης καὶ Σπάρτων καὶ Τέλλις τε καὶ Λεοντομένης· Κομήτης δὲ ὁ πρεσ-

Ionia, quam plurima, et haud multo inferiora, quam in reliqua cuncta Graecia.

Cap. VI. *Sed ut ad prima redeam*, post Ionum profectionem, Achaei eorum fines sorte inter se diviserunt, dispertito in duodecim urbes regno: sunt vero eae urbes apud universos Graecos notae et illustres. Prima omnium Dyme ab Elide venientibus; tum Olenos, Pharae, Tritia, Rhipes, Thasium, Cecyrina, Bura, Helice, Aegae, Aegira, Pellene, ad Sicyoniorum fines omnium postrema. In his domicilia sua constituerunt Achaei, quum ante Iones eas incolerent. (2) Primae Achaeorum imperii partes fuere penes Tisameni filios, Daimenem, Spartonem, Tellen, et Leontomenem. Nam eorum natu maximus Cometes multo ante

βύτατος τῶν Τισαμενοῦ παίδων πρότερον ἔτι διαβεβήκει
ναυσὶν ἐς τὴν Ἀσίαν. οὗτοί τε δὴ τηνικαῦτα ἐν τοῖς
Ἀχαιοῖς ἐδυνάστευον, καὶ Δαμασίας ὁ Πενθίλου τοῦ Ὀρέ-
στου, τοῖς Τισαμενοῦ παισὶν ἀνεψιὸς πρὸς πατρός. ἴσχυον
δὲ ἐπίσης τοῖς κατειλεγμένοις καὶ Ἀχαιῶν τῶν ἐκ Λακε-
δαίμονος Πρευγένης καὶ ὁ υἱὸς, ὄνομα δέ οἱ ἦν Πατρεύς.
καί σφισιν ὑπὸ τῶν Ἀχαιῶν ἐδόθη κτήσασθαι πόλιν ἐν
τῇ χώρᾳ, καὶ τὸ ὄνομα ἀπὸ τοῦ Πατρέως ἐτέθη τῇ πό-
λει. (3) Τὰ δὲ ἐς πόλεμον τοιάδε ἦν τοῖς Ἀχαιοῖς. κατὰ
μὲν τὴν ἐς Ἴλιον ἐπιστρατείαν Ἀγαμέμνονος, Λακεδαί-
μονα ἔτι καὶ Ἄργος οἰκοῦντες, μεγίστη τοῦ Ἑλληνικοῦ
μοῖρα ἦσαν· κατὰ δὲ τὴν Ξέρξου καὶ Μήδων ἐπὶ τὴν
Ἑλλάδα [ὁδὸν] οὔτε Λεωνίδᾳ τῆς ἐξόδου τῆς ἐς Θερμο-
πύλας εἰσὶν οἱ Ἀχαιοὶ δῆλοι μετεσχηκότες, οὔτε Ἀθηναίοις
ὁμοῦ καὶ Θεμιστοκλεῖ πρὸς Εὐβοίᾳ καὶ Σαλαμῖνι ναυ-
537 μαχήσαντες· οὐδὲ σφᾶς κατάλογος συμμάχων ἔχει Λακω-
νικὸς ἢ Ἀττικός. ὑστέρησαν δὲ καὶ ἔργου τοῦ Πλαταιᾶσι·
δῆλα γὰρ, ὅτι ἐπὶ τῷ ἀναθήματι τῷ ἐπ' Ὀλυμπίᾳ τῶν

in Asiam cum classe transmiserat. Hi nempe, quos enumeravi, et praeterea Damasias Penthilo Orestis filio genitus, Tisameni liberum patruelis, summae rerum praefuerunt. Aequo tamen in regno iure fuere a Lacedaemone profecti, et ipsi Achaici nominis, Preugenes, et eius filius, cui nomen Patreus. Ei urbem Achaei assignarunt, quae a rege postea suo Patrae nominata est. (3) De rebus bellicis Achaeorum haec memorari possunt. Troicis temporibus Achaei, quum adhuc essent eorum in potestate Sparta et Argos, Graeci nominis pars maxima fuere. Persis vero cum Xerxe in Graeciam invadentibus, neque Leonidae in Thermopylas, neque Themistocli Atheniensium imperatori inter Euboeam et Salaminem classe praelianti, praesto Achaei fuere. Neque enim ulla vel in Atheniensium, vel in Lacedaemoniorum delectu, est eorum facta mentio. Quin et ad Plataeas pugnae tempus non obiere: quare in Graecorum communi donario, quod Olympiae dedicatum est, Achaeo-

Ἑλλήνων μετῆν ἂν καὶ Ἀχαιοῖς γεγράφθαι. δοκεῖ δέ μοι, ἐς πατρίδας τε ὑπολειφθέντες ἕκαστοι τὰς αὐτῶν ἔσωζον, καὶ ἅμα διὰ τὸ ἔργον τὸ πρὸς Τροίαν Λακεδαιμονίους Δωριεῖς ἀπηξίουν σφίσιν ἡγεῖσθαι. ἐδήλωσαν δὲ καὶ ἀνὰ χρόνον· Λακεδαιμονίων γὰρ ἐς τὸν πρὸς Ἀθηναίους πόλεμον καταστάντων ὕστερον, ἐς τὴν συμμαχίαν ἦσαν οἱ Ἀχαιοὶ πρόθυμοι Πατρεῦσι, καὶ ἐς τοὺς Ἀθηναίους οὐχ ἧσσον εἶχον γνώμης. πολέμων δὲ τῶν πολεμηθέντων ὕστερον ὑπὸ τοῦ Ἕλλησι κοινοῦ, τοῦ μὲν ἐν Χαιρωνείᾳ Φιλίππου τ' ἐναντία καὶ Μακεδόνων οἱ Ἀχαιοὶ μετέσχον· ἐς δὲ τὴν Θεσσαλίαν καὶ ἐπὶ τὸν πρὸς Λαμίᾳ καλούμενον πόλεμον οὔ φασιν ἐκστρατεύσασθαι, οὐ γάρ πω μετὰ τὸ πταῖσμα ἀνενηνοχέναι τὸ ἐν Βοιωτοῖς. (4) Ὁ δὲ τῶν ἐπιχωρίων Πατρεῦσιν ἐξηγητὴς τὸν παλαιστὴν Χείλωνα Ἀχαιῶν μόνον μετασχεῖν ἔφασκε τοῦ ἔργου περὶ Λαμίαν. οἶδα δὲ καὶ ἄνδρα αὐτὸς Λυδὸν Ἄδραστον, ἰδίᾳ καὶ οὐκ ἀπὸ τοῦ κοινοῦ τοῦ Λυδῶν, ἀμύναντα Ἕλλησι. τοῦ δὲ Ἀδράστου τούτου χαλκῆν εἰκόνα ἀνέθεσαν οἱ Λυδοὶ πρὸ

rum nomen nuspiam inscriptum fuit. Eos ego existimo patriam suam quosque tutari voluisse. Simul etiam Troica victoria elati, Lacedaemoniis, qui Dorienses essent, se parere indignum ducebant: quod aperte longo post tempore declararunt. Armis enim, quum *de Graeciae imperio* decernerent Lacedaemonii et Athenienses, alacriter tulere auxilium Patrensibus Achaei: iidemque animo fuere et sententia in Athenienses multo propensiore. Communibus vero Graecorum expeditionibus neutiquam postea defuerunt. Nam ad Chaeroneam contra Philippum in acie stetere. Fatentur tamen idcirco se in Thessaliam non movisse, et praelio ad Lamon inito non interfuisse, quod nondum e Boeotica clade se recollegissent. (4) At omnis antiquitatis inter Patrenses virum consultissimum mihi narrare memini, ex omnibus Achaeis unum Chilonem palaestritam *privatim* ad Lamiam in certamen prodisse. Et ipse satis scio Lydum hominem Adrastum privatis opibus et consilio Graecos iuvisse. Huic

ἱεροῦ Περσικῆς Ἀρτέμιδος, καὶ ἔγραψαν ἐπίγραμμα, ὡς τελευτήσειεν Ἄδραστος ἐναντίον Λεοννάτῳ μαχόμενος ὑπὲρ Ἑλλήνων. ἡ δὲ ἐς Θερμοπύλας ἐπὶ τὴν Γαλατῶν στρατιὰν ἔξοδος καὶ τοῖς πᾶσιν ὁμοίως παρώφθη Πελοποννησίοις. ἅτε γὰρ πλοῖα οὐκ ἐχόντων τῶν βαρβάρων, δεινὸν ἔσεσθαί σφισιν ὑπ' αὐτῶν οὐδὲν ἤλπιζον, εἰ τὸν Κορινθίων ἰσθμὸν ἐκ θαλάσσης τῆς κατὰ Λέχαιον ἀπο-
538 τειχίσειαν ἐς τὴν ἑτέραν τὴν ἐπὶ Κεγχρεαῖς θάλασσαν· τοῦτο μὲν δὴ Πελοποννησίων ἦν τότε ἁπάντων βούλευμα. (5) Ἐπεὶ δὲ Γαλάται ναυσὶν ὅντινα δὴ τρόπον διαβεβήκασιν ἐς τὴν Ἀσίαν, ἐνταῦθα εἶχεν οὕτω τὰ Ἑλλήνων, προεστήκεσαν κατ' ἰσχὺν οὐδένες ἔτι τοῦ Ἑλληνικοῦ. Λακεδαιμονίους μὲν γὰρ τὸ ἐν Λεύκτροις πταῖσμα, καὶ ἅμα οἵ τε Ἀρκάδες συνεληλυθότες ἐς Μεγάλην πόλιν, καὶ οἱ Μεσσήνιοι παροικοῦντες, ἀνασώσασθαι τὴν προτέραν ἔτι εὐδαιμονίαν ἐκώλυον. Θηβαίοις δὲ ἐς τοσοῦτον ἠρήμωσεν Ἀλέξανδρος τὴν πόλιν, ὡς ἔτεσιν ὕστερον οὐ πολ-

Adrasto statuam ex aere posuere Lydi ante Dianae Persicae aedem, addita inscriptione, oppetiisse mortem Adrastum pro Graecis contra Leonnatum praeliantem. Thermopylarum autem saltum iam superantibus Gallis, non Achaei soli, sed universi Peloponnesii occurrendum sibi non putarunt. Nam quum nullam omnino classem haberent Barbari, satis adversus eos magnum se praesidium habituros sperarunt, modo ut Corinthiacum Isthmum, quantum inter utrumque mare a Lechaeo promontorio ad Cenchreas interest, permunissent. Fuit haec tunc communis omnium Peloponnesiorum sententia. (5) Postea vero, quam Galli navigiis undecunque contractis in Asiam transierunt, tam graviter sunt *variis* accisae *casibus* Graecorum res, ut nulla sibi civitas posset aliarum imperium vindicare. Lacedaemoniis enim tum Leuctrica clades, tum Arcadum in unicam civitatem (quae Megalopolis fuit) conventus, et Messeniorum vicinitas, quo minus pristinas vires reciperent, obstiterunt. Thebanos adeo urbe ipsa eversa afflixit Alexander, ut annis non multis

λοῖς κατααχθέντας ὑπὸ Κασσάνδρου μηδὲ σώζειν τὰ οἰκεῖα ἀξιόχρεως εἶναι. Ἀθηναίοις δὲ εὔνοια μὲν παρὰ τοῦ Ἑλληνικοῦ τῶν ἔργων μάλιστα ὑπῆρχε τῶν ὕστερον, ἀναπαύσασθαι δὲ οὔ ποτε ἐκ τοῦ Μακεδόνων πολέμου παρῆν αὐτοῖς.

CAPUT VII.

De Achaeorum potentia et concilio Achaïco — Lacedaemoniorum bello contra Achaeos suscepto — Philippi, Demetrii filii, sceleribus — eius bello cum Atheniensibus gesto et Romanis Atheniensibus opem ferentibus.

Ἑλλήνων δὲ οὐ τασσομένων τηνικαῦτα ἔτι ἐν κοινῷ, ἰδίᾳ δὲ ἑκάστων κατὰ σφᾶς συνισταμένων, οἱ Ἀχαιοὶ μάλιστα ἴσχυον. τυράννων γὰρ πλὴν Πελλήνης αἱ ἄλλαι πόλεις τὸν χρόνον ἅπαντα ἀπείρως ἐσχήκεσαν· αἵ τε ἐκ πολέμων καὶ ἀπὸ τῆς νόσου συμφοραὶ τῆς λοιμώδους οὐκ ἐς τοσοῦτον Ἀχαιοῖς, ἐφ' ὅσον τοῖς ἄλλοις ἐγένοντο Ἕλλησι. συνέδριόν τε οὖν Ἀχαϊκὸν καλούμενον, καὶ ἀπὸ κοινοῦ λόγου βουλεύματά τε ἦν Ἀχαιοῖς καὶ τὰ ἔργα. ἀθροίζεσθαι δὲ ἐς Αἴγιόν σφισιν ἔδοξεν· αὕτη γὰρ μετὰ

post a Cassandro reducti ne sua quidem ipsorum satis tutari potuerint. Iam Atheniensibus Graecorum certe benevolentia ex rerum gestarum memoria non defuit: sed nullo unquam tempore fuit eis a Macedonum armis securitas.

Cap. VII. Quare iis temporibus, quum non in commune consulerent Graeci, sed suum quique negotium agerent, non erant, qui opibus cum Achaeis conferri possent. Eorum enim omnes civitates, una excepta Pellene, nullo a multis retro annis devinctae fuerant tyrannorum dominatu. Porro levius etiam multo, quam alias Graeciae partes, vel bellorum impetus, vel pestilentiae acerbitas Achaiam vexarat. Itaque in concilium, quod Achaicum vocant, itabatur, communique consilio de rebus Achaiae deliberabatur. Ac tunc quidem conventum *omnium civitatum* Aegium edici

Ἑλίκην ἐπικλυσθεῖσαν πόλεων ἐν Ἀχαΐᾳ τῶν ἄλλων δόξῃ
539 προεῖχεν ἐκ παλαιοῦ, καὶ ἴσχυεν ἐν τῷ τότε. Ἑλλήνων δὲ τῶν λοιπῶν Σικυώνιοι συνεδρίου πρῶτοι τοῦ Ἀχαιῶν μετέσχον. μετὰ δὲ Σικυωνίους ἐσῄεσαν ἤδη καὶ τῶν ἄλλων Πελοποννησίων οἱ μὲν αὐτίκα, οἱ δὲ χρόνον τινὰ ἐπισχόντες· τοὺς δὲ καὶ ἐκτὸς οἰκοῦντας τοῦ Ἰσθμοῦ συντελεῖν ἐς Ἀχαιοὺς ἔπειθεν, ὅτι ἐς τὸ πλέον ἰσχύος προϊὸν ἑώρων τὸ Ἀχαϊκόν. (2) Λακεδαιμόνιοι δὲ Ἑλλήνων μόνοι διάφοροί τε Ἀχαιοῖς τὰ μάλιστα ἦσαν, καὶ ἐκ τοῦ φανεροῦ πόλεμόν σφισιν ἐπῆγον. Πελλήνην μέν γε Ἀχαιῶν πόλιν Ἆγις εἷλεν ὁ Εὐδαμίδου βασιλεύων ἐν τῇ Σπάρτῃ, καὶ ἐξέπεσεν αὐτίκα ἐκ Πελλήνης ὑπὸ Ἀράτου καὶ Σικυωνίων. Κλεομένης δὲ ὁ Λεωνίδου τοῦ Κλεωνύμου, βασιλεὺς οἰκίας τῆς ἑτέρας, ἀντικαθημένους Ἄρατον καὶ Ἀχαιοὺς πρὸς Δύμῃ παρὰ πολύ τε ἐκράτησεν ἐλθόντας ἐς χεῖρας, καὶ ὕστερον Ἀχαιοῖς καὶ Ἀντιγόνῳ συνέθετο εἰρήνην. Ἀντίγονός τε οὗτος τηνικαῦτα ἀρχὴν τὴν Μακεδόνων εἶχεν, ἐπιτροπεύων Φίλιππον τὸν Δημη-

placuit, quod deleta eluvionibus Helice, iam tum ab initio ceteris Achaicis civitatibus, haec dignatione et opibus praestabat. Ex aliis vero Graecis primi omnium in eius concilii censum venere Sicyonii: post eos et alii e Peloponneso vel statim, vel certe aliquandiu cunctati se Achivis contribuerunt. Multos etiam ex iis, qui extra Isthmum erant, in concilii societatem acciverunt secundi Achaeorum progressus, quum eos indies viderent meliore uti fortuna. (2) Soli Graecorum Lacedaemonii, et offensioribus semper animis in Achaeos fuerunt, et postremo aperte etiam contra eos arma ceperunt. Sed enim quum Pellenen Achaeorum urbem Agis Eudamidae filius, rex Spartae, vi cepisset, mox inde ab Arato Sicyoniorum duce eiectus est. Cleomenes deinde Leonida Cleonymi filio genitus, ex altera, quam fuit Agis regia stirpe, Aratum et Achivos collatis ad Dymen signis magno praelio fudit: pacem deinde Antigono et Achivis dedit. Antigonus tunc, Philippi adhuc impuberis tutor,

τρίτου, παῖδα ἔτι ἡλικίαν ὄντα· ἦν δὲ καὶ ἀνεψιὸς τῷ Φιλίππῳ, καὶ μητέρι αὐτοῦ συνῴκει. πρὸς τοῦτον οὖν τὸν Ἀντίγονον καὶ Ἀχαιοὺς ποιησάμενος ὁ Κλεομένης σπονδὰς, καὶ αὐτίκα παραβὰς, ὅσα ὤμοσεν, ἠνδραποδίσατο Ἀρκάδων Μεγάλην πόλιν· Λακεδαιμονίοις τε τὸ ἐν Σελλασίᾳ πταῖσμα πρὸς Ἀχαιοὺς καὶ Ἀντίγονον Κλεομένους εἵνεκα καὶ ἐπιορκίας τῆς ἐκείνου συνέβη. Κλεομένους μὲν δὴ καὶ αὖθις ἐν λόγοις τοῖς Ἀρκαδικοῖς ἀφιξόμεθα ἐς μνήμην. (3) Φίλιππος δὲ ὁ Δημητρίου τὴν Μακεδόνων ἀρχὴν, ὡς ἀφίκετο ἐς ἄνδρας, παρὰ ἑκόντος Ἀντιγόνου λαβὼν, φόβον τοῖς πᾶσιν Ἕλλησιν ἐνεποίησε, τὰ Φιλίππου τοῦ Ἀμύντου, προγόνου μὲν οὐκ ὄντος αὐτῷ, τῷ δὲ ἀληθεῖ λόγῳ δεσπότου, τά τε ἄλλα αὐτοῦ μιμούμενος, καὶ τὰ ἐς θεραπείαν, ὅσοις πατρίδας ἀρεστὰ ἦν 540
ἐπ' οἰκείοις προδιδόναι κέρμασι· προπίνειν δὲ παρὰ τὰ συμπόσια ἐπὶ δεξιότητι καὶ φιλίᾳ κύλικας οὐκ οἴνου, φαρμάκων δὲ ἐς ὄλεθρον ἀνθρώποις, ἃ δὴ ὁ μὲν τοῦ Ἀμύν-

Macedonum imperium regebat. Fuit Philippus Demetrii filius: eius erat Antigonus et patruelis et vitricus. Foedere igitur cum Antigono et Achivis perpetrato, Cleomenes Arcadum caput, fide mox violata, Megalopolin diripuit: et sane noxae piaculum accepta ad Sellasiam ab Achaeis et Antigono clade, Lacedaemonii et eorum dux Cleomenes luisse indicari merito possunt. Sed in libro de Arcadum rebus ad Cleomenem redibit oratio. (3) Philippus autem Demetrii filius, quum ad virilem aetatem pervenisset, accepto regno ab Antigono non sane invito, magnum universis Graecis terrorem incussit, quum ipso Philippi superioris nomine (a quo tamen oriundus non erat: nam Amyntae filius Philippus, dominus plane huius gentilibus fuit) tum vero, quod Philippi ipsius facinora aemulabatur. Fuit hercule utrique commune, pecunia sibi civitatum principes conciliare, quos intelligerent privati sui lucri, quam patriae libertatis maiorem rationem habere. Hoc minori Philippo peculiare, in conviviis, dum mutuis de more poculis poscerent, mortife-

του Φιλίππου οὐδ' ἐπενόησεν, ἐμοὶ δοκεῖν, ἀρχήν· Φιλίππῳ δὲ τῷ Δημητρίου τὰ φάρμακα τόλμημα ἦν ἐλαφρότατον. κατεῖχε καὶ τρεῖς πόλεις φρουραῖς, ὁρμητήρια εἶναί οἱ κατὰ τῆς Ἑλλάδος· καὶ ὠνόμαζε δὲ ὑπὸ τῆς ὕβρεως καὶ τῆς ἐς τὸ Ἑλληνικὸν ὑπεροψίας κλεῖς τῆς Ἑλλάδος τὰς πόλεις ταύτας. ἐπὶ μέν γε Πελοποννήσῳ Κόρινθος καὶ ἡ Κορινθίων ἀκρόπολις ἐπιτετείχιστο· ἐπὶ δὲ Εὐβοίᾳ καὶ Βοιωτοῖς τε καὶ Φωκεῦσι Χαλκὶς ἡ πρὸς τῷ Εὐρίπῳ· κατὰ δὲ Θεσσαλῶν τε αὐτῶν καὶ τοῦ Αἰτωλῶν ἔθνους Μαγνησίαν τὴν ὑπὸ τὸ Πήλιον κατεῖχεν ὁ Φίλιππος. (4) Μάλιστα δὲ Ἀθηναίους καὶ τὸ Αἰτωλικὸν ἐπιστρατείαις τε συνεχέσιν ἐπίεζε καὶ λῃστῶν καταδρομαῖς. ἐμνημόνευσε δέ μοι καὶ πρότερον ὁ λόγος καὶ ἐν τῇ Ἀτθίδι συγγραφῇ, ὅσοι τε Ἑλλήνων ἢ βαρβάρων ἐναντία Φιλίππου συνήραντο Ἀθηναίοις, καὶ ὡς ὑπὸ ἀσθενείας τῶν συμμάχων ἐπὶ Ῥωμαίους καὶ ἐπικουρίαν τὴν ἐκεῖθεν κατέφυγον οἱ Ἀθηναῖοι. Ῥωμαῖοι δὲ ἐπιπέμψασι καὶ

ras potiones propinare: quod Amyntae filio, nisi fallor, ne in mentem quidem unquam venit. Ac huic Demetrii filio Philippo familiare hoc fuit scelus; et sane in levissimis ducebat noxis, veneno hominem tollere. Urbes hic tres, quibus adversus Graeciam pro militum suorum receptaculis uteretur, praesidiis firmavit: eas in Graecorum contumeliam multa suffultus confidentia, Graeciae claves nuncupabat. Unam in Peloponneso, Corinthum: cuius etiam arcem munivit accuratius. Alterum fuit ei contra Euboeam, Boeotos et Phocenses propugnaculum, Chalcis ad Euripum. Tertiam opposuit Thessalis et Aetolorum nationi, Magnesiam sub Pelio monte. (4) Prae ceteris vero, tum iustis exercituum aggressionibus, tum repentinis latronum more excursionibus, Atheniensibus et Aetolis infestus fuit. In Atticarum rerum descriptione iampridem exposui, quae a Graecis vel Barbaris missa fuerint Atheniensibus contra Philippum auxilia; et quemadmodum belli diuturnitate afflicti Athenienses, Romanorum fidem implorare coacti fuerint. Miserant et paulo

οὐ πολλῷ τινι ἔμπροσθεν, λόγῳ μὲν ἐπικουρήσοντας Αἰτωλοῖς ἐναντία Φιλίππου, τῷ δὲ ἔργῳ μᾶλλόν τι ἐν κατασκοπῇ τῶν ἐν Μακεδονίᾳ πραγμάτων. τότε δὲ ἀποστέλλουσιν Ἀθηναίοις στρατιάν τε καὶ ἡγεμόνα Ἀτίλιον· τοῦτο γάρ οἱ τῶν ὀνομάτων ἦν τὸ ἐκδηλότατον· ἐπεὶ καλοῦνταί γε οὐ πατρόθεν οἱ Ῥωμαῖοι κατὰ ταὐτὰ Ἕλλησιν, ἀλλὰ καὶ τρία, ὁπότε ὀλίγιστα, καὶ ἔτι πλέονα ὀνόματα 541 ἑκάστῳ τίθενται. τῷ δὲ Ἀτιλίῳ προσενέταχτο ὑπὸ Ῥωμαίων, ἀπείργειν ἀπὸ Ἀθηναίων καὶ τοῦ Αἰτωλικοῦ τὸν Φιλίππου πόλεμον. Ἀτίλιος δὲ τὰ μὲν ἄλλα τοῖς πράγμασι κατὰ τὰ ἐπιτεταγμένα ἐχρῆτο· τάδε δὲ οὐ κατὰ γνώμην οἱ τὴν Ῥωμαίων ἐστὶν εἰργασμένα. Εὐβοέων γὰρ Ἑστιαίων πόλιν, καὶ Ἀντίκυραν τὴν ἐν τῇ Φωκίδι ἑλὼν, ὑπηκόους κατ' ἀνάγκην οὔσας Φιλίππου, ἐποίησεν ἀναστάτους. καὶ τοῦδε εἵνεκα (ἐμοὶ δοκεῖν) ἐπεὶ ἐπύθετο ἡ βουλὴ, ἀποστέλλουσιν Ἀτιλίῳ διάδοχον τῆς ἀρχῆς Φλαμίνιον.

ante Romani, verbo quidem Aetolis contra Philippum auxilio, re vero Macedonicarum rerum speculatores: verum Atheniensibus tunc *plenissimum atque instructissimum* exercitum mittendum censuerunt. Decreta ea provincia est Atilio *Cos.* (Nam hoc nomen ei viro maxime insigne fuit. Non enim Romani Graecorum ritu unico a patribus accepto nomine appellantur; sed tria fere singulis ut pauciora, plura etiam imponuntur nomina.) Id negotii duntaxat a S. P. Q. R. Atilio datum, ut Athenienses et Aetolos contra Philippi arma tueretur. At ille e mandatorum praescripto reliqua: illud non ex P. R. sententia, *sed arbitratu suo* gessit, quod Euboeensium Hestiaeam, et Anticyram in Phocide, quae oppida Philippi imperata facere coacta fuerant, expugnavit et evertit. Quae res ad Senatum delata, mea quidem sententia, effecit, ut Atilio Flaminius *quamprimum* successor mitteretur.

CAPUT VIII.

Romani, duce Flaminio, cum Achaeis Corinthum expugnant — Achaei Romanorum socii — Achaei Spartae muros demoliuntur et Lacedaemoniis graviter imperant — Lacedaemonii ad Metellum et legatos Romanos confugiunt — de Macedonum rebus a Romanis eversis et Sibyllae oraculo illud significante.

Τότε δὲ ἥκων ὁ Φλαμίνιος Ἐρέτριάν τε διήρπασε, τοὺς φρουροῦντας Μακεδόνων μάχῃ νικήσας, καὶ αὖθις ἐλάσας ἐπὶ Κόρινθον κατεχομένην ὑπὸ Φιλίππου φρουρᾷ, αὐτός τε προσεκάθητο πολιορκῶν, καὶ παρὰ Ἀχαιοὺς ἅμα ἀποστέλλων ἐπήγγελλέ σφισιν, ἀφικνεῖσθαι πρὸς Κόρινθον στρατιᾷ, συμμάχους τε ἀξιωθησομένους καλεῖσθαι Ῥωμαίων, καὶ ἅμα εὐνοίᾳ τῇ ἐς τὸ Ἑλληνικόν. Ἀχαιοὶ δὲ ἐποιοῦντο μὲν μεγάλως καὶ αὐτὸν ἐν αἰτίᾳ Φλαμίνιον, καὶ ἔτι πρότερον Ἀτίλιον, οἳ μετεχειρίσαντο ὠμῶς οὕτω πόλεις Ἑλληνίδας καὶ ἀρχαίας, ἀναμαρτήτους τε οὔσας πρὸς Ῥωμαίους, καὶ οὐ κατὰ γνώμην ὑπὸ Μακεδόνων ἀρχομένας· προεωρῶντο δὲ καί, ὡς ἀντὶ Φιλίππου καὶ Μακεδόνων Ῥωμαῖοι σφίσι τε ἤκοιεν καὶ τῷ Ἑλληνικῷ δεσπόται προστάττειν. ῥηθέντων δὲ ἐν τῷ συνεδρίῳ πολ-

Cap. VIII. Qui primo adventu superato Macedonum praesidio, Eretriam diripuit: Corinthum, cui rex praesidium imposuerat, et suis ipse copiis circumsedit, et ab Achaeis ad eam obsidendam per legatos, tum pro inita cum Romanis societate, tum vero pro ea, quam in Graecos omnes prae se ferebant benevolentia, auxilia postulavit. Sed illi, quod ante in Atilio indigne tulerant, Flaminio etiamnum crimini dabant, quod scilicet priscas Graeciae urbes, quae nihil in Romanos commiserant, quaeque Macedoni invitae paruerant, eas armis adorti crudelius tractassent. Providebant autem facile iam Romanos illud agere, ut pro Philippo et Macedonibus, Achaiae et universae Graeciae ipsi imperarent. Causa haec in Achaeorum concilio magna inter dissidentes sententias contentione acta: evicere postremo,

*λων καὶ ἐναντίων ἀλλήλοις, τέλος οἱ εὖνοι Ῥωμαίοις ἐνί-
κησαν, καὶ Ἀχαιοὶ Φλαμινίῳ Κόρινθον συνεπολιόρκησαν,
Κορίνθιοι δὲ ἀπὸ Μακεδόνων ἐλευθερωθέντες, μετέσχον
αὐτίκα συνεδρίου τοῦ Ἀχαιῶν, μετασχόντες καὶ πρότερον,
ὅτε Ἄρατος καὶ Σικυώνιοι φρουρὰν ἐκ τοῦ Ἀκροκορίν-
θου τὴν πᾶσαν ἐξήλασαν, καὶ ἀπέκτειναν Περσαῖον ὑπὸ
Ἀντιγόνου ταχθέντα ἐπὶ τῇ φρουρᾷ.* (2) *Ἀχαιοὶ δὲ τὸ* 542
*ἀπὸ τούτου σύμμαχοί τε ὠνομάζοντο Ῥωμαίων, καὶ ἐς
τὰ πάντα ἦσαν πρόθυμοι· καί σφισιν εἵποντο μὲν ἐς
Μακεδονίαν καὶ ἐπὶ Φίλιππον, μετέσχον δὲ στρατείας ἐς
Αἰτωλούς. τρίτα δὲ ὁμοῦ Ῥωμαίοις ἐμαχέσαντο ἐναντία
Ἀντιόχου καὶ Σύρων. ὅσα μὲν δὴ Ἀχαιοὶ Μακεδόσιν ἢ
στρατιᾷ τῇ Σύρων ἐναντία ἐπράξαντο, φιλίᾳ τῇ πρὸς Ῥω-
μαίους ἔπραξαν.* (3) *Ἐς δὲ Λακεδαιμονίους ἐκ παλαιοῦ
σφισιν ἦν οἰκεῖα ἐγκλήματα. ἐπεὶ δὲ ἡ Νάβιδος ἐν Σπάρτῃ
τυραννὶς κατελέλυτο, ἐς πλείστην ὠμότητα ἀνδρὸς ἀφι-
κομένου, τὰ ἐς τοὺς Λακεδαιμονίους αὐτίκα ἐνεκεκτήκει·
καὶ σφᾶς ὑπὸ τὸν χρόνον οἱ Ἀχαιοὶ τοῦτον ἐς σύλλογον*

qui partis Romanorum fuere, ut ab Achaeis ad oppugnandam obsidione Corinthum auxilia mitterentur, Corinthii quidem, quum in Macedonum potestate esse desiissent, ad Achaeorum se concilium mox aggregarunt, in quo et prius locum habuerant, quum Aratus Sicyoniorum dux e Corinthi arce Antigoni praesidium eiecisset, Persaeo praesidii praefecto occiso. (2) In posterum dehinc omne tempus Romanorum socii Achaei appellati sunt, nempe, qui ad omnia rerum momenta se promptos et alacres praestitere. Nam et in Macedoniam cum Romanis contra Philippum penetrarunt, et susceptae in Aetolos expeditionis comites fuere: in Syriam denique contra Antiochum sunt cum Romanis profecti. Et Macedonico quidem atque Antiochi bello interfuerunt, Romanorum amicitiam secuti: (3) cum Lacedaemoniis vero iampridem simultates proprias exercuerant. Quare Nabidis tyrannide, cuius intolerabilis fuerat crudelitas, sublata, Spartam Achaei in ordinem statim redactam, Achaico concilio

ὑπάγονται τὸν Ἀχαϊκὸν, καὶ δίκας γε ἐδίκαζόν σφισιν ἐς τὸ ἀκριβέστατον, καὶ τὰ τείχη τῆς Σπάρτης καταβάλλουσιν ἐς ἔδαφος, οἰκοδομηθέντα μὲν καὶ πρότερον ἔτι αὐτοσχεδίως, καὶ ἐπί τε τῆς Δημητρίου καὶ ὕστερον τῆς Πύῤῥου καὶ Ἠπειρωτῶν στρατείας, ἐπὶ δὲ τῆς τυραννίδος τῆς Νάβιδος καὶ ἐς τὸ ἀσφαλέστατον ὀχυρωθέντα. τά τε οὖν τείχη τῆς Σπάρτης οἱ Ἀχαιοὶ καθεῖλον, καὶ τὰ ἐς μελέτην τοῖς ἐφήβοις ἐκ τῶν Λυκούργου νόμων καταλύσαντες, ἐπέταξαν τοῖς Ἀχαιῶν ἐφήβοις τὰ αὐτὰ ἐπιτηδεύειν. ταῦτα μὲν δὴ καὶ ἐς πλέον ἐπέξεισιν αὖθίς μοι τὰ ἐς Ἀρκάδας. (4) Λακεδαιμόνιοι δὲ, ἅτε μεγάλως τοῖς ἐπιτάγμασιν ἀχθόμενοι τοῖς Ἀχαιῶν, καταφεύγουσιν ἐπὶ Μέτελλον, καὶ ὅσοι σὺν Μετέλλῳ κατὰ πρεσβείαν ἧκον ἐκ Ῥώμης. ἀφίκοντο δὲ οὗτοι Φιλίππῳ καὶ Μακεδόσι πόλεμον μὲν οὐδένα ἐπάξοντες, ἅτε εἰρήνης πρότερον ἔτι Φιλίππῳ καὶ Ῥωμαίοις ὁμωμοσμένης, ὁπόσα δὲ ἢ Θεσσαλοῖς ἢ τῶν ἐξ Ἠπείρου τισὶν ἐγκλήματα ἦν ἐς Φίλιππον, ταῦτα ἧκον οἱ ὁμοῦ Μετέλλῳ κρινοῦντες. ἔργῳ
543 μὲν δὴ Φίλιππός τε αὐτὸς καὶ ἡ Μακεδόνων ἀκμὴ καθή-

subiecerunt; rebusque per severissima iudicia repetitis, mox urbis muros demoliti sunt. Spartae quidem muri, Demetrio et Pyrrho olim oppugnantibus, tumultuario opere exstructi fuerant: Nabis postea tales faciundos curavit, ut nihil omnino ad eorum firmitatem desideraretur. Eos itaque muros tunc Achaei deiecerunt; et Spartanorum liberis interdictam, quam legibus Lycurgus sanxerat, disciplinam, ad Achaeorum puberes transtulerunt. Verum haec a me plenius exponuntur in eo, qui Arcadum rebus attributus est libro. (4) Lacedaemonii quum Achaeorum imperata graviter ferrent, Metellum Romanorum legatum, et eius collegas appellarunt. Missi hi fuerant non ut Philippo bellum indicerent, cum quo rite fuerat pax perpetrata; sed ut de criminibus, quae a Thessalis et quibusdam Epirotis Philippo obiiciebantur, cognoscerent. Et Philippus quidem maiorem multo re cladem, quam verbo a Romanis accepit. Magno

ρητο ὑπὸ Ῥωμαίων. μαχεσάμενος γὰρ Φλαμινίου καὶ Ῥωμαίων ἐναντία Φίλιππος ἐν Κυνὸς καλουμέναις Κεφαλαῖς, ἐν λόγοις τὸ ἧττον ἠνέγκατο· ἀλλά γε δὴ καὶ δυνάμεσιν ἀγωνισάμενος αὐτὸς οὗτος ὁ Φίλιππος τοσοῦτον ἐκρατήθη τῇ συμβολῇ, ὡς στρατιᾶς τε, ἣν ἦγεν, ἀποβαλεῖν τὸ πολὺ, καὶ ἐκ τῶν πόλεων, ὅσας εἷλεν ἐν τῇ Ἑλλάδι πολέμῳ παραστησάμενος, ἐξήγαγεν ἐξ ἁπασῶν τὰς φρουρὰς κατὰ ὁμολογίαν πρὸς Ῥωμαίους. (5) Κατὰ μέντοι τοῦ λόγου τὸ εὐπρεπὲς παρὰ Ῥωμαίων εὕρετο εἰρήνην δεήσεσι μὲν παντοίαις καὶ δαπάναις χρημάτων μεγάλαις· τὰ δὲ ἐς Μακεδόνας, δύναμίν τε, ἣν ἐπὶ Φιλίππου περιεβάλοντο τοῦ Ἀμύντου, καὶ ὡς ἐπὶ Φιλίππου τοῦ ὑστέρου τὰ πράγματά σφισιν ἐφθάρη, Σίβυλλα οὐκ ἄνευ θεοῦ προεθέσπισεν. ἔχει δὲ οὕτω τὰ χρησθέντα·

Αὐχοῦντες βασιλεῦσι Μακηδόνες Ἀργεάδῃσιν,
Ὑμῖν κοιρανέων ἀγαθὸν, καὶ πῆμα Φίλιππος.
Ἤτοι ὁ μὲν πρότερος πόλεσιν λαοῖσί τ' ἄνακτας
Θήσει· ὁ δ' ὁπλότερος τιμὴν ἀπὸ πᾶσαν ὀλέσσει,
Δμηθεὶς ἑσπερίοισιν ὑπ' ἀνδράσιν ἠῴοις τε.

Ῥωμαῖοι μὲν δὴ τὰ πρὸς ἑσπέραν νεμόμενοι τῆς Εὐρώ-

enim praelio ad Cynocephalas a Flaminio victus, et exercitus robur amisit, et e Graecanicis urbibus omnibus, quas bello ad deditionem compulerat, praesidia educere ex foederis pacto convento coactus est. (5) Pacem quidem non tam eventu utilem, quam nomine decoram, precibus ac etiam precio impetravit. Macedonum certe bellicam gloriam, et imperii magnitudinem Philippo Amyntae filio regnante partam, alterius Philippi temporibus pessum ituram, divinitus his versibus praedixit Sibylla:

Emathiae populi, Argeadae quis gloria reges:
Commoda nunc pariet, regnans, nunc damna Philippus,
Namque duces maior populis atque urbibus amplis,
Imponet: sed enim Hesperiis domitus minor armis,
Mox etiam Eois illustres perdet honores.

Romani enim, qui ad occasum sunt, Attali et Mysorum; qui

σης καθεῖλον τὴν Μακεδόνων ἀρχὴν, καὶ τῶν ἐς τὸ συμμαχικὸν ταχθέντων Ἄτταλος, καὶ ἔτι ἐκ Μυσίας στρατιά· πρὸς δὲ ἀνίσχοντα ἥλιον μᾶλλόν τι ἡ Μυσία τέτραπται.

CAPUT IX.

Metellus de Achaeis dicto non audientibus querelas ad senatum defert — Lacedaemonii in senatu Achaeos criminantur — Romani mittunt, qui inter Achaeos et Lacedaemonios disceptent — muri Spartae reficiuntur — Romani Lacedaemoniis faventes Achaeis varie adversantur.

Τότε δὲ τῷ Μετέλλῳ καὶ τῇ ἄλλῃ πρεσβείᾳ μὴ ὑπεριδεῖν Λακεδαιμονίων ἤρεσε· καὶ Ἀχαιῶν τοὺς τὰς ἀρχὰς ἔχοντας ἐς τὸ συνέδριον ἠξίουν συγκαλέσαι τοὺς Ἀχαιοὺς ἵνα ἐν κοινῷ διδάξωσιν αὐτοὺς ἠπιώτερον μεταχειρίζεσθαι τὰ ἐν Λακεδαίμονι. οἱ δέ σφισιν ἀπεκρίναντο, μήτε
544 ἐκείνοις Ἀχαιοὺς ἐς σύλλογον μήτε ἄλλῳ συνάξειν, ὅστις μὴ ἐπὶ τῷ πράγματι, ἐφ' ὅτῳ ποιεῖται τὴν πρόσοδον, παρὰ τῆς Ῥωμαίων βουλῆς ἔχει δόγμα. Μέτελλος δὲ καὶ οἱ σὺν αὐτῷ ὑπὸ τῶν Ἀχαιῶν περιϋβρίσθαι νομίζοντες, ἐπεὶ δὴ ἀφίκοντο ἐς Ῥώμην, πολλὰ ἐπὶ τῆς βουλῆς καὶ

ad Solis ortum vergunt, auxiliis assumtis, Macedonum regnum everterunt.

Cap. IX. *Sed ut unde huc digressa est revertatur oratio*, Metellus tunc ceterique legati non esse Lacedaemoniorum querelas contemnendas censuerunt. Quare ab Achaeorum magistratibus dari sibi concilium postularunt, quo scilicet pro concione iure aequiore cum Lacedaemoniis agendum Achaeis persuaderent. At enim illi pernegare aut illis, aut aliis quibusvis concilium se daturos, qui, de qua re missi essent, Senatus decretum non attulissent. Metellus, et collegae, quod Achaei se dicto audientes non praebuerant, durius accepere: ac Romam reversi, multa de illis ad invidiam conflandam, neque omnino vera omnia, ad se-

οὐ πάντα τὰ ἀληθῆ κατηγόρουν τῶν Ἀχαιῶν. (2) Τούτων δὲ πλείονα ἐνεκάλουν Ἀχαιοῖς Ἀρεὺς καὶ Ἀλκιβιάδης οἱ Λακεδαιμόνιοι, δόκιμοι μὲν τὰ μάλιστα ἐν τῇ Σπάρτῃ, τὰ δὲ ἐς Ἀχαιοὺς οὐ δίκαιοι. γενομένους γὰρ ὑπὸ Νάβιδος φυγάδας ὑπεδέξαντο αὐτοὺς οἱ Ἀχαιοί· καὶ ἀποθανόντος Νάβιδος παρὰ γνώμην Λακεδαιμονίων τοῦ δήμου κατάγουσιν ἐς Σπάρτην. τότε οὖν ἀναβεβηκότες καὶ οὗτοι παρὰ τὴν βουλὴν προθυμότατα ἐνέκειντο Ἀχαιοῖς· Ἀχαιοὶ δέ σφισιν ἀπελθοῦσιν ἐπιβάλλουσιν ἐν τῷ συνεδρίῳ θάνατον ζημίαν. (3) Ῥωμαίων δὲ ἡ βουλὴ πέμπουσιν ἄλλους τε ἄνδρας, καὶ Ἄππιον Λακεδαιμονίοις καὶ Ἀχαιοῖς τὰ δίκαια ὁρίσαι. Ἄππιος δὲ καὶ οἱ σὺν αὐτῷ ἔμελλον μὲν οὐδὲ ὀφθέντες Ἀχαιοῖς ἔσεσθαι καθ' ἡδονήν, οἳ Ἀρέα καὶ Ἀλκιβιάδην ἅμ' αὐτοῖς ἐπήγοντο ἐν τῷ τότε Ἀχαιοῖς ἐχθίστους. ἐλύπησαν δὲ καὶ ἐς πλέον τοὺς Ἀχαιούς, ἐπειδὴ ἐς τὸν σύλλογον αὐτῶν ἐπελθόντες σὺν ὀργῇ μᾶλλον ἐποιοῦντο ἢ πειθοῖ τοὺς λόγους. Λυκόρτας δὲ ὁ Μεγαλοπολίτης, οὐδὲ ἀξιώματι οὐδενὸς Ἀρ-

natum detulerunt. (2) Sed invidiosius multo Achaeos criminati sunt Areus et Alcibiades Lacedaemonii illi quidem apud suos existimatione summa, sed in Achaeos iniquiores. Nam quum eos Nabis eiecisset, apud Achaeos exularant; moxque ab iisdem, Nabide mortuo, in patriam contra populare Lacedaemoniorum decretum reducti fuerant. Verum et ipsi tunc in senatum Romanum intromissi, in magnam invidiam Achaeos vocarunt. Quare illis Achaei, simulatque Romam abierant, in concilio capitis mulctam irrogant. (3) Romani Appium *Claudium*, et alios legatos miserunt, qui inter Achaeos et Lacedaemonios disceptarent. Sed minime fuit eorum adventus Achaeis gratus. Secum enim illi Areum et Alcibiadem, quos hostes Achaei iudicaverant, habebant. Illud certe homines multo gravius offendit, quod in Achaeorum conventu Romani iracundius, et minime ad persuadendum accommodate verba fecerunt. In eo conventu erat Lycortas Megalopolitanus Arcadum facile princeps, et qui ami-

κάλλιον ὕστερος, καί τι καὶ φρόνημα κατὰ φιλίαν προσειληφὼς τὴν Φιλοποίμενος, λόγῳ τε ἀπέφαινε τὰ ὑπὲρ τῶν Ἀχαιῶν δίκαια, καὶ ὁμοῦ τοῖς λόγοις καὶ μέμψιν τινὰ ὑπέτεινεν ἐς τοὺς Ῥωμαίους. Ἄππιος δὲ καὶ οἱ σὺν αὐτῷ Λυκόρταν λέγοντα ἐποιοῦντο ἐν χλευασμῷ· καὶ Ἀρέως ἀποψηφίζονται καὶ Ἀλκιβιάδα, μηδὲν ἀδίκημα ἐξ αὐτῶν ἐς Ἀχαιοὺς εἶναι, Λακεδαιμονίοις τε ἀποστεῖλαι πρέσβεις ἐφιᾶσιν ἐς Ῥώμην, ἐναντία ἐφιέντες, ἢ Ῥωμαίοις συγκείμενα ἦν καὶ Ἀχαιοῖς. Ἀχαιῶν μὲν γὰρ εἴρητο ἀπὸ τοῦ κοινοῦ παρὰ τὴν Ῥωμαίων βουλὴν ἀπιέναι πρέσβεις· ἰδίᾳ
545 δὲ ἀπείρητο, μὴ πρεσβεύεσθαι τὰς πόλεις, ὅσαι συνεδρίου τοῦ Ἀχαιῶν μετεῖχον. ἀντιπρεσβευσαμένων δὲ καὶ Ἀχαιῶν Λακεδαιμονίοις, καὶ λόγων ῥηθέντων ὑπὸ ἀμφοτέρων ἐπὶ τῆς βουλῆς, τοὺς αὐτοὺς ἀποστέλλουσιν αὖθις οἱ Ῥωμαῖοι Λακεδαιμονίοις γενέσθαι καὶ Ἀχαιοῖς δικαστὰς, Ἄππιον καὶ ὅσοι σὺν ἐκείνῳ πρότερον ἐς τὴν Ἑλλάδα ἀφίκοντο. οἱ δὲ τούς τε ἐκβληθέντας ὑπὸ Ἀχαιῶν κατάγουσιν ἐς Σπάρτην, καὶ ὅσων πρὸ κρίσεως ἀπελθόντων κα-

citia Philopoemenis fretus, animum paulo elatiorem ad sententiam dicendam afferebat. Is causam Achaeorum summa libertate dixit, et Romanos etiam oratione sua nonnihil pupugit. Legati Lycortae dicta quasi illudentes pro nihilo habere: quin Areum et Alcibiadem sententia sua nihil grave in Achaeos commisisse declararunt: et Lacedaemoniis ut Romam legatos mitterent concesserunt, contra quam inter Achaeos et Romanos convenerat. decretum enim fuerat, publice ab Achaeorum concilio legatos ad senatum Romanum esse mittendos: atque interdictum, ne qua ex Achaeorum consessu civitas privatam legationem moliretur. Missa etiam ab Achaeis contraria legatio est. Quum multis utrinque disceptationibus in Senatu res agitata fuisset, eosdem iterum legatos, Romani misere, eiusque legationis principem Appium cum liberis mandatis de Achaeis et Lacedaemoniis, quod visum esset, statuendi. Ii primo statim adventu, et quos Achaei exilio multassent, Spartam reduxerunt; mul-

τέγνωστο ὑπὸ τῶν Ἀχαιῶν ἀδικεῖν, καὶ τὰ ἐπὶ τούτοις τιμήματα ἔλυσαν· καὶ συντελείας μὲν Λακεδαιμονίους ἐς τὸ Ἀχαϊκὸν οὐκ ἀφιᾶσι· πέρι δὲ τῇ ἑκάστου ψυχῇ ξενικά σφισι διδόασιν εἶναι δικαστήρια, ὅσα τε ἄλλα ἐγκλήματα, λαμβάνειν τε αὐτοὺς καὶ ἐν τῷ Ἀχαϊκῷ ὑπέχειν τὰς κρίσεις. (4) Ἐτειχίσθη δὲ καὶ ἐξ ἀρχῆς αὖθις Σπαρτιάταις ὁ κύκλος τοῦ ἄστεως. Λακεδαιμονίων δὲ οἱ κατελθόντες, βουλεύοντες παντοῖα ἐπὶ Ἀχαιοῖς, λυπήσειν σφᾶς ἐπὶ τοιῷδε μάλιστα ἤλπιζον. Μεσσηνίους τοὺς Φιλοποίμενι θανάτου συναιτίους γενέσθαι νομισθέντας, καὶ κατὰ αἰτίαν ταύτην ὑπὸ Ἀχαιῶν ἐκπεπτωκότας, τούτους τε καὶ Ἀχαιῶν αὐτῶν τοὺς φεύγοντας ἀναβῆναι πείθουσιν ἐς Ῥώμην· σὺν δέ σφισιν ἀνεληλυθότες καὶ αὐτοὶ γενέσθαι τοῖς ἀνδράσιν ἔπρασσον κάθοδον. (5) Ἅτε δὲ τοῦ Ἀππίου Λακεδαιμονίοις συμπροθυμουμένου μεγάλως, Ἀχαιοῖς δὲ ἐπὶ παντὶ ἀντιβαίνοντος, ἔμελλεν οὐ χαλεπῶς Μεσσηνίων καὶ Ἀχαιῶν τοῖς φεύγουσι τὰ βουλεύματα ἐς

ctamque remiserunt iis qui, quod ante causae cognitionem discessissent, ab Achaeis iniuriatum erant damnati. Ac Lacedaemonios quidem ab Achaico concilio non liberant, sed capitis iudicia penes exteros illis esse volunt: de caeteris criminibus et accusare illos et accusari in Achaico concilio posse. (4) Novo denique murorum ambitu Spartanum oppidum muniendum curarunt. Recepta exules patria, consilia sua ad Achaeos exagitandos omnia contulerunt, quocirca hoc se illos pacto probe ulcisci posse sperantes, Messeniis iis, qui eius coniurationis, qua Philopoemen occisus fuerat, participes fuisse indicati fuerant, eamque ob causam exilio ab Achaeis mulctati erant, iis, inquam, et Achaeorum praeterea exulibus, persuasere, ut Romam querelas ad Senatum deferrent. Et iis quidem, quum et ipsi adfuissent, haud magno negotio reditum confecerunt. (5) Favente enim summo studio Lacedaemoniis Appio, Achaeorum vero causam acriter impugnante, ea Senatus decrevit, quae maxime voluerunt Messenii et Achaei exules. Missae itaque Athenas

δέον χωρήσειν. γράμματα δὲ αὐτίκα ὑπὸ τῆς βουλῆς ἔς τε Ἀθήνας κατεπέμπετο καὶ ἐς Αἰτωλίαν, κατάγειν σφᾶς Μεσσηνίους καὶ Ἀχαιοὺς ἐπὶ τὰ οἰκεῖα. τοῦτο Ἀχαιοὺς
546 ἐς τὰ μάλιστα ἠνίασεν, ὡς οὔτε ἄλλως πάσχοντας δίκαια ὑπὸ Ῥωμαίων, καὶ ἐς τὸ ἀνωφελὲς προϋπηργμένων σφίσιν ἐς αὐτούς· οἳ ἐπὶ τὰ Φιλίππου, καὶ Αἰτωλῶν ἐναντία καὶ αὖθις Ἀντιόχου στρατεύσαντες χάριτι ἐς Ῥωμαίους, ἐγίνοντο ὕστεροι φυγάδων ἀνθρώπων καὶ οὐ καθαρῶν χεῖρας. ὅμως δὲ εἴκειν σφίσιν ἐδόκει. τότε μὲν δὴ ἐς τοσοῦτον ἐπράχθη.

CAPUT X.

Proditionis patriae varia exempla apud plures gentes enumerantur — Achaei per Callicratem proditi Romanis obnoxii redduntur.

Τολμημάτων δὲ τὸ ἀνοσιώτατον, τὴν πατρίδα καὶ ἄνδρας προδιδόναι πολίτας ἐπὶ οἰκείοις κέρδεσιν, ἔμελλε καὶ Ἀχαιοῖς κακῶν ἄρξειν, οὔποτε ἐκ τοῦ χρόνου παντὸς τὴν Ἑλλάδα ἐκλιπόν. ἐπὶ μέν γε Δαρείου τοῦ Ὑστάσπου βα-

et in Aetoliam literae, *quibus imperabant Romani*, ut Messeniis et Achaeis exulibus suum unicuique ius, suaque bona restituerentur. Vehementer haec res animos Achaeorum commovit, praesertim quum se et ante iniuriosius a Romanis tractatos interpretarentur, et sua in Romanos pristina merita, non fuisse, qua sperarant gratia, excepta viderent, quum, qui contra Philippum, Aetolos, Antiochum, egregiam Romanis operam navassent, iam exulibus, et iis hominibus, qui incestas manus haberent, postponerentur: imperata tamen sibi facienda, ac temperi parendum duxerunt.

Cap. X. Atque ea quidem perditissimorum hominum perversitas, qui patriae salutem hostibus vendere nihil verentur, Achivis exitio fuit. Neque vero scelus hoc ut semel in Graecia usurpari coeptum est, ullum finem reperit. Dario primum Hystaspis filio in Persis regnante, Ionum res

λεύοντος Περσῶν Ἴωσι τὰ πράγματα ἐφθάρη, Σαμίων πλὴν ἑνός τε καὶ δέκα ἀνδρῶν, τῶν ἄλλων τριηράρχων τὸ ναυτικὸν τὸ Ἰώνων προδόντων. Μετὰ δὲ Ἴωνας κεχειρωμένους ἠνδραποδίσαντο καὶ Ἐρέτριαν Μῆδοι· προδόται δὲ ἐγένοντο οἱ εὐδοκιμοῦντες μάλιστα ἐν Ἐρετρίᾳ Φίλαγρος Κυνέου καὶ Εὔφορβος Ἀλκιμάχου. Ξέρξῃ δὲ ἐπὶ τὴν Ἑλλάδα ἐλαύνοντι, Θεσσαλία τε δι' Ἀλευαδῶν προεδόθη· Θήβας δὲ Ἀτταγῖνος καὶ Τιμηγενίδας προεδόσαν, φερόμενοι τὰ πρῶτα ἐν Θήβαις. Πελοποννησίων δὲ καὶ Ἀθηναίων πολεμησάντων, Ξενίας Ἠλεῖος ἐπεχείρησεν Ἦλιν Λακεδαιμονίοις καὶ Ἄγιδι προδοῦναι. Οἵ τε Λυσάνδρου καλούμενοι ξένοι χρόνον οὐδένα ἐπαύσαντο πατρίδας ἐγχειρίζοντες Λυσάνδρῳ τὰς ἑαυτῶν. Κατὰ δὲ τὴν Φιλίππου βασιλείαν τοῦ Ἀμύντου Λακεδαίμονα πόλεων μόνην οὐ προδοθεῖσαν τῶν ἐν Ἕλλησιν εὕροι τις ἄν· αἱ δὲ ἄλλαι πόλεις αἱ ἐν τῇ Ἑλλάδι ὑπὸ προδοσίας μᾶλλον, ἢ ὑπὸ νόσου πρότερον τῆς λοιμώδους ἐφθάρησαν. Ἀλεξάνδρῳ δὲ τῷ Φιλίππου παρέσχεν ἡ εὐτυχία

afflictae prope sunt, classe prodita ab omnibus Samiorum triremium praefectis, undecim duntaxat exceptis. Post oppressos Ionas subegerunt Eretriam Persae, quum civitatis suae principes Philagrus Cynei filius, et Alcimachi Euphorbus, patriam suam hostibus prodidissent. Nam Xerxi in Graeciam irruenti Thessaliam Aleuadae; Thebas Attaginus et Timagenidas Thebanorum primores prodiderunt. At Peloponnesiaco bello, quod inter Athenienses et Spartanos gestum est, Agidi, Lacedaemoniorum duci, Xenias Eleus Elin ipsam tradere est aggressus. Lysandro dehinc, qui hospites eius appellabantur, donec patrias proderent suas, quiescere nunquam potuerunt. Philippo vero Amyntae filio ad Graeciae imperium adspirante, unam invenias proditionis immunem Spartam: ceteras Graecorum urbes non magis pestilentia superiorum temporum, quam proditiones deleverunt. Alexandri felicitas effecit, ut nullum magnopere insigne pro-

μικρὰ ἀνθρώπων προδοτῶν καὶ οὐκ ἀξία λόγου προσθηθῆναι. Ἐπεὶ δὲ τὸ ἐν Λαμίᾳ πταῖσμα ἐγένετο Ἕλλησιν,
547 Ἀντίπατρος μὲν, ἅτε διαβῆναι ποιούμενος σπουδὴν πρὸς τὸν ἐν τῇ Ἀσίᾳ πόλεμον, ἐβούλετο εἰρήνην ἐν τάχει συνθέσθαι, καί οἱ διέφερεν οὐδὲν, εἰ Ἀθήνας τε ἐλευθέραν καὶ τὴν πᾶσαν Ἑλλάδα ἀφήσει. Δημάδης δὲ καὶ ὅσον προδοτῶν Ἀθήνησιν ἄλλο ἦν, ἀναπείθουσιν Ἀντίπατρον, μηδὲν ἐς Ἕλληνας φρονῆσαι φιλάνθρωπον· ἐκφοβήσαντες δὲ Ἀθηναίων τὸν δῆμον, ἔς τε Ἀθήνας καὶ πόλεων τῶν ἄλλων τὰς πολλὰς ἐγένοντο αἴτιοι Μακεδόνων ἐσαχθῆναι φρουράς. βεβαιοῖ δέ μοι καὶ τόδε τὸν λόγον· Ἀθηναῖοι γὰρ μετὰ τὸ ἀτύχημα τὸ ἐν Βοιωτοῖς οὐκ ἐγένοντο Φιλίππου κατήκοοι, ἀλόντων μέν σφισι δισχιλίων, ὡς ἐκρατήθησαν, παρὰ τὸ ἔργον, χιλίων δὲ φονευθέντων· ἐν Λαμίᾳ δὲ περὶ διακοσίους πεσόντων, καὶ οὐ πλέον τι, Μακεδόσιν ἐδουλώθησαν. οὕτω μὲν οὔποτε τὴν Ἑλλάδα ἐξέλιπεν οἱ ἐπὶ προδοσίᾳ νοσήσαντες. (2) Ἀχαιοὺς δὲ

ditionis exemplum, quo res eius adiutae fuerint, possit commemorari. Post acceptam ad Lamiam cladem quum Antipater festinaret in Asiam transmittere, conversisque ad illud bellum opibus, facile videretur Atheniensibus pacem daturus, quod rationibus suis minime alienum putabat, si Athenas ipsas, atque adeo universam Graeciam liberam esse sineret, Demades, et alii consiliorum socii, homini a sententia orationis sua deducto, nihil mite aut benignum in Graecos cogitandum persuaserunt: quin quum Atheniensem populum vehementer perterrefactum viderent, et Athenis, et aliis urbibus ut Macedonum imponerentur praesidia, auctores fuere. Confirmat orationem meam rerum eventus. Athenienses enim etsi magnam acceperant in Boeotiis cladem, bis mille ex acie sua captis, mille occisis, non continuo tamen Philippi imperata fecerunt. Ad Lamiam vero ducentis ferme ac nihilo pluribus militibus amissis, Macedonibus succubuere. Atque ita nullis temporibus haec proditionum quasi pestis quaedam, Graeciae desiit negotium facessere. (2) Achaeos

ἀνὴρ Ἀχαιὸς Καλλικράτης τηνικαῦτα ἐς ἅπαν ἐποίει Ῥωμαίοις ὑποχειρίους. ἀρχὴ δέ σφισιν ἐγίνετο κακῶν Περσεὺς καὶ ἡ Μακεδόνων ἀρχὴ καταλυθεῖσα ὑπὸ Ῥωμαίων. Περσεῖ γὰρ τῷ Φιλίππου πρὸς Ῥωμαίους ἄγοντι εἰρήνην κατὰ συνθήκας, ἃς ὁ πατήρ οἱ Φίλιππος ἐποιήσατο, ἐπῆλθεν ὑπερβῆναι τοὺς ὅρκους, καὶ ἐπί τε Σαπαίων τὸν βασιλέα Ἀβρούπολιν στράτευμα ἀγαγὼν, ἐποίησεν ἀναστάτους Ῥωμαίων συμμάχους ὄντας. Σαπαίων δὲ τούτων καὶ Ἀρχίλοχος ἐν ἰάμβῳ μνήμην ἔσχε. Μακεδόνων δὲ καὶ Περσέως κεχειρωμένων πολέμῳ διὰ τὸ ἐς Σαπαίους
ἀδίκημα, ἄνδρες τῆς Ῥωμαίων βουλῆς δέκα ἐπέμφθησαν, 548
καταστησόμενοι πρὸς τὸ ἐπιτηδειότατον Ῥωμαίοις τὰ ἐν Μακεδονίᾳ. ἥκοντας δὲ ἐς τὴν Ἑλλάδα ὑπήρχετο ὁ Καλλικράτης, οὔτε ἔργον τῶν ἐς τὴν κολακείαν, οὔτε λόγον οὐδένα ἐς αὐτοὺς παριείς. ἕνα δέ τινα ἐξ αὐτῶν ἄνδρα οὐδαμῶς ἐς δικαιοσύνην πρόθυμον, τοῦτον τὸν ἄνδρα προσεποιήσατο ὁ Καλλικράτης ἐς τοσοῦτον, ὥστε αὐτὸν καὶ ἐς τὸ συνέδριον ἐσελθεῖν τὸ Ἀχαιῶν ἔπεισεν. ὁ δὲ ὡς ἐς τὸν σύλλογον ἐσῆλθεν, ἔλεγεν, ὡς πολεμοῦντι πρὸς

quidem Callicratis Achaei hominis perfidia Romanis parere coegit. Initia tamen malorum omnium Achaeis, Persei regis et Macedonici imperii exitium, importarunt. Nam quum Perseus ictum cum Romanis a Philippo patre foedus violasset, regemque Sapaeorum (quorum facit in iambicis mentionem Archilochus) Abro urbe expugnata, populi Romani socium et amicum sedibus expulisset suis, et Romani ulti sociorum iniurias, Perseum ipsum totumque eius regnum in potestatem suam redegissent, missi a Romano Senatu sunt decem legati ad Macedoniae res, uti in rem suam foret maxime, ordinandas. Eos omni obsequii, et ad assentationem appositae orationis genere Callicrates circumvenire aggressus, ex illis etiam unum ad iustitiam tuendam minime propensum, in consilium produxit. Is frequentissimo Achaeorum conventu *criminose* queri coepit, a potentioribus pecunia et aliis studiorum significationibus contra Romanos Perseum

Ῥωμαίους Περσεῖ χρήματα οἱ δυνατώτατοι τῶν Ἀχαιῶν παράσχοιεν, συνάραιντο δὲ καὶ ἐς τὰ ἄλλα· ἐκέλευσεν οὖν καταγνῶναι τοὺς Ἀχαιοὺς θάνατον· εἰ δὲ ἐκεῖνοι καταγνοῖεν, τότε καὶ αὐτὸς τὰ ὀνόματα ἐρεῖν ἔφασκε τῶν ἀνδρῶν. λέγειν τε δὴ ἐδόκει παντάπασιν ἄδικα, καὶ αὐτὸν ἠξίουν οἱ ἐς τὸν σύλλογον ἐληλυθότες ἤδη, εἰ Περσεῖ τὰ αὐτὰ Ἀχαιῶν τινες ἔπραξαν, ὀνόματι αὐτῶν ἑκάστου μνησθῆναι, πρότερον δὲ οὐ σφᾶς καταγινώσκειν εἰκὸς εἶναι. ἔνθα δὲ ὡς ἠλέγχετο ὁ Ῥωμαῖος, ἀπετόλμησεν εἰπεῖν, ὡς οἱ ἐστρατηγηκότες Ἀχαιῶν ἐνέχονται πάντες τῇ αἰτίᾳ· πάντας γὰρ φρονῆσαι τὰ Μακεδόνων τε καὶ Περσέως. ὁ μὲν δὴ ταῦτα ἔλεγεν ὑπὸ διδασκαλίᾳ τῇ Καλλικράτους. ἀναστὰς δὲ μετ' αὐτὸν Ξένων, (οὗτος οὐκ ἐλαχίστου λόγου παρ' Ἀχαιοῖς) οὕτως, ἔφη, κατὰ τὴν αἰτίαν ἔχει ταύτην· ἐστρατήγησα μὲν Ἀχαιῶν καὶ ἐγὼ, ἀδικίας δὲ οὐδὲν ἐς Ῥωμαίους, οὔτε εὐνοίας μοι μέτεστιν ἐς Περσέα· καὶ τοῦδε εἵνεκα ἐθέλω μὲν ἐν συνεδρίῳ τῷ Ἀχαιῶν, ἐθέλω δὲ καὶ ἐν αὐτοῖς Ῥωμαίοις ὑπέ-

adiutum: postulare ut capitalis rei damnarentur: se damnatos demum suo quenque nomine indicaturum. Id enimvero periniquum universae concioni videri; contendere, ut quos diceret Perseo favisse, palam nominaret: iure omnino non esse quenquam condemnari, cuius nondum esset nomen delatum. Ibi Romanus, quum ab omnibus eius postulatio coargueretur, ex composito nominare non dubitavit omnes, qui praetores Achaeorum exercitus duxissent; et omnes affirmare eam noxam commisisse, quod scilicet Persei partes fovissent. Haec ille, a Callicrate subornatus. Tunc Xenon non minimae inter Achaeos auctoritatis vir: Quod ad hoc (inquit) crimen attinet, ipse etiam Achaeorum copiis praefui: sed neque ulla unquam Romanos in re laesi, neque ulla mihi omnino fuit cum Perseo amicitia: atque huius quidem criminis vel in Achaeorum conventu, vel in ipso Romanorum Senatu non dubitarim iudicium sustinere.

γυναικείαν. ὁ μὲν δὴ ὑπὸ συνειδότος ἐπεφθέγξατο ἀγαθοῦ· ὁ δὲ ὑπελάβετο αὐτίκα ὁ Ῥωμαῖος τῆς προφάσεως, καὶ ὁπόσοις Καλλικράτης ἐπῆγεν αἰτίαν, Περσεῖ σφᾶς φρονῆσαι τὰ αὐτά, ἀνέπεμπεν ἐν δικαστηρίῳ πρὸ σφίσιν τῷ Ῥωμαίων ὑφέξοντας· ὃ μήπω κατειλήφει πρότερον Ἕλληνας. οὔτε γὰρ Μακεδόνων οἱ ἰσχύσαντες μέγιστον, Φίλιππος Ἀμύντου καὶ Ἀλέξανδρος, τοὺς ἀνθεστηκότας σφίσιν Ἑλλήνων ἐς Μακεδονίαν ἐβιάσαντο ἀποσταλῆναι, 549
διδόναι δὲ αὐτοὺς ἐν Ἀμφικτυόσιν εἴων λόγον. τότε δὲ ἐκ τοῦ Ἀχαιῶν ἔθνους, ὅντινα καὶ ἀναίτιον Καλλικράτης ἐθελήσειεν αἰτιάσασθαι, ἀνάγεσθαι πάντα τινὰ ἐκεκύρωτο ἐς Ῥώμην· καὶ ἐγένοντο ὑπὲρ χιλίους οἱ ἀναχθέντες. τούτους ὑπὸ Ἀχαιῶν οἱ Ῥωμαῖοι προκατεγνῶσθαι νομίζοντες, ἔς τε Τυρσηνίαν καὶ ἐς τὰς ἐκεῖ διέπεμψαν πόλεις, καὶ Ἀχαιῶν ἄλλοτε ἄλλας ὑπὲρ τῶν ἀνδρῶν πρεσβείας τε καὶ ἱκεσίας ἐπιπεμπόντων λόγον ἐποιοῦντο οὐδένα. ἑπτακαιδεκάτῳ δὲ ὕστερον ἔτει τριακοσίους ἢ καὶ

Hoc a Xenone dictum ex innocentiae conscientia fidenter, arripuit Romanus tanquam accommodatum fraudi suae consilium. Quare quoscunque in proditionis crimen Callicrates vocarat, eos omnes Romam ad causam dicendam mitti imperat. Novum id fuit et inusitatum Graecis. Neque enim aut Philippus Amyntae filius, aut Alexander, qui Macedoniae regum longe potentissimi fuere, adversarios unquam suos e Graecia in Macedoniam disceptandi causa mitti postularunt; sed facile passi sunt, quibus de rebus ambigeretur, ab Amphictyonibus cognosci. At Romani tunc Achaeorum quemcunque, cuius modo nomen Callicrates detulisset, nocentem innocentemve, Romam edicto suo deduci imperarunt. Fuerunt, qui deducti sunt plures fere quam mille: quos Senatus, quasi Achaeorum praeiudicio damnatos, *in publicas custodias* per Hetruriae oppida diviserunt. Alios deinde super alios ab Achaeis missos legatos, et deprecatores, nihili omnino fecerunt. Post septimum ac decimum demum annum, trecentos ferme viros atque eo etiam pau-

ἐλάσσονας, οἳ μόνοι περὶ Ἰταλίαν Ἀχαιῶν ἔτι ἐλείποντο, ἀφιᾶσιν, ἀποχρώντως κολασθῆναι σφᾶς ἡγούμενοι. ὅσοι δὲ ἀποδράντες ᾤχοντο, ἢ εὐθὺς, ἡνίκα ἀπήγοντο ἐς Ῥώμην, ἢ ὕστερον ἐκ τῶν πόλεων, ἐς ἃς ὑπὸ Ῥωμαίων ἐκπεμφθῆσαν, πρόφασις οὐδεμία ἦν, τούτους ἁλόντας μὴ ὑποσχεῖν δίκην.

CAPUT XI.

Gallus a Romanis iudex in Graeciam missus plures civitates a conventu Achaeorum disiungit — de Atheniensium et Oropiorum contentionibus — Achaei Oropiis opem ferre decernunt.

Ῥωμαῖοι δὲ αὖθις ἄνδρα ἐκ τῆς βουλῆς καταπέμπουσιν ἐς τὴν Ἑλλάδα. ὄνομα μὲν τῷ ἀνδρὶ ἦν Γάλλος, ἀπέσταλτο δὲ Λακεδαιμονίοις καὶ Ἀργείοις ὑπὲρ τῆς ἀμφισβητουμένης γῆς γενέσθαι δικαστής. οὗτος ὁ Γάλλος ἐς τὸ Ἑλληνικὸν πολλὰ μὲν εἶπε, πολλὰ δὲ καὶ ἔπραξεν ὑπερήφανα, Λακεδαιμονίους δὲ καὶ Ἀργείους τοπαράπαν ἔθετο ἐν χλευασίᾳ. πόλεσι γὰρ ἐς τοσοῦτον ἡκούσαις ἀξιώματος, καὶ ὑπὲρ τῶν ὅρων τῆς χώρας τὰ μὲν παλαιότερα ἐς οὐκ ἀφανῆ πόλεμον καὶ ἔργα οὕτως ἀφειδῶς

ciores, qui ex omni Achaeorum numero reliqui erant in Italia, *e custodiis* dimiserunt, satis iam eos poenarum dedisse rati. At eos, qui effugere conati sunt, vel ex ipso itinere antequam Romam perducerentur, vel ex iis, in quas relegati fuerant urbibus, a fuga retractos, nulla accepta excusatione, capitali supplicio affecerunt.

Cap. XI. Miserunt etiam Romani ad dirimendas inter Lacedaemonios et Argivos de finibus controversias senatorium virum *Sulpicium* Gallum: qui multa et dixit et fecit insolenter, et plane utramque civitatem ludibrio habuit. Namque rerum gestarum gloria aliquando floruerant, quaeque de agrorum finibus magno et diutino bello certaverant,

προαχθείσαις, κριθείσαις δὲ καὶ ὕστερον παρὰ δικαστῇ κοινῷ Φιλίππῳ τῷ Ἀμύντου, αὐτὸς μέν σφισιν ὁ Γάλλος ἀπηξίωσε δικαστὴς καταστῆναι· Καλλικράτει δὲ ἁπάσης τῆς Ἑλλάδος ἀνδρὶ ἀλάστορι ἐπιτρέπει τὴν κρίσιν. 550
ἀφίκοντο δὲ ὡς τὸν Γάλλον καὶ Αἰτωλῶν οἱ Πλευρῶνα οἰκοῦντες, συντελείας τῆς ἐς Ἀχαιοὺς ἐθέλοντες ἄφεσιν εὕρασθαι. καὶ αὐτοῖς ἐπετράπη μὲν ὑπὸ τοῦ Γάλλου πρεσβείαν ὑπὸ σφῶν αὐτῶν ἰδίᾳ παρὰ Ῥωμαίους ἀποστεῖλαι, ἐπετράπη δὲ ὑπὸ Ῥωμαίων συνεδρίου Ἀχαιῶν ἀποστῆναι. προσεπεστάλη δὲ ὑπὸ τῆς βουλῆς τῷ Γάλλῳ, πόλεις ὁπόσας ἐστὶν οἷός τε ὡς πλείστας ἀφελέσθαι συλλόγου τοῦ Ἀχαιῶν. ὁ μὲν δὴ τὰ ἐντεταλμένα ἐποίει. (2) Ἀθηναίων δὲ ὁ δῆμος ἀνάγκῃ πλέον ἢ ἑκουσίως διαρπάζουσιν Ὠρωπὸν ὑπήκοόν σφισιν οὖσαν· πενίας γὰρ ἐς τὸ ἔσχατον Ἀθηναῖοι τηνικαῦτα ἧκον, ἅτε ὑπὸ Μακεδόνων πολέμῳ πιεσθέντες μάλιστα Ἑλλήνων. καταφεύγουσιν οὖν ἐπὶ τὴν Ῥωμαίων βουλὴν οἱ Ὠρώπιοι· καὶ δόξαντες παθεῖν οὐ δίκαια, ἐπεστάλη Σικυωνίοις ὑπὸ τῆς βουλῆς, ἐπιβαλεῖν σφᾶς Ἀθηναίοις ἐς Ὠρωπίους ζημίας

eas hic dignas non putavit, quarum causam cognosceret, quum et Philippum antea Amyntae filium disceptatorem habuissent: sed eam Gallus *totam* cognitionem ad Callicratem impurissimum hominem, cunctaeque Graeciae infensissimum, reiecit. Praeterea quum Aetoli e Pleurone ad eum venientes, seiungi se ab Achaeorum concilio postulassent, eis permisit, ut suis propriis auspiciis legatos Romam mitterent. Est vero Senatus auctoritate eorum ab Achaeis defectio comprobata; et Sulpicio mandatum, ut quam posset plurimas civitates ab Achaeorum conventu disiungeret: quod ille impigre effectum reddidit. (2) Interea quum Athenienses egestate potius, quam libera voluntate impulsi sociam civitatem Oropum diripuissent, nempe qui Macedonico bello rebus accisis, Graecorum iam prope omnium essent egentissimi; Rom. Senatum Oropii appellarunt. Qui quum iniuriam factam illis censuisset, Sicyonios iussit ab Athenien-

κατὰ τῆς βλάβης, ἧς ἦρξαν, τὴν ἀξίαν. Σικυώνιοι μὲν οὖν οὐκ ἀφικομένοις ἐς καιρὸν τῆς κρίσεως Ἀθηναίοις ζημίαν πεντακόσια τάλαντα ἐπιβάλλουσι· Ῥωμαίων δὲ ἡ βουλὴ δεηθεῖσιν Ἀθηναίοις ἀφίησι, πλὴν ταλάντων ἑκατὸν, τὴν ἄλλην ζημίαν. ἐξέτισαν δὲ οὐδὲ ταῦτα οἱ Ἀθηναῖοι, ἀλλὰ ὑποσχέσεσι καὶ δώροις ὑπελθόντες Ὠρωπίους, ὑπάγονται σφᾶς ἐς ὁμολογίαν, φρουράν τε Ἀθηναίων ἐσελθεῖν ἐς Ὠρωπὸν, καὶ ὁμήρους λαβεῖν παρ' Ὠρωπίων Ἀθηναίους· ἢν δὲ αὖθις ἐς Ἀθηναίους γένηται ἔγκλημα Ὠρωπίοις, τὴν φρουρὰν τότε ἀπάγειν παρ' αὐτῶν Ἀθηναίους, ἀποδοῦναι δὲ καὶ ὀπίσω τοὺς ὁμήρους. χρόνος τε δὴ οὐ πολὺς ὁ μεταξὺ ἤνυστο, καὶ τῶν φρουρῶν ἀδικοῦσιν ἄνδρες Ὠρωπίους. οἱ μὲν δὴ ἐς τὰς Ἀθήνας ἀπέ-
551 στελλον ὁμήρους τε ἀπαιτήσοντας, καὶ φρουράν σφισιν ἐξάγειν κατὰ τὰ συγκείμενα ἐροῦντας. Ἀθηναῖοι δὲ οὐδέτερα ἔφασαν ποιήσειν, ἀνθρώπων γὰρ τῶν ἐπὶ τῇ φρουρᾷ, καὶ οὐ τοῦ Ἀθηναίων δήμου τὸ ἁμάρτημα εἶναι· τοὺς μέντοι αὐτὰ εἰργασμένους ἐπηγγέλλοντο σφί-

sibus multam petere, quanti scilicet illatam Oropiis iniuriam ipsi aestimassent. Sicyonii, quum diem iudicii non obissent Athenienses multam illis talentum quingentorum irrogarunt. Recusantes eam pendere Athenienses, ad Senatum Rom. provocarunt; cuius decreto omnis ea multa ad C duntaxat talenta redacta est; quod ipsum etiam non est persolutum. Quin Oropios tum promissis, tum muneribus delinitos adduxerunt Athenienses, ut obsidibus datis praesidium intra oppidum acciperent; ea tamen lege, ut si novae factae essent ab Atheniensibus iniuriae, et praesidium, quod imposuissent, ultro deducerent, et obsides redderent. Non ita multo post a praesidiariis in oppidanos iniuriae factae. Quocirca legatis *expostulatum* Athenas missis, contendebant Oropii, ut ex pacto convento et praesidium deduceretur, et obsides redderentur. Verum non esse publicas illas populi iniurias Athenienses responderunt, sed paucorum, qui in praesidio eo fuissent; et illos, quam commeruissent, poe-

ξειν δίκην. (8) Οἱ δὲ Ὠρώπιοι καταφεύγοντες ἐπὶ Ἀχαιοὺς, τιμωρῆσαί σφισιν ἐδέοντο. Ἀχαιοῖς δὲ ἤρεσκε μὴ τιμωρεῖν, φιλίᾳ τε καὶ αἰδοῖ τῇ Ἀθηναίων. ἐνταῦθα οἱ Ὠρώπιοι Μεναλκίδᾳ, Λακεδαιμονίῳ μὲν γένος, στρατηγοῦντι δὲ ἐν τῷ τότε Ἀχαιῶν, ὑπισχνοῦνται δέκα ταλάντων δόσιν, ἤν σφισιν ἐπικουρεῖν Ἀχαιοὺς ἄγῃ· ὁ δὲ ἀπὸ τῶν χρημάτων μεταδώσειν Καλλικράτει τὸ ἥμισυ ὑπισχνεῖτο, ἰσχύοντι διὰ φιλίαν τὴν Ῥωμαίων ἐν Ἀχαιοῖς μέγιστον. προσγενομένου δὲ τοῦ Καλλικράτους πρὸς τὴν Μεναλκίδου γνώμην, ἐπεκύρωτο κατὰ Ἀθηναίων ἀμύνειν Ὠρωπίοις· καί τις ἐξαγγέλλει ταῦτα ἐς τοὺς Ἀθηναίους. οἱ δὲ, ὡς ἕκαστος τάχους εἶχεν, ἐς τὸν Ὠρωπὸν ἐλθόντες, καὶ αὖθις κατασύραντες, εἴ τι ἐν ταῖς προτέραις παρεῖτό σφισιν ἁρπαγαῖς, ἀπάγουσι τὴν φρουράν. Ἀχαιοὺς δὲ ὑστερήσαντας τῆς βοηθείας Μεναλκίδας μὲν καὶ Καλλικράτης ἐσβάλλειν ἐς τὴν Ἀττικὴν ἔπειθον· ἀνθισταμένων δὲ ἄλλων τε αὐτοῖς καὶ οὐχ ἥκιστα τῶν ἐκ Λακεδαίμονος, ἀνεχώρησεν ὀπίσω τὸ στράτευμα.

nam suscepturos. (8) At Oropii Achaeorum auxilium implorarunt. Quod quum illi ferendum non censerent, amicitiam, quae sibi cum Atheniensibus intercedebat, veriti, Menalcidae homini Spartano quidem, sed qui tunc copiis Achaeorum imperabat, x talenta se daturos pollicentur, si Achaeorum sibi auxilium praesto ut esset effecisset. Menalcidas quum intelligeret, magnas esse propter Romanorum amicitiam, inter Achaeos Callicratis opes, cum illo aequa parte precium communicat. Porro coniunctis studiis efficiunt, ut Oropiis adversus Athenienses auxilium decernatur. Id quum rescissent Athenienses, quanta maxime potuerunt celeritate Oropum adorti, praedae superioris reliquiis, si quae forte supererant, asportatis, praesidium deducunt. Achaeis quum serius quam oportuerat auxilium misissent, persuadent Menalcidas et Callicrates, ut Atticam terram hostiliter invadant. Verum quum et ex aliis Graeciae partibus, et e Lacedaemone ad hostem repellendum auxilia convenissent, exercitum Achaei suum domum reportarunt.

CAPUT XII.

Menalcidas Lacedaemonius perfidia superat Callicratem — Diaei fraude bellum inter Lacedaemonios et Achaeos conflatur, ad quod componendum senatus Romanorum legatos mittit.

Ὠρώπιοι δὲ, καὶ ὠφελείας σφίσιν οὐ γενομένης τῆς παρὰ Ἀχαιῶν, ὅμως ὑπὸ Μεναλκίδα τὰ χρήματα ἐξεπράχθησαν. ὁ δὲ ὡς τὸ δωροδόκημα εἶχεν ἐν χερσὶ, ἐποιεῖτο συμφορὰν, εἰ καὶ Καλλικράτει μεταδώσει τῶν λημμάτων. τὰ μὲν δὴ πρῶτα ἀναβολαῖς καὶ ἀπάταις ἐχρῆτο ἐς τὴν δόσιν· μετὰ δὲ οὐ πολὺ ἐτόλμησεν ἀποστερεῖν ἐκ τοῦ εὐθέος. βεβαιοῖ δὴ τὸ λεγόμενον· ὡς ἄρ' ἦν καὶ πῦρ ἐς
552 ***πλέον ἄλλου πυρὸς καῖον, καὶ λύκος ἀγριώτερος λύκων ἄλλων, καὶ ὠκύτερος ἱέραξ ἱέρακος πέτεσθαι· εἴγε καὶ Καλλικράτην ἀνοσιώτατον τῶν τότε Μεναλκίδας [μὲν] ὑπερῆρεν ἀπιστίᾳ, Καλλικράτην, ὃς ἐλάσσων παντοίου λήμματος, καὶ ἐπὶ οὐδενὶ οἰκείῳ κέρδει πόλει τῇ Ἀθηναίων ἀπηχθημένος, παυσάμενον [μὲν] τῆς ἀρχῆς Με-***

Cap. XII. Ab Oropiis certe, etsi nulla ex parte ad eorum salutem quicquam profecerat Achaeorum societas, promissum tamen Menalcidas precium exegit. Quo ille accepto, alienum omnino rationibus suis putavit, quaestus participem Callicratem facere. Quare hominem primum exspectationibus eludere, mox dolo circumvenire; postremo aperte etiam fraudare. Quae res vetus illud verum esse declaravit:

Et ignis est alio magis, qui urat igne,
Lupisque saevior lupus est aliis,
Accipiter ocius accipitre volat,
Si Callicratem ipsum immaniorem ante alios
Superavit perfidia Menalcidas.

Hominem enim omnium nequissimum Callicratem, perfidia facile qui superaret, Menalcidas est inventus. Callicrates, uti homo erat, quum gratis habere se susceptas cum Atheniensibus inimicitias permoleste ferret, Menalcidan iam ab-

ναλκίδαν ἔδιωκεν ἐν τοῖς Ἀχαιοῖς θανάτου δίκην· πρεσβεῦσαί τε γὰρ Ἀχαιῶν ἐναντία ἐφαπτόμενον αὐτὸν ἐς Ῥώμην, καὶ ἐς τὰ μάλιστα γενέσθαι πρόθυμον ἐξαλλάξαι τὴν Σπάρτην συνεδρίου τοῦ Ἀχαιῶν. ἐνταῦθα ὡς ἀφικνεῖτο ἐς τὸν ὁ Μεναλκίδας κίνδυνον, μεταδίδωσι τάλαντα τρία τῶν ἐξ Ὠρωποῦ Μεγαλοπολίτῃ Διαίῳ. ἐγεγόνει δὲ αὐτῷ καὶ ἀρχῆς διάδοχος τῆς Ἀχαιῶν ὁ Δίαιος· τότε δὲ ὑπὸ τοῦ λήμματος προθυμούμενος, ἔμελλε Μεναλκίδᾳ καὶ ἀκόντων Ἀχαιῶν σωτηρίαν χαριεῖσθαι. Ἀχαιοὶ δὲ ἐπὶ μὲν τῇ ἀφέσει τοῦ Μεναλκίδου ἰδίᾳ τε ἕκαστος καὶ ἐν κοινῷ Δίαιον ἐποιοῦντο ἐν αἰτίᾳ. (2) Δίαιος δὲ ἀφεὶς ἀπὸ τῶν ἐς αὐτὸν ἐγκλημάτων μετῆγεν ἐς πραγμάτων ἐλπίδας μειζόνων, προφάσει χρώμενος τοιᾷδε ἐς τὴν ἀπάτην. Λακεδαιμόνιοι περὶ ἀμφισβητησίμου χώρας καταφεύγουσιν ἐπὶ τὴν Ῥωμαίων βουλήν. ἀποκρίνεται δὲ αὐτοῖς προσίεσθαι ἡ βουλή, δικάζεσθαι τὰ ἄλλα, πλὴν ψυχῆς, ἐν συνεδρίῳ τῷ Ἀχαιῶν. οἱ μὲν δὴ ταῦτα ἀπεκρίναντο· Δίαιος δὲ οὐ τὸν ὄντα ἔλεγεν Ἀχαιοῖς λόγον, ψυχαγωγῶν δὲ αὐτοὺς

suum autem magistratum, capitis apud Achaeos arcessivit: crimini dabat, legatione apud Romanos contra Achaeos functum, ac operam enixe dedisse, ut Spartanos ab Achaeis abduceret. Ibi Menalcidas quum se in fortunarum discrimen deductum videret, Diaeo homini Megalopolitano successori suo ex Oropica illa pecunia talenta elargitur tria. Hoc ille devinctus munere invitissimis fere Achaeis omnibus, Menalcidam capitis periculo eximit. (2) Ea res quum Diaeo publice ac privatim magno esset probro, homo vafer avertendae invidiae causa ad maiorum negotiorum cogitationes, et secundarum rerum spem, Achaeorum animos erigit. Lacedaemonii suas de finibus agrorum controversias ad Rom. Senatum detulerant: Senatus omnia omnium rerum, praeterquam capitis iudicia, ad Achaeorum conventum reiecerat. At Diaeus gratioso mendacio multitudinis animos muleens, iudicio Achaeorum capitis etiam crimina permissa comminiscitur. Et Achaei quidem, *quum ei fidem habuissent*, de

ἔφασκε παρὰ τῆς Ῥωμαίων σφίσιν ἐφεῖσθαι βουλῆς, καὶ θάνατον ἀνδρὸς καταγνῶναι τῶν ἐκ Σπάρτης. οἱ μὲν δὴ δικάζειν Λακεδαιμονίοις ἠξίουν καὶ ὑπὲρ τῆς ἑκάστου ψυχῆς. Λακεδαιμόνιοι δὲ οὔτε ἀληθῆ συνεχώρουν Δίαιον
553 λέγειν, καὶ ἀνάγειν ἤθελον ἐπὶ τὴν Ῥωμαίων βουλήν. Ἀχαιοὶ δὲ ἀντελαμβάνοντο αὖθις ἄλλου λόγου, πόλεις ὅσαι τελοῦσιν ἐς Ἀχαιούς, μηδεμίαν ἐφ' ἑαυτῆς καθεστηκέναι κυρίαν, ἄνευ τοῦ κοινοῦ τῶν Ἀχαιῶν, παρὰ Ῥωμαίους ἰδίᾳ πρεσβείαν ἀποστέλλειν. Πόλεμός τε δὴ ἀπὸ τῶν ἀμφισβητημάτων τούτων Ἀχαιοῖς καὶ Λακεδαιμονίοις ἤρχετο, καὶ Λακεδαιμόνιοι συνιέντες, οὐκ ἀξιόμαχοι πρὸς Ἀχαιοὺς εἶναι, πρεσβείαις ἐχρῶντο πρὸς τὰς πόλεις αὐτῶν, καὶ ἰδίᾳ πρὸς τὸν Δίαιον λόγοις. αἱ μὲν δὴ κατὰ τὰ αὐτὰ αἱ πόλεις ἐποιοῦντο τὰς ἀποκρίσεις, οὗ σφισιν ἔξοδον ἐπαγγέλλοντος στρατηγοῦ παρακούειν εἶναι νόμον. Δίαιος γὰρ ἦρχε τῶν Ἀχαιῶν, καὶ ἔφασκεν οὐ τῇ Σπάρτῃ, τοῖς δὲ ταράσσουσιν αὐτὴν πολεμήσων ἀφῖχθαι. ἐρομένων δὲ τῶν γερόντων, ὁπόσους ἡγοῖτο ἀδικεῖν, ἀπέμ-

Spartanorum capitalibus causis iudicia facere aggressi sunt. Recusabant Lacedaemonii, et mendacii Diaeum arguentes, rursus Rom. Senatum ea de re se per legatos consulturos aiebant. At Achaei hoc ipsum arripere, et in crimen vocare, quum dicerent, earum urbium quae secum facerent, nullam omnino sui esse iuris, aut posse earum aliquam privatim sine publico universi concilii decreto Romam legatos mittere. Ex his concertationibus belli causae inter Achaeos et Lacedaemonios exstitere. Satis intelligebant Spartani, multo se esse Achaeis opibus inferiores. Quare dimissis per urbes, quae Achaicae ditionis erant, ad ipsum etiam Diaeum privatim legatis, bellum deprecabantur. A civitatibus responsum tulere, quum iam praetor suus ut iuventutem armatam educerent, denunciarit, oportere se dicto audientes esse: Praetor ipse Diaeus non Spartae aiebat se, sed iis, qui eius civitatis otium turbarent, bellum illaturum. Ac rogante Senatu, quotnam esse putaret otii et tranquillitatis

καὶ σφίσι τεσσάρων ὀνόματα ἀνδρῶν καὶ εἴκοσι πρωτευόντων τὰ πάντα ἐν Σπάρτῃ. ἐνταῦθα Ἀγασισθένους ἐνίκησε γνώμη δοκίμου καὶ τὰ πρότερον ὄντος, ἀπὸ δὲ τῆς παραινέσεως ταύτης προελθόντος καὶ ἐς πλέον δόξης· ὃς τοὺς ἄνδρας τούτους ἐκέλευσεν ἐκ Λακεδαίμονος ἐθελοντὰς φεύγειν, μηδὲ αὐτοῦ μένοντας ἐργάσασθαι τῇ Σπάρτῃ πόλεμον· φυγόντας δὲ ἐς Ῥώμην, καταχθήσεσθαι σφᾶς οὐ μετὰ πολὺ ἔφασκεν ὑπὸ Ῥωμαίων. καὶ οἱ μὲν ἀπελθόντες ὑπήγοντο ὑπὸ Σπαρτιατῶν ἐς δικαστήριον τῷ λόγῳ, καὶ ἀποθανεῖν ἦσαν κατεγνωσμένοι. ἀπεστάλησαν δὲ καὶ ὑπὸ Ἀχαιῶν Καλλικράτης ἐς Ῥώμην καὶ Δίαιος, τοῖς φεύγουσιν ἐκ Σπάρτης ἀντιδικήσοντες ἐπὶ τῆς βουλῆς. καὶ αὐτῶν ὁ μὲν κατὰ τὴν Ῥόδον Καλλικράτης τελευτᾷ νόσῳ· οὐδὲ οἶδα, εἰ ἀφικόμενος ἐς Ῥώμην ὠφέλησεν ἄν τι Ἀχαιούς, ἢ κακῶν σφισιν ἐγένετο μειζόνων ἀρχή· Δίαιος δὲ ἐς ἀντιλογίαν Μεναλκίδᾳ καταστὰς ἐπὶ τῆς βουλῆς, πολλὰ μὲν εἶπε, τὰ δὲ ἤκουσεν οὐ σὺν κό-

hostes, optimatum ille viginti quatuor nomina edidit. In ea rerum trepidatione probata est Agasisthenis sententia, hominis clari etiam prius et honorati, sed ad cuius laudes ex hoc ipso civibus suis dato consilio magnus accessit cumulus. Persuasit illis ipsis *primoribus, quos Diaeus Achaeis dedi postularet*, ut voluntario exilio, belli in patriam suam conflati incendium restinguerent: futurum enim, ut, si Romam confugerent, primo quoque tempore a Romanis restituerentur. Quum itaque *exilii causa* solum vertissent, per speciem a Spartanis in iudicium vocati sunt et capitis damnati. Miserunt et Achaei Romam Callicratem et Diaeum, qui in Senatu contra Spartanos exules causam dicerent: et Callicrates quidem quum Rhodum divertisset, ibi morbo interiit: nec scio fuerit ne, si Romam pervenisset, emolumenti aliquid Achaeis allaturus, an nova inter illos maiorum malorum semina sparsurus. Diaeus vero et Menalcidas, *ubi Romam pervenerunt*, quum multa ultro citroque per altercationem contumeliosius inter se iactata dixissent au-

σιν. καὶ σφισιν ἀπεκρίνατο ἡ βουλή, ἀποστέλλειν πρέσβεις, οἳ κρινοῦσιν, ὅσα Λακεδαιμονίοις καὶ Ἀχαιοῖς διάφορα ἦν ἐς ἀλλήλους. καὶ τοῖς ἐκ Ῥώμης πρέσβεσι σχο-
554 λαιοτέρα πως ἐγίνετο ἡ ὁδός· ὥστ' ἐξαπατᾷν ὑπῆρχεν ἐξ ἀρχῆς Διαίῳ τε Ἀχαιοὺς καὶ Μεναλκίδᾳ Λακεδαιμονίους. τοὺς μὲν δὴ παρῆγεν ὁ Δίαιος, ὡς τὰ πάντα ἕπεσθαι Λακεδαιμόνιοι σφίσιν ὑπὸ τῆς Ῥωμαίων βουλῆς εἰσιν ἐγνωσμένοι. Λακεδαιμονίους δὲ ὁ Μεναλκίδας ἠπάτα παντελῶς τοῦ συνεδρίου ἐς τὸ Ἀχαϊκὸν ὑπὸ Ῥωμαίων αὐτοὺς ἀπηλλάχθαι.

CAPUT XIII.

Achaei exercitum conscribunt contra Spartam Damocrito duce — Lacedaemonii pugnam conserunt cum Achaeis et fugantur — Damocritus proditionis accusatus aufugit — Diaei, ducis Achaeorum, callidum facinus in Lacedaemonios — Menalcidas, dux Lacedaemoniorum, urbe Iaso capta, odium civium incurrit et vitam veneno finit.

Αὖθις οὖν ἐκ τῶν ἀντιλογιῶν Λακεδαιμονίοις ὥρμηντο Ἀχαιοὶ πολεμεῖν, καὶ στρατὸς ἐπὶ τὴν Σπάρτην ἠθροίζετο ὑπὸ Δαμοκρίτου στρατηγεῖν τηνικαῦτα Ἀχαιῶν ᾑρημέ-

dissentque, postremo respondit Senatus, legatos in Graeciam venturos, qui de quibus inter se dissiderent Lacedaemonii et Achaei rebus, cognoscerent. Legati ex urbe otiosius iter fecerunt. Quocirca tantum interfuit spatii, ut interea Diaeus Achaeos, Menalcidas Spartanos dolo circumvenire potuerint. Ille Achaeis persuasit, Romanorum decreto Spartanos in Achaeorum officio ac potestate fore. Lacedaemonios in eam facile sententiam adduxit Menalcidas, ut crederent, a concilio se iam Achaeorum seiunctum iri.

Cap. XIII. Has controversiae in causa fuerunt, ut renunciato novo iam praetore Damocrito, Achaei denuo contra Lacedaemonios arma caperent. Eodem ferme tempore

νου. περὶ δὲ τὸν αὐτὸν χρόνον τοῦτον ἀφίκετο ἐς Μακεδονίαν στρατιά τε Ῥωμαίων, καὶ ἡγεμὼν ἐπ' αὐτῇ Μέτελλος, Ἀνδρίσκῳ τῷ Περσέως τοῦ Φιλίππου πολεμήσοντες ἀφεστηκότι ἀπὸ Ῥωμαίων. καὶ ὁ μὲν ἐν Μακεδονίᾳ πόλεμος ἔμελλεν ὡς ῥᾷστα κατὰ τὸ ἐπιτηδειότατον Ῥωμαίοις κριθήσεσθαι. Μέτελλος δὲ ἄνδρας ὑπὸ τῆς Ῥωμαίων ἀπεσταλμένους βουλῆς ἐπὶ τὰ ἐν τῇ Ἀσίᾳ πράγματα ἐκέλευε, πρὶν ἢ ἐς τὴν Ἀσίαν διαβῆναι, τοῖς ἡγεμόσιν αὐτοὺς τοῖς Ἀχαιῶν ἐς λόγους ἐλθεῖν, ὅπλα μὲν ἐπὶ τὴν Σπάρτην μὴ ἐπιφέρειν σφίσιν ἀπαγορεύσοντας, τὴν δὲ ἐκ Ῥώμης παρουσίαν τῶν ἀνδρῶν προσεροῦντας μένειν, οἳ κατὰ τοῦτο ἦσαν ἀπεσταλμένοι Λακεδαιμονίοις δικασταὶ καὶ Ἀχαιοῖς γενέσθαι. οἱ μὲν δὴ τὰ ἐντεταλμένα Δαμοκρίτῳ καὶ Ἀχαιοῖς ἐπήγγελλον, ἐφθακόσιν ἔξοδον ἐπὶ Λακεδαίμονα πεποιῆσθαι, καὶ (ἑώρων γὰρ τὰ πρὸς τὴν παραίνεσιν ἀνθεστηκότα Ἀχαιῶν). ἀπηλλάσσοντο ἐς τὴν Ἀσίαν. (2) Λακεδαιμόνιοι δὲ ὑπὸ φρονήματος μᾶλλον ἢ ἰσχύος ἔλαβον μὲν τὰ ὅπλα, καὶ ἐπεξῆλθον, ἀμυνοῦντες τῇ οἰκείᾳ· βιασθέντες δὲ οὐ μετὰ πολὺ, ὅσον

Metellus Cos. Pop. Rom. exercitum in Macedoniam transportavit. Bellum enim ei decretum fuerat contra Andriscum Persei filium, novas in Romanos res molientem. Ac Macedonicum quidem bellum facile prosperos ex Romanorum sententia successus erat inventurum, Metellus autem iis, quos miserat Senatus in Asiam cum imperio, persuadet, ut priusquam transmittant, cum ducibus Achaeorum congressi, edicant, ne bellum contra Lacedaemonios susciperent, atque ut omnino expectarent legatos eos, qui a Senatu mitterentur, arbitri inter Achaeos et Lacedaemonios futuri. Mandata illi quidem ad Damocritum et Achaeos detulerunt, quum iam illi contra Lacedaemonios exercitum ducerent: quare quum nihil sane se ulla oratione contra Achaeorum pervicaciam profecturos intelligerent, in Asiam perrexerunt. (2) Ipsi quoque Lacedaemonii animi elatione magis quam viribus subnixi, cum suis copiis hosti occurrerunt, satis illi quidem

μὲν ἐς χιλίους οἱ ἡλικίᾳ μάλιστα αὐτῶν καὶ τόλμαις ἀκμάζοντες πίπτουσιν ἐν τῇ μάχῃ, τὸ δὲ ἄλλο στρατιωτικὸν, ὡς ἕκαστος τάχους εἶχεν, ἔφευγον πρὸς τὴν πόλιν.
555 εἰ δὲ ὁ Δαμόκριτος προθυμίαν ἐποιήσατο, τοῖς φεύγουσιν ἐκ τῆς παρατάξεως ὁμοῦ καὶ Ἀχαιοῖς ἐσδραμεῖν ὑπῆρξεν ἂν ἐς τὸ τεῖχος τῆς Σπάρτης. νῦν δὲ αὐτίκα τε ἀνεκάλεσεν ἀπὸ τῆς διώξεως τοὺς Ἀχαιοὺς, καὶ ἐχρῆτο καὶ ἐς τὸ ἔπειτα καταδρομαῖς μᾶλλον καὶ ἁρπαγαῖς ἐκ τῆς χώρας, ἢ συντόνῳ πολιορκίᾳ. (3) Δαμοκρίτῳ μὲν οὖν ἐπαναγαγόντι ὀπίσω τὴν στρατιὰν ἐπιβάλλουσιν οἱ Ἀχαιοὶ ζημίαν πεντήκοντα ἅτε ἀνδρὶ προδότῃ τάλαντα· καὶ (οὐ γὰρ εἶχεν ἐκτῖσαι) φεύγων ᾤχετο ἐκ Πελοποννήσου. (4) Δίαιος δὲ, Ἀχαιῶν μετὰ Δαμόκριτον στρατηγεῖν ᾑρημένος, ἀποστείλαντι αὖθις Μετέλλῳ πρέσβεις, ὡμολόγησε μηδένα ἐπάξειν Λακεδαιμονίοις πόλεμον, ἀλλὰ, ἔςτ' ἂν ἥκωσιν ἐκ Ῥώμης, ἀναμενεῖν τοὺς διαλλακτάς. στρατήγημα δὲ ἄλλο ἐς τοὺς Λακεδαιμονίους παρεῦρε τοιόνδε. τὰ ἐν κύκλῳ τῆς Σπάρτης πολίσματα ἐς τὴν Ἀχαιῶν

habituri, suos si fines defendere possent. Praelio dehinc superati, quum circiter mille et aetate et viribus florentes milites occubuissent, intra moenia se reliqui effusissima fuga recepere. Quod si hostem persequi maturasset Damocritus, eodem tempore Achaei, quo fugientes Lacedaemonii, apertis introrumpere potuissent portis: verum ille et tunc canere iussit receptui, et exinde se ab urbe obsidenda ad excursiones et agri populationes convertit. (3) Is reportato domum exercitu, maiestatis damnatus est, multa quinquaginta talentum irrogata. Eam quum unde solveret non haberet, clanculum e Peloponneso aufugit. (4) In Damocriti locum praetor renunciatus est iterum Achaeorum suffragiis Diaeus. Ad eum quum legatos rursus misisset Metellus, res ita convenit, induciae ut inter Achaeos et Spartanos essent, usquedum adessent, qui disceptandi causa a Romanis missi fuerant. Callidum interea aggreditur Achaicus praetor facinus. Oppida omnia, quae in orbem Spartae finitima erant, *varüs*

ὑπηγάγετο εὔνοιαν· ἐσήγαγε δὲ ἐς αὐτὰ καὶ φρουρὰς, ὁρμητήρια ἐπὶ τὴν Σπάρτην Ἀχαιοῖς εἶναι. (5) Μεναλκίδας δὲ ᾕρητο μὲν ὑπὸ Λακεδαιμονίων ἐναντία Διαίῳ στρατηγεῖν· ἐχόντων δὲ αὐτῶν ἔς τε τὴν πᾶσαν πολέμου παρασκευὴν καὶ οὐχ ἥκιστα τοῖς χρήμασιν ἀσθενῶς, πρὸς δὲ καὶ τῆς γῆς σφισιν ἀσπόρου μεμενηκυίας, ὅμως τὰς σπονδὰς ὑπερβῆναι πείθει, καὶ πόλισμα Ἴασον ἑλὼν ἐξ ἐπιδρομῆς ἐπόρθησεν, ἐν ὅροις μὲν χώρας τῆς Λακωνικῆς, Ἀχαιῶν δὲ ἐν τῷ τότε ὑπήκοον. ἐξεγείρας δὲ αὖθις Λακεδαιμονίοις καὶ Ἀχαιοῖς πόλεμον, ἐν ἐγκλήμασί τε ἦν ὑπὸ τῶν πολιτῶν, καὶ (οὐ γάρ τινα ἐκ τοῦ προσδοκωμένου κινδύνου Λακεδαιμονίοις σωτηρίαν ηὕρισκεν) ἀφίησιν ἑκουσίως τὴν ψυχὴν πιὼν φάρμακον. καὶ Μεναλκίδα μὲν τέλος τοιοῦτον ἐγένετο, ἄρξαντι ἐν τῷ [ἑαυτοῦ νῷ], τότε μὲν Λακεδαιμονίων, ὡς ἂν ὁ ἀμαθέστατος στρατηγὸς, πρότερον δὲ ἔτι τοῦ Ἀχαιῶν ἔθνους, ὡς ἂν ἀνθρώπων ὁ ἀδικώτατος.

artibus ad Achaeorum amicitiam pellicit, et ea praesidiis firmat, ut unde erumperent, quove se reciperent, contra Spartanos castella haberent Achaei. (5) Decreverant et Lacedaemonii imperium Menalcidae: qui etsi Lacedaemonios ad extremam tum reliquarum copiarum, tum vero pecuniae inopiam redactos intelligebat, praesertim vero quum neque coli neque seri ager potuisset, educto tamen, violata induciarum fide, exercitu, Iasum oppidum, quod intra Laconiae fines erat, sed ad Achaeorum ditionem pertinebat, subito impetu captum diripit. Menalcidas conflato rursum inter Lacedaemonios et Achaeos bello, quum se partim civium criminationibus expositum videret, partim nullam eis a se in praesenti periculo afferri salutem posse animadverteret, epoto pharmaco ipse sibi mortem conscivit. Hunc Menalcidas vitae exitum habuit, vir ut in Lacedaemoniorum imperio minime omnium prudens, sic dum Achaeorum rebus praefuit, singulari perfidia.

CAPUT XIV.

Ex legatis Romanis Orestes Achaeis senatus mandata denuntiat — Achaei his permoti Spartanos Corinthi degentes hostiliter comprehendunt — Critolaus, Achaeorum dux, Romanis bellum inferre cupiens eorum legatos eludit — Critolaus et Pytheas sollicitant Achaeos ad bellum contra Spartam et Romanos suscipiendum — Romani Mummium consulem contra Achaeos mittunt.

556 Ἀφίκοντο δὲ ἐς τὴν Ἑλλάδα καὶ οἱ ἀποσταλέντες ἐκ Ῥώμης Λακεδαιμονίοις δικασταὶ καὶ Ἀχαιοῖς γενέσθαι, ἄλλοι τε καὶ Ὀρέστης· τούς τε ἐν ἑκάστῃ πόλει τῶν Ἀχαιῶν ἔχοντας τὰς ἀρχὰς καὶ Δίαιον ἐκάλει παρ᾽ αὐτόν. ἀφικομένοις δὲ, ἔνθα ἔτυχεν αὐτὸς ἐσῳκισμένος, ἀπεγύμνου τὸν πάντα σφίσιν ἤδη λόγον, ὡς δίκαια ἡγοῖτο ἡ Ῥωμαίων βουλὴ, μήτε Λακεδαιμονίους τελεῖν ἐς τὸ Ἀχαϊκὸν, μήτε αὐτὴν Κόρινθον, ἀφεῖσθαι δὲ καὶ Ἄργος καὶ Ἡράκλειαν τὴν πρὸς Οἴτῃ καὶ Ὀρχομενίους Ἀρκάδας συνεδρίου τοῦ Ἀχαιῶν· γένους τε γὰρ αὐτοῖς οὐδὲν τοῦ Ἀχαιῶν μετεῖναι, καὶ ὕστερον τὰς πόλεις προσχωρῆσαι ταύτας πρὸς τὸ Ἀχαϊκόν. (2) Ταῦτα Ὀρέστου λέγοντος, οἱ ἄρχοντες τῶν Ἀχαιῶν, οὐδὲ τὸν πάντα ὑπομείναντες ἀκοῦσαι λόγον, ἔθεον ἐς τὸ ἐκτὸς τῆς οἰκίας, καὶ ἐκά-

CAP. XIV. In Graeciam tandem pervenere ex Urbe disceptatores; quorum princeps Orestes fuit. Ad eos *Corinthum* quum magistratus Achaiae civitatum singularum venissent, et in primis Diaeus, Orestes renunciavit Senatum censere, neque Lacedaemonios, neque Corinthum ipsam Achaeis contribuere se debere: Argos praeterea, Heraclean, quae ad Oetam est, Orchomenios Arcadici nominis, ab Achaeorum concilio seiungendos. Neque enim his esse populis ullam cum Achaeis cognationem; et eas civitates coepisse cum illis serius facere. (2) Haec dum Orestes exponeret, Achaici magistratus prius etiam quam ille perorarct, e diversorio Orestis exiluerunt, convocarunt mox ad con-

λουν Ἀχαιοὺς ἐς ἐκκλησίαν. οἱ δὲ ὡς τὰ ἐγνωσμένα ἐπύθοντο ὑπὸ Ῥωμαίων, αὐτίκα ἐτρέποντο ἐπὶ τοὺς Σπαρτιάτας, οἳ Κορίνθῳ ἔτυχον τότε ἐπιδημοῦντες· συνήρπαζον δὲ πάντα τινὰ, καὶ ὃν Λακεδαιμόνιον σαφῶς ὄντα ἠπίσταντο, καὶ ὅτῳ κουρᾶς ἢ ὑποδημάτων εἵνεκα, ἢ ἐπὶ τῇ ἐσθῆτι, ἢ κατ' ὄνομα προσγένοιτο ὑπόνοια· τοὺς δὲ αὐτῶν καὶ καταφυγεῖν, ἔνθα Ὀρέστης ᾤκει, φθάνοντας, ὅμως καὶ ἐντεῦθεν ἐβιάζοντο ἕλκειν. Ὀρέστης δὲ καὶ οἱ σὺν αὐτῷ τῆς τε τόλμης ἐπέχειν τοὺς Ἀχαιοὺς ἐπειρῶντο, καὶ ἐκέλευον μεμνῆσθαι σφᾶς, ὡς ἀδικημάτων καὶ ὕβρεως ἄρχουσιν ἐς Ῥωμαίους. ἡμέραις δὲ ὕστερον οὐ πολλαῖς οἱ Ἀχαιοὶ Λακεδαιμονίων μὲν αὐτῶν, ὅσους εἶχον συνειληφότες, κατατίθενται σφᾶς ἐς δεσμωτήριον, τοὺς ξένους δὲ ἀπ' αὐτῶν διακρίνοντες ἠφίεσαν. ἀποστέλλουσι δὲ καὶ ἐς Ῥώμην ἄλλους τε Ἀχαιῶν τῶν ἐν τέλει καὶ Θερίδαν· ὡς δὲ ἀπέλθοιεν, ἐντυχόντες κατὰ τὴν ἔνοδον Ῥωμαίων πρέσβεσιν ἐπὶ τὰ Λακεδαιμονίων καὶ Ἀχαιῶν ὕστερον ἢ Ὀρέστης ἀπεσταλμένοις, ὀπίσω καὶ αὐτοὶ τρέπονται. Διαίου δὲ ἐξήκοντος τοῦ χρόνου τῆς ἀρχῆς, στρατηγεῖν ὑπὸ

cionem multitudinem. Ea, cognita Romani Senatus sententia, repente in Spartanos eos, qui forte Corinthi erant, impetum fecit; ac corripuit quemcunque vel certo nosset, vel ex tonsura, calceatura, veste aut nomine Lacedaemonium esse suspicaretur, quosdam etiam qui se in Orestis diversorium fuga iam proripuerant, etiam inde summa vi extrahere nitebantur. Legati furorem illum compescere conati, monere identidem et queri, ab ipsis prioribus iniuria se et contumelia lacessitos. Paucis post diebus Lacedaemonii omnes, qui deprehensi captique fuerant, in carcerem ab Achaeis coniecti, dimissis iis, quos non esse Laconici nominis constitisset. Missi deinde Romam et alii primores, et Theridas legationis princeps. Ii quum in via aliis legatis a Romanis eadem de causa post illam Orestis legationem missis obvii facti essent, pedem retulerant. Iam Diaeus imperii sui tempus expleverat; in eius locum successerat Cri-

Ἀχαιῶν ᾑρέθη Κριτόλαος. (3) Τοῦτον θερμὸς καὶ σὺν
557 οὐδενὶ λογισμῷ τὸν Κριτόλαον πολεμεῖν πρὸς Ῥωμαίους
ἔρως ἔσχε· καὶ (ἔτυχον γὰρ τότε ἤδη οἱ παρὰ Ῥωμαίων
ἥκοντες τὰ Λακεδαιμονίων καὶ Ἀχαιῶν δικάσαι) ἀφίκετο
μὲν ἐν Τεγέᾳ τῇ Ἀρκάδων τοῖς ἀνδράσιν ἐς λόγους ὁ
Κριτόλαος, ἀθροῖσαι δὲ Ἀχαιοὺς σφισιν ἐς κοινὸν σύλ-
λογον οὐδαμῶς ἤθελεν· ἀλλὰ ἐς μὲν ἐπήκοον τῶν Ῥω-
μαίων ἔπεμπεν ἀγγέλους κελεύων, τοὺς συνέδρους καλεῖν
ἐς τὸ Ἀχαϊκὸν, ἰδίᾳ δὲ τοῖς συνέδροις ἐπέστελλεν ἐς τὰς
πόλεις, ἀπολείπεσθαι σφᾶς τοῦ συλλόγου. ὡς δὲ οὐκ ἀφί-
κοντο οἱ συνεδρεύσοντες, ἐνταῦθα ὁ Κριτόλαος μάλιστα
ἐπεδείκνυτο ἀπάτῃ πρὸς Ῥωμαίους χρώμενος, ὃς ἄλλην
ἐκέλευεν ἀναμένειν αὐτοὺς Ἀχαιῶν σύνοδον, ἐς μῆνα ἐσο-
μένην ἕκτον· αὐτὸς δὲ οὐδὲν ἰδίᾳ διαλέξεσθαί σφισιν ἄνευ
τοῦ κοινοῦ τοῦ Ἀχαιῶν ἔφασκε. καὶ οἱ μὲν ἐπεὶ ἀπατώ-
μενοι συνῆκαν, ἀπηλλάσσοντο ἐς Ῥώμην. (4) Κριτόλαος
δὲ ἐς Κόρινθον Ἀχαιοὺς ἀθροίσας, ἀνέπεισε μὲν ἐπιφέ-
ρειν ὅπλα ἐπὶ τὴν Σπάρτην, ἀνέπεισε δὲ καὶ Ῥωμαίοις
ἐκ τοῦ εὐθέος πόλεμον ἄρασθαι. τὸ μὲν δὴ ἄνδρα βα-

tolaus. (3) Huic acris et inconsiderata incesserat cupiditas cum Romanis bellandi. Quocirca quum novi iam adessent a Romanis missi arbitri, occurrit illis quidem ad Tegeam Arcadiae urbem. Ne vero in publico Achaeorum concilio mandata exponerent, arte cavit. Nam legatis quidem audientibus, edici concilium iussit: clam vero per literas consiliariis denunciavit, concilii diem ne obirent. Conventu in diem dictam frustra expectato, se plane elusos Romani intellexerunt, praesertim vero quum aliud Critolaus iuberet legatos certum et statum concilium in mensem sextum expectare. Ad se quod attinet, se de rebus Achaeorum publicis privata cum illis colloquia habiturum esse negavit. Legati igitur quum elusos se cognovissent, domum redierunt. (4) Critolaus, edicto Corinthum concilio, Achaeis pro concione persuadet, Spartanis bellum inferant, atque ut aperte contra Romanos arma capiant. Regem quidem,

σιλέα καὶ πόλιν ἐγελέσθαι πόλεμον καὶ μὴ εὐτυχῆσαι, συνέβη φθόνῳ μᾶλλον ἔκ του δαιμόνων, ἢ τοῖς πολεμήσασι ποιεῖται ἔγκλημα· θρασύτης δὲ ἡ μετὰ ἀσθενείας μανία μᾶλλον ἢ ἀτυχία καλοῖτο. ὃ δὴ καὶ Κριτόλαον καὶ Ἀχαιοὺς ἔβλαψε. παρώξυνε δὲ καὶ Ἀχαιοὺς Πυθέας βοιωταρχῶν τηνικαῦτα ἐν Θήβαις, καὶ οἱ Θηβαῖοι συνεπιλήψεσθαι προθύμως εἰσηγγέλλοντο τοῦ πολέμου. ἑαλώκεσαν δὲ οἱ Θηβαῖοι δίκην Μετέλλου δικάζοντος, Φωκεῦσιν ἐκτῖσαι ζημίαν πρώτην, ὅτι ἐσέβαλον σὺν ὅπλοις ἐς γῆν τὴν Φωκίδα· δευτέραν δὲ Εὐβοεῦσιν· ἐδῄωσαν γὰρ καὶ Εὐβοέων τὴν χώραν· τρίτην δὲ Ἀμφισσεῦσι, τεμόντες καὶ τὴν Ἀμφισσέων περὶ ἀκμὴν σίτου.

(5) Ῥωμαῖοι δὲ παρά τε τῶν ἀνδρῶν διδαχθέντες, οὓς ἐς τὴν Ἑλλάδα ἀπέστειλαν, καὶ ἐκ τῶν γραμμάτων, ἃ Μέτελλος ἐπέστελλεν, ἀδικεῖν Ἀχαιῶν κατέγνωσαν· καὶ (ἦν γὰρ Μόμμιός σφισιν ὕπατος τότε ᾑρημένος) τοῦτον ναῦς τε καὶ στρατιὰν πεζὴν ἐκέλευον ἐπ' Ἀχαιοὺς ἄγειν.

vel civitatem quampiam suscepto bello male rem gerere, genii cuiuspiam invidia magis quam belligerantium culpa contigit. audacia vero cum imbecillitate coniuncta, est furor potius quam infortunium nominanda: id quod Critolao etiam atque Achaeis obfuit. Incitavit vehementer Achaeos Pytheas Boeotorum magistratus, Thebanis ultro profitentibus belli se contra Romanos gerendi socios fore. Pecuniam ut Phocensibus penderent, Metellus Thebanis imperarat, quod in eorum fines armati excurrerant: alteram item multam Euboensibus, quod agrum eorundem Euboensium populationibus evastassent: tertiam Amphissensibus debere Thebanos pronunciarat, quod eorum sub messis tempus frumenta desecuissent. (5) Romani ex legatorum oratione et Metelli literis edocti quae egissent Achaei, bello eorum iniurias persequendas censuerant. Creatus iam Cos. fuerat Mummius; et ei ad bellum Achaicum classis, pedestres *et equestres* copiae decretae.

CAPUT XV.

Metellus Achaeis veniae et pacis conditiones fert — Critolaus et Achaei, illis repudiatis, bellum capessunt — Achaei praelio superantur et Critolaus perit — Diaeus, Achaeorum dux, bellum continuat — Metellus Thebas et Megaram capit.

558 Μέτελλος δὲ παραυτίκα ἐπέπυστο, ὡς Μόμμιος καὶ ὁ σὺν αὐτῷ στρατὸς ἐπὶ Ἀχαιοὺς ἀφίκοιτο, καὶ ἐποιεῖτο σπουδὴν ἐπιθεὶς αὐτὸς πέρας τῷ πολέμῳ φανῆναι, πρὶν ἢ Μόμμιον ἐς τὴν Ἑλλάδα ἀφῖχθαι. ἀγγέλους οὖν παρὰ τοὺς Ἀχαιοὺς ἀπέστελλεν, ἀφιέναι κελεύων τῆς πρὸς σφᾶς συντελείας Λακεδαιμονίους, καὶ πόλεις ἄλλας, ὁπόσαι ᾕρηντο τὰ Ῥωμαίων, τῆς τε ἐκ τοῦ χρόνου τοῦ προτέρου σφίσιν ἀπειθίας οὐδεμίαν παρὰ Ῥωμαίων ὑπισχνεῖτο γενήσεσθαι ὀργήν. ἅμα τε δὴ ταῦτα ἐπεκηρυκεύετο, καὶ ἤλαυνεν ἐκ Μακεδονίας τὸν στρατὸν, διὰ Θεσσαλίας τὴν πορείαν καὶ παρὰ τὸν Λαμιακὸν ποιούμενος κόλπον. (2) Κριτόλαος δὲ καὶ Ἀχαιοὶ λόγον μὲν φέροντα ἐς σύμβασιν προσίεντο οὐδένα, Ἡράκλειαν δὲ προσεκάθηντο πολιορκοῦντες οὐ βουλομένους ἐς τὸ Ἀχαϊκὸν συντελεῖν. τότε δὲ ὡς παρὰ τῶν κατασκόπων ἐπυνθάνετο ὁ Κριτόλαος, Μέτελλον καὶ Ῥωμαίους διαβεβηκέναι τὸν Σπερ-

Cap. XV. Metellus accepto de successore nuncio, omni studio contendebat bello finem imponere, ne Mummius eius ipse gloriae compos fieret. Per nuncios itaque Achaeis edicit, ut Lacedaemonios, et alias omnes civitates, quae se in populi Romani clientelam tradidissent, ab Achaici consessus officio discedere aequo animo ferrent: id si facere non recusassent, pristinae in Romanos contumaciae veniam pollicebatur. Eodem tempore in Macedoniam per Thessaliam praeter Lamiacum sinum ducit. (2) Critolaus tantum abfuit ut ullam orationem, quae ad concordiam spectaret, admitteret, ut Heracleam recusantem Achaeis parere, circumsessam magnis Achaeorum copiis tenere ausus fuerit. Quum audissent tamen de speculatoribus Metellum exercitu Sper-

χειὸν, ἀποφεύγειν ἐς Σκάρφειαν τὴν Λοκρῶν, οὐδὲ κατὰ τὸ στενὸν τὸ Ἡρακλείας τε μεταξὺ καὶ Θερμοπυλῶν τοὺς Ἀχαιοὺς τάξας ἐτόλμησεν ὑπομεῖναι Μέτελλον· ἀλλὰ ἐς τοῦτο ἀφίκετο δείματος, ὡς μηδὲ κατὰ ποιήσασθαι τὸ χωρίον πρὸς ἀμείνονος ἐλπίδος, ἔνθα ἦν μὲν Λακεδαιμονίοις ὑπὲρ τῶν Ἑλλήνων τὰ ἐς Μήδους, ἦν δὲ καὶ Ἀθηναίοις τὰ ἐς Γαλάτας, οὐδὲν ἀφανέστερα ἐκείνων, τολμήματα. (8) Ὑποφεύγοντας δὲ Κριτόλαον καὶ Ἀχαιοὺς αἱροῦσιν ὀλίγον πρὸ τῆς Σκαρφείας οἱ ὁμοῦ τῷ Μετέλλῳ, καὶ ἀποκτείναντες πλήθει πολλοὺς, ἔλαβον καὶ ζῶντας ὅσον χιλίους. Κριτόλαος δὲ οὔτε ὤφθη ζῶν μετὰ τὴν μάχην, οὔτε ἐν τοῖς νεκροῖς εὑρέθη· εἰ δὲ ἐτόλμησε τῆς πρὸς τῇ Οἴτῃ θαλάσσης ἐς ταύτης καταδῦναι τὸ τέλμα, παντάπασιν ἔμελλεν ἄγνωστός τε καὶ ἄπυστος οἰχήσεσθαι κατὰ τοῦ βυθοῦ. ἐς μὲν οὖν τὴν Κριτολάου τελευτὴν καὶ ἄλλα πάρεστιν εἰκάζειν. Ἀρκάδων δὲ ἐξεστρατευμένοι λο- 559
γάδες χίλιοι, οἳ Κριτολάῳ τοῦ ἔργου μετέσχον, προῆλθον μὲν ἄχρις Ἐλατείας τῆς Φωκέων, καὶ ἐς τὴν πόλιν ὑπ'

chion transisse, Scarphean (Locrorum ea urbs est) confugit: neque, quum posset in iis, quae sunt inter Heracleam et Thermopylas angustiis consistere, Metellum ausus est exspectare: sed tanto pavore consternatus est, ut ne ex ipsa quidem loci commoditate in meliorem se spem erigere potuerit: quum ex eo tamen loco Lacedaemonii contra Persas, et contra Gallos Athenienses praeclara dedissent virtutis documenta. Fugientes priusquam Scarphean se reciperent, Metellus assecutus, maximum eorum numerum cecidit; vivi haud minus mille capti. Critolaus neque vivus uspiam post pugnam, neque inter cadavera repertus. Quod si forte in coenosam maris sub Oeta monte paludem se demisit, mirum nihil fuit caeca et profunda voragine absorptum evanuisse. Sed alia etiam de eius morte coniici possunt. Arcadum cohors lectissimorum hominum circiter mille, qui cum Critolao ad bellum exierant, Elateam in Phocidem contenderunt. In eam urbem quum propter veterem nescio quam cogna-

αὐτῶν κατὰ συγγένειαν δή τινα παλαιὰν ἐδέχθησαν. ὡς δὲ τοῖς Φωκεῦσιν ἡ Κριτολάου συμφορὰ καὶ Ἀχαιῶν ἀπηγγέλλετο, ἀπελθεῖν ἐκ τῆς Ἐλατείας κελεύουσι τοὺς Ἀρκάδας. ἀπιοῦσι δὲ ὀπίσω σφίσιν ἐς τὴν Πελοπόννησον Μέτελλος καὶ Ῥωμαῖοι ἐπὶ Χαιρώνειαν ἐπιφαίνονται. ἔνθα δὴ ἐπελάμβανε τοὺς Ἀρκάδας ἐκ θεῶν δίκη τῶν Ἑλληνικῶν, οἳ ἐν Χαιρωνείᾳ Φιλίππου καὶ Μακεδόνων ἐναντία ἀγωνιζομένους ἐγκαταλιπόντες Ἕλληνας, τότε ἐν χωρίῳ τῷ αὐτῷ ἐκτείνοντο ὑπὸ Ῥωμαίων. (4) Ἀχαιοῖς δὲ αὖθις ἐπὶ τὴν ἡγεμονίαν τοῦ στρατεύματος παρῄει Δίαιος· καὶ δούλοις τε ἐς ἐλευθερίαν ἤφιει, τὸ Μιλτιάδου καὶ Ἀθηναίων βούλευμα πρὸ τοῦ ἔργου τοῦ ἐν Μαραθῶνι μιμούμενος, καὶ Ἀχαιῶν συνέλεγε καὶ Ἀρκάδων ἀπὸ τῶν πόλεων τοὺς ἐν ἡλικίᾳ. ἐγένετο δὲ, ἀναμεμιγμένων ὁμοῦ καὶ οἰκετῶν, τὸ ἀθροισθὲν ἐς ἑξακοσίους μὲν μάλιστα ἀριθμὸν ἱππεῖς, τὸ δὲ ὁπλιτεῦον τετρακισχίλιοί τε καὶ μύριοι. ἐνταῦθα ὁ Δίαιος ἐς ἅπαν ἀφίκετο ἀνοίας, ὃς Κριτόλαον καὶ πᾶσαν τὴν Ἀχαιῶν ἐπιστάμενος παρασκευὴν κακῶς οὕτως ἀγωνισαμένην πρὸς Μέτελλον, ἀπέ-

tionem recepti fuissent, paulo post Critolai et Achaeorum clade cognita, eos inde Phocenses excedere iusserunt. In Peloponnesum retrocedentes, in Metelli exercitum ad Chaeroneam inciderunt. Ibi ad internecionem caesi, diuinitus scelere suo dignas dedisse poenas videri possunt, eo potissimum loco a Romanis oppressi, quo Graecos cum Philippo Macedonum rege acie dimicantes deseruerant. (4) Achaeorum imperium ad Diaeum rediit: qui quod Miltiades ante pugnam Marathoniam fecerat, imitatus, vocatis ad pileum servis, et ad arma omni militari aetate Achaeorum et Arcadum conscripta, exercitum contraxit, ex collectitia ingenuorum pariter et servitiorum turba, equitum sexcentorum; gravis armaturae peditum quatuordecim millium. Ad imperatoris Achaici vecordiam nihil omnino addi potuit: qui quum ante oculos prope haberet omnem Achaeorum superiorem apparatum, et infelicem Critolai pugnam, ex illo ta-

λέξας αὐτὸς ἄλλους τετρακισχιλίους, καὶ ἄρχοντα ἐπ' αὐτοῖς ἔταξεν Ἀλκαμένην. ἀποστέλλεται δὲ ἐς Μέγαρα, φρουρά τε εἶναι Μεγαρεῦσι τοῦ ἄστεως, καὶ ἢν Μέτελλος ἐπίῃ καὶ οἱ Ῥωμαῖοι, τοῦ πρόσω σφᾶς κωλύσειν. (5) Μέτελλος δὲ, ὡς οἱ περὶ Χαιρώνειαν λογάδες κατέστρωντο οἱ Ἀρκάδων, ἀναστήσας τὸ στράτευμα ἤλαυνεν ἐπὶ τὰς Θήβας· Ἡράκλειάν τε γὰρ ἐπολιόρκησαν οἱ Θηβαῖοι μετὰ Ἀχαιῶν, καὶ ἀγῶνος τοῦ πρὸς Σκάρφειαν μετεσχήκεσαν. τότε δὲ αὐτοί τε καὶ γυναῖκες ἐκλελοιπότες, πᾶσα ἡλικία, τὴν πόλιν, ἐπλανῶντο ἀνὰ τὴν Βοιωτίαν, καὶ ἐς τῶν ὀρῶν τὰ ἄκρα ἀνέφευγον. Μέτελλος δὲ οὔτε ἱερὰ ἐμπιπράναι θεῶν, οὔτε οἰκοδομήματα καθαιρεῖν εἴα, Θηβαίων τε τῶν ἄλλων μήτε ἀποκτεῖναι μηδένα, μήτε αἱρεῖν φεύγοντα ἀπηγόρευε. Πυθέαν δὲ ἢν ἕλωσιν, ἀνά- 560
γειν ἐκέλευσεν ὡς αὐτόν. ἐξεύρητό τε δὴ αὐτίκα ὁ Πυθέας, καὶ ἀναχθεὶς δίκην εἶχεν. ὡς δὲ πλησίον Μεγάρων ἐγίνετο ὁ στρατὸς, οὔτε ὑπέμειναν οἱ περὶ τὸν Ἀλκαμένην, καὶ αὐτίκα ἐς Κόρινθον παρὰ τὸ στρατόπεδον τὸ

men delectu ad quatuor millia hominum selegit, eosque duce Alcamene Megaram misit, quo et urbi praesidio essent, et Metello in Peloponnesum iam invadenti obsisterent. (5) Metellus vero, quum lectissimam Arcadum cohortem ad Chaeroneam stravisset, motis castris Thebas contendit. Thebani enim cum Achaeis Heracleam obsederant, eorumque in proelio ad Scarphiam fuerant socii. Metello iam appropinquante, Thebanae mulieres, et cuiusvis aetatis viri urbe relicta, partim per Boeotiae agros et oppida palantes sunt dilapsi, partim in montium iuga confugere. *Vacuam urbem ingressus* Imperator Romanus neque Deum templa exuri, neque domos everti passus est: edicto etiam cavit, ne quis e ceteris Thebanis vel occideretur, vel fugiens caperetur: Pytheam (si captus fuisset) ad se duci iussit: et is quidem ubi in hostium potestatem venit, ad Metellum perductus, merito affectus est supplicio. Quum iam prope ad Megarae moenia Romanus accederet, statim Alcamenes cum praesi-

Ἀχαιῶν ἔρημον φεύγοντες· καὶ Μεγαρεῖς μὲν παραδιδόασιν ἀμαχεὶ Ῥωμαίοις τὴν πόλιν. Μέτελλος δὲ ὡς ἀφίκετο παρὰ τὸν Ἰσθμόν, ἐπεκηρυκεύετο καὶ τότε Ἀχαιοῖς, ἐς εἰρήνην καὶ ὁμολογίαν παρακαλούμενος. ἰσχυρὸς γάρ τις ἐνέκειτο αὐτῷ πόθος τά ἐν Μακεδονίᾳ τὰ ὁμοῦ καὶ τὰ Ἀχαιῶν κατορθωθῆναι. καὶ τούτῳ μὲν ταῦτα ἐσπευκότι Δίαιος ἠναντιοῦτο ὑπὸ ἀγνωμοσύνης.

CAPUT XVI.

Mummii cum Oreste adventus ad Isthmum — Achaei Romanos aggressi fugantur — Diaei factum dissimile facto Callicrati — Diaeus se veneno conficit — Mummius Corinthum capit et evertit — civitatum graecarum magistratus constituit — Illis Romani postea pristinum statum reddunt et Achaiae praesidem mittunt.

Μόμμιος δὲ Ὀρέστην ἅμα ἀγόμενος, τὸν πρότερον ἐπὶ τῇ Λακεδαιμονίων διαφορᾷ καὶ Ἀχαιῶν ἐλθόντα, ἀφίκετο μὲν περὶ ὄρθρον ἐς τὸ τῶν Ῥωμαίων στράτευμα, ἀποπέμψας δὲ ἐς Μακεδονίαν Μέτελλον καὶ ὅσον εἵπετο ἐκείνῳ, ἀνέμεινεν αὐτὸς ἐν τῷ Ἰσθμῷ τὴν πᾶσαν ἀθροισθῆναι παρασκευήν. ἀφίκετο δὲ ἱππικὸν μέν, πεντακό-

-diariorum manu Corinthum in Achaeorum castra confugit. Megarenses urbem sine certamine Romanis dediderunt. Metellus ubi primum Isthmum attigit, *etsi prospere ei omnia evenerant*, ad pacis tamen conditiones ultro Achaeos invitabat. Vehementius enim sollicitabat hominem utriusque belli, Macedonici scilicet et Achaici, conficiendi spes. Huius quo minus fieret voti compos, Diaei stultitiae plenum consilium obstitit.

Cap. XVI. Dum haec aguntur, Mummius Orestem, qui ante inter Achaeos et Lacedaemonios arbiter fuerat, secum habens, mane ad exercitum pervenit. Et Metello quidem cum suis copiis in Macedoniam amandato, ad Isthmum ipse substitit, donec universum agmen coegisset. Fuit militum

σιοί τε καὶ τρισχίλιοι· τοῦ πεζοῦ δὲ ἀριθμὸς ἐγένετο ἐς μυριάδας δύο, προστιθέντων καὶ τούτοις τρισχιλίων· ἐπῆλθον δὲ καὶ τοξόται Κρῆτες, καὶ ἐκ Περγάμου τῆς ὑπὲρ Καΐκου Φιλοποίμην στρατιώτας ἦγεν παρὰ Ἀττάλου. Μόμμιος μὲν δὴ τότε τῶν ἐξ Ἰταλίας τινὰς καὶ τὰ ἐπικουρικὰ ἀπωτέρω δύο τε καὶ δέκα ἔταξε σταδίους, πρὸ τοῦ παντὸς εἶναι στρατεύματος φυλακήν. (2) Ἀχαιοὶ δὲ, ἰδόντων ἀφυλακτότερον ὑπὸ φρονήματος τῶν Ῥωμαίων, ἐπιτίθενται τοῖς ἐπὶ φυλακῆς αὐτοῖς τῆς πρώτης, καὶ τοὺς μὲν φονεύουσι, πλείονας δὲ ἔτι ἐς τὸ στρατόπεδον κατεῖρξαν, καὶ ἀσπίδας ὅσον τε πεντακοσίας εἷλον. ἀπὸ τούτου δὲ τοῦ ἔργου καὶ ἐπήρθησαν οἱ Ἀχαιοὶ ποιήσασθαι τὴν ἔξοδον πρότεροι, πρὶν ἢ Ῥωμαίους ἄρχειν μάχης. ὡς δὲ ἀντεπῆγε καὶ ὁ Μόμμιος, οἱ μὲν ἐς τὸ ἱππικὸν τῶν Ἀχαιῶν ταχθέντες αὐτίκα ᾤχοντο φεύγοντες, τῆς Ῥωμαίων ἵππου μηδὲ τὴν πρώτην ἔφοδον ὑπομείναντες· ὁ δὲ πεζὸς στρατὸς ἀθύμως μὲν εἶχεν ἐπὶ τῶν ἱππέων τῇ τροπῇ, δεξάμενοι δὲ τὴν ἐμβολὴν τοῦ ὁπλιτικοῦ

numerus, equites ter mille et quingenti, peditum viginti tria millia. Praesto fuerant Cretenses sagittarii: et e Pergamo, quae supra Caicum est, ab Attalo missam manum adduxit Philopoemen. Secuta etiam auxilia Mummium fuerant ex Italia. Ea Mummius duodecim ante castra stadiis collocavit, ad excubias ibi agendas. (2) Achaei, quum Romani prae nimia fiducia custodias minus diligenter agerent, adoriuntur eos qui in prima custodia erant collocati: eorumque multos occidunt, plures loco pulsos usque in castra persequuntur: scuta fere quingenta capta. Hoc elati successu Achaei, priores pugnam poscere sunt ausi: verum ubi Mummius in hostem aciem direxit, Achaeorum equitatus ad primam Romanorum equitum, contra quos steterat, impressionem, in fugam se dedit. Sustinuit gravis hostium armatura primum Romani peditatus congressum, etsi animos non mediocriter fregerat subita illa equitum fuga; et sola quidem audacia, longe impares numero, et iam dimicando fu-

τοῦ Ῥωμαίων, βιαζόμενοί τε τῷ πλήθει καὶ ἀπαγορεύον-
561 τες τοῖς τραύμασιν ὅμως ἀντεῖχον ὑπὸ τοῦ θυμοῦ, πρίν γε δὴ Ῥωμαίων λογάδες χίλιοι προσπεσόντες κατὰ τὰ πλάγια ἐς τέλεον τοὺς Ἀχαιοὺς φυγὴν κατέστησαν. εἰ δὲ ἐτόλμησεν ἐσδραμεῖν μετὰ τὴν μάχην Δίαιος ἐς Κόρινθον, καὶ ὑποδέξασθαι τῷ τείχει τοὺς διαπίπτοντας ἐκ τῆς φυγῆς, κἂν εὕρασθαί τι παρὰ Μομμίου οἱ Ἀχαιοὶ φιλάνθρωπον ἠδυνήθησαν, ἐς πολιορκίαν καὶ τριβὴν πολέμου καταστάντες. (3) Νῦν δὲ ἀρχομένων ἔτι ἐνδιδόναι τῶν Ἀχαιῶν, εὐθὺ Μεγάλης πόλεως ἔφευγεν ὁ Δίαιος, οὐδέν τι γενόμενος ἐς Ἀχαιοὺς ὅμοιος [ἢ] καὶ Καλλίστρατος ὁ Ἐμπέδου πρὸς Ἀθηναίους. τούτῳ γὰρ τῷ ἀνδρὶ ἱππαρχήσαντι ἐν Σικελίᾳ, ὅτε οἱ Ἀθηναῖοι καὶ ὅσοι ἄλλοι τοῦ στόλου μετεσχήκεσαν, ἀπώλλυντο πρὸς τῷ ποταμῷ τῷ Ἀσινάρῳ, τούτῳ τῷ Καλλιστράτῳ παρέσχε τόλμα διεκπαῖσαι διὰ τῶν πολεμίων, ἄγοντι τοὺς ἱππέας. ὡς δὲ τὸ πολὺ ἀπέσωσεν αὐτῶν ἐς Κατάνην, ἀνέστρεφεν ὀπίσω τὴν αὐτὴν αὖθις ὁδὸν ἐς Συρακούσας. διαρπάζοντες δὲ

tigati, restiterunt tamen, quousque mille hominum lectissimorum globus e transverso in latera invaserunt: tunc enim ex omni parte effusissimam fugam fecere. Quod si Diaeus ab adverso praelio Corinthum se recepisset, eodemque dispersas suorum reliquias coegisset, potuissent fortasse Achaei a Mummio, praesertim si ad obsidionem res devenisset, belloque mora fuisset iniecta, mitius aliquid impetrare. (3) At ille, ut primum sui terga hosti vertere coeperunt, recta Megalopolin evasit: in Achaeis servandis haudquaquam ea usus animi magnitudine, qua Callistratus Empedi filius olim suorum saluti consuluerat. Is enim in Sicilia ad Asinarum amnem, Atheniensium, et eorum, qui eius expeditionis socii fuerant, copiis prope ad internecionem deletis, per medios hostes equitibus, quorum ipse dux erat, viam fecit; ac deinde Catanam cum magna suorum parte incolumis elapsus, mox eadem via Syracusas pergens, eos opprimere

πορθοῦντας τὸ Ἀθηναίων στρατόπεδον καταβάλλει τε ὅσους κτείνας ἐξ αὐτῶν, καὶ τραύματα ἐπίκαιρα αὐτὸς καὶ ὁ ἵππος λαβόντες ἀφιᾶσι τὴν ψυχήν. οὗτος μὲν δὴ ἀγαθὴν δόξαν Ἀθηναίοις καὶ αὐτῷ κτώμενος, περιποιήσας τε, ὧν ἦρχε, καὶ ἐτελεύτησεν αὐτὸς ἑκουσίως. (4) Δίαιος δὲ Ἀχαιοὺς ἀπολωλεκὼς, Μεγαλοπολίταις κακῶν τῶν ἐφεστηκότων ἧκεν ἄγγελος· ἀποκτείνας δὲ αὐτόχειρ τὴν γυναῖκα, ἵνα μὴ γένοιτο αἰχμάλωτος, τελευτᾷ πιὼν φάρμακον· ἐοικυῖαν μὲν παρασχόμενος Μεναλκίδᾳ τὴν ἐς χρήματα πλεονεξίαν, ἐοικυῖαν δὲ καὶ τὴν ἐς τὸν θάνατον δειλίαν. Ἀχαιῶν δὲ οἱ ἐς Κόρινθον ἀποσωθέντες μετὰ 562
τὴν μάχην ἀπεδίδρασκον ὑπὸ νύκτα εὐθύς· ἀπεδίδρασκον δὲ καὶ αὐτῶν Κορινθίων οἱ πολλοί. (5) Μόμμιος δὲ τὸ μὲν παραυτίκα, ἀναπεπταμένων ὅμως τῶν πυλῶν, ἐπεῖχεν ἐς τὴν Κόρινθον παρελθεῖν, ὑποκαθῆσθαί τινα ἐντὸς τοῦ τείχους ὑποπτεύων ἐνέδραν· τρίτῃ δὲ ἡμέρᾳ μετὰ τὴν μάχην ᾕρει τε κατὰ κράτος, καὶ ἔκαιε Κόρινθον. τῶν δὲ ἐγκαταληφθέντων τὸ μὲν πολὺ οἱ Ῥωμαῖοι φονεύουσι,

est conatus, qui castra Atheniensium diripiebant. Ibi quinque ex hostium numero caesis, ipse equo saucio aliquot lethalibus vulneribus acceptis, parta et Atheniensibus et sibi insigni gloria, servatisque, quibus imperarat equitibus, mortem oppetiit. (4) At Diaeus illius virtutem minime aemulatus, amissis Achaeorum copiis, Megalopolitanis imminentis calamitatis nuncium attulit: ac postremo manu sua uxore, ne captiva in hostium potestatem veniret, occisa, hausto ipse veneno occubuit: et sane uti pecuniae cupiditate Menalcidae par fuit, sic propemodum vitae exitum habuit mortis turpitudine consimillimum. Achaei, qui Corinthum post pugnam confugerant, intendentibus se noctis tenebris, clam abiere, et cum illis Corinthiorum longe maximus numerus. (5) Mummius, etsi apertas videbat portas, suorum tamen celeritatem cohibuit, quod ne intra muros insidiae comparatae fuissent, metuebat. Tertio demum post pugnam die Corinthum vi cepit, cremavitque: viri omnes trucidati, foe-

γυναῖκας δὲ καὶ παῖδας ἀπέδοτο Μόμμιος· ἀπέδοτο δὲ καὶ οἰκέτας, ὅσοι τῶν ἐς ἐλευθερίαν ἀφεθέντων καὶ μεμαχημένων μετὰ Ἀχαιῶν μὴ εὐθὺς ὑπὸ τοῦ πολέμου τὸ ἔργον ἐτεθνήκεσαν. ἀναθημάτων δὲ καὶ τοῦ ἄλλου κόσμου τὰ μὲν μάλιστα ἀνήκοντα ἐς θαῦμα ἀνήγετο· τὰ δὲ ἐκείνοις οὐχ ὁμοίου λόγου Φιλοποίμενι ὁ Μόμμιος τῷ παρ' Ἀττάλου στρατηγῷ δίδωσι· καὶ ἦν Περγαμηνοῖς καὶ ἐς ἐμὲ ἔτι λάφυρα Κορίνθια. πόλεων δὲ ὅσοι Ῥωμαίοις ἐναντία ἐπολέμησαν, τείχη μὲν ὁ Μόμμιος κατέλυε, καὶ ὅπλα ἀφῃρεῖτο, πρὶν ἢ καὶ συμβούλους ἀποσταλῆναι παρὰ Ῥωμαίων. (6) Ὡς δὲ ἀφίκοντο οἱ σὺν αὐτῷ βουλευσόμενοι, ἐνταῦθα δημοκρατίας μὲν κατέπαυε, καθίστατο δὲ ἀπὸ τιμημάτων τὰς ἀρχάς· καὶ φόρος τε ἐτάχθη τῇ Ἑλλάδι, καὶ οἱ τὰ χρήματα ἔχοντες ἐκωλύοντο ἐν τῇ ὑπερορίᾳ κτᾶσθαι· συνέδριά τε κατὰ ἔθνος ἕκαστον, τὸ Ἀχαιῶν, καὶ τὸ ἐν Φωκεῦσιν, ἢ Βοιωτοῖς, ἢ
563 ἑτέρωθί που τῆς Ἑλλάδος, κατελέλυτο ὁμοίως πάντα. (7) Ἔτεσι δὲ οὐ πολλοῖς ὕστερον ἐτράποντο ἐς ἔλεον

minae et pueri Mummii iussu sub corona venditi: venditi etiam servi, quicunque manumissi in Achaeorum acie steterant, neque in praelio ceciderant. Ornamenta, et signa admiratione quaeque dignissima, Romam asportata: quae vero minoris erant pretii Attali auxiliorum duci Philopoemeni donata, et hac ipsa etiam aetate apud Pergamenos *inter cetera* Corinthiorum spolia visuntur. *Aliarum* urbium, quae contra Romanos bellum susceperant, muros Mummius deiecit, arma civibus ademit: *atque haec omnia egit*, priusquam ab Urbe mitterentur, quorum consilio *in Graeciae rebus* ordinandis uteretur. (6) Ubi vero adfuerunt illi, *statim* omnem e civitatibus popularem administrationem sustulit: Magistratus ex censu instituti: tributa *universae* Graeciae imposita: locupletibus extra fines suos agri possessione interdictum: concilia singularum nationum, Achaicum, Phocicum, Boeoticum, itidemque in aliis Graeciae partibus, pariter omnia abolita. Non multis post annis Roma-

Ῥωμαῖοι τῆς Ἑλλάδος, καὶ συνέδριά τε κατὰ ἔθνος ἀποδιδόασιν ἑκάστοις τὰ ἀρχαῖα, καὶ γῆν ἐν τῇ ὑπερορίᾳ κτᾶσθαι· ἀφῆκαν δὲ καὶ ὅσοις ἐπιβεβλήκει Μόμμιος ζημίαν· Βοιωτούς τε γὰρ Ἡρακλεώταις καὶ Εὐβοεῦσι τάλαντα ἑκατὸν, καὶ Ἀχαιοὺς Λακεδαιμονίοις διακόσια ἐκέλευσεν ἐκτῖσαι. τούτων μὲν δὴ ἄφεσιν παρὰ Ῥωμαίων εὕροντο Ἕλληνες· ἡγεμὼν δὲ ἔτι καὶ ἐς ἐμὲ ἀπεστέλλετο. καλοῦσι δὲ οὐχ Ἑλλάδος, ἀλλ' Ἀχαΐας ἡγεμόνα οἱ Ῥωμαῖοι, διότι ἐχειρώσαντο Ἕλληνας δι' Ἀχαιῶν τότε τοῦ Ἑλληνικοῦ προεστηκότων. ὁ δὲ πόλεμος ἔσχεν οὗτος τέλος, Ἀντιθέου μὲν Ἀθήνησιν ἄρχοντος, Ὀλυμπιάδι δὲ ἑξηκοστῇ πρὸς ταῖς ἑκατὸν, ἣν ἐνίκα Διόδωρος Σικυώνιος.

nos Graecorum misericordia cepit. Quare et prisca concilia sua cuique genti restituta, et agros extra fines habere permissum: remissae etiam, quas Mummius civitatibus constituerat, multae. Boeotos enim ille, et Euboeenses Heracleotis talenta centum: Achaeos Lacedaemoniis CC pendere iusserat. Haec illis *civitatibus* pecunia omnis a Romanis condonata. Porro *redacta universa Graecia in provinciae formam* mittitur etiamnum *ad eam obtinendam* ex Urbe Praetor; quem, Achaiae non Graeciae appellant, quod scilicet Graeci subacti sunt principatum obtinentibus Achaeis. Confectum est Achaicum bellum, summum magistratum Athenis gerente Antitheo, Olympiade CLX, qua de stadio victor est renunciatus Diodorus Sicyonius.

CAPUT XVII.

Graecia tunc temporis ad summam inopiam redacta — Graeciae sors sub Nerone et Vespasiano — Achaïae finium et urbium descriptio, primum Dymes — de memorandis Dymes — Atte daemone — Oebota cursore.

Ἐς ἔσχατον δὲ ἀσθενείας τότε μάλιστα κατῆλθεν ἡ Ἑλλάς, λυμανθεῖσα κατὰ μέρη, καὶ διαπορθηθεῖσα ἐξ ἀρχῆς ὑπὸ τοῦ δαίμονος. Ἄργος μὲν, ἐς πλεῖστον ἀφικομένη δυνάμεως πόλις ἐπὶ τῶν καλουμένων ἡρώων, ὁμοῦ τῇ μεταβολῇ τῇ ἐς Δωριέας ἐξέλιπε τὸ ἐκ τῆς τύχης εὐμενές. τὸ δὲ ἔθνος τὸ Ἀττικὸν, ἀπὸ τοῦ Πελοποννησίων πολέμου καὶ νόσου τῆς λοιμώδους ἀνενεγκόν τε καὶ αὖθις ἀνανηξάμενον, ἔτεσιν ἔμελλεν οὐ πολλοῖς ὕστερον ἡ Μακεδόνων ἀρχὴ καθαιρήσειν, (ἀπέσκηψε δὲ ἐκ Μακεδονίας καὶ ἐς τὰς Βοιωτίας Θήβας τὸ Ἀλεξάνδρου μήνιμα) Λακεδαιμονίους δὲ Ἐπαμινώνδας ὁ Θηβαῖος καὶ αὖθις ὁ Ἀχαιῶν πόλεμος ἐγένετο, ὅτε δὴ καὶ μόγις, ἅτε ἐκ δένδρου λελωβημένου καὶ αὖθις τὰ πλείονα, ἀνεβλάστησεν ἐκ τῆς Ἑλλάδος τὸ Ἀχαϊκόν· καὶ αὐτὸ ἡ κακία τῶν

Cap. XVII. Atque his quidem temporibus Graecia iampridem multis lacerata et vexata adversis rerum casibus, serpente a singulis membris fati sui quasi tabe quadam, ad ipsa universa corporis *(ut ita dixerim)* vitalia, quod reliquum fuit opum atque imperii, amisit. Argos, quae heroicis olim temporibus admodum potens et opulenta fuerat civitas, translato ad Dorienses regno, acerbiorem experiri fortunam coepit. Atheniensium rempublicam post Peloponnesiaci belli et pestilentiae cladem respirantem, et quasi emergentem, Macedonum potentia paucis post annis oppressit. Boeotiis Thebis Alexandri iracundia exitio fuit. Lacedaemonios Thebani Epaminondae virtus, ac deinde Achaeorum arma perculere. Postremo Achaeorum imperium, quum quasi ex intermortua materiae redivivum sarmentum surgere conaretur, quo minus invalesceret, imperatorum suorum

στρατηγησάντων ἐκώλυσεν ἔτι αὐξανόμενον. (2) Χρόνῳ 564
δὲ ὕστερον ἐς Νέρωνα ἡ βασιλεία περιῆλθε ἡ Ῥωμαίων· καὶ ἐλεύθερον ὁ Νέρων ἀφίησιν ἁπάντων, ἀλλαγὴν πρὸς δῆμον ποιησάμενος τὸν Ῥωμαίων· Σαρδὼ γὰρ τὴν νῆσον ἐς τὰ μάλιστα εὐδαίμονα ἀντὶ Ἑλλάδος σφίσιν ἀντέδωκεν. ἀπιδόντι οὖν ἐς τοῦτό μοι τοῦ Νέρωνος τὸ ἔργον ὀρθότατα εἰρηκέναι Πλάτων ἐφαίνετο ὁ Ἀρίστωνος, ὁπόσ' ἀδικήματα μεγέθει καὶ τολμήματί ἐστιν ὑπερηρκότα, οὐ τῶν ἐπιτυχόντων εἶναι ταῦτα ἀνθρώπων, ψυχῆς δὲ γενναίας ὑπὸ ἀτόπου παιδείας διεφθαρμένης. οὐ μὴν Ἕλλησί γε ἐξεγένετο ὄνασθαι τοῦ δώρου· Οὐεσπασιανοῦ γὰρ μετὰ Νέρωνα ἄρξαντος, ἐς ἐμφύλιον στάσιν προήχθησαν, καὶ σφᾶς ὑποτελεῖς τε αὖθις ὁ Οὐεσπασιανὸς εἶναι φόρων καὶ ἀκούειν ἐκέλευσεν ἡγεμόνος, ἀπομεμαθηκέναι φήσας τὴν ἐλευθερίαν τὸ Ἑλληνικόν. τάδε μὲν οὕτω συμβάντα εὕρισκον.

(3) Ἀχαιοῖς δὲ ὅροι καὶ Ἠλείοις τῆς χώρας ποταμός τε Λάρισος, καὶ Ἀθηνᾶς ἐπὶ τῷ ποταμῷ ναός ἐστι Λα-

obstitit improbitas. (2) Multis post aetatibus quum ad Neronem Romanorum imperium pervenisset, is Graeciae sine populi Romani detrimento suam reddidit libertatem. Pro ea enim Sardiniam praedivitem insulam ei attribuit. In hoc Neronis factum quum intueor, rectissime mihi videtur Plato Aristonis filius dixisse, gravissima quaeque, et maxime insignia peccata non esse leviorum aut mediocrium ingeniorum offensiones; sed ab animi praeclara quadam indole, vitiosa educatione depravata, proficisci consuevisse. Sed enim non fuit hoc beneficium Graecis ad diuturnitatem stabile. Nam quum imperii gubernacula post Neronem Vespasianus teneret, is Graecos, quasi patrio morbo seditione laborantes, coercuit; et *annuo* vectigali imposito, Romanis magistratibus parere iussit, quod diceret, libertate uti Graecos iam dedidicisse. Et haec quidem de Achaeorum rebus gestis quae commemorarem, habui. (3) Agri fines inter Achaeos et Eleos Larissus amnis est; et in ipsa fere flumi-

αὐτῶν κατὰ συγγένειαν δή τινα παλαιὰν ἐδέχθησαν. ὡς δὲ τοῖς Φωκεῦσιν ἡ Κριτολάου συμφορὰ καὶ Ἀχαιῶν ἀπηγγέλλετο, ἀπελθεῖν ἐκ τῆς Ἐλατείας κελεύουσι τοὺς Ἀρκάδας. ἀπιοῦσι δὲ ὀπίσω σφίσιν ἐς τὴν Πελοπόννησον Μέτελλος καὶ Ῥωμαῖοι ἐπὶ Χαιρώνειαν ἐπιφαίνονται. ἔνθα δὴ ἐπελάμβανε τοὺς Ἀρκάδας ἐκ θεῶν δίκη τῶν Ἑλληνικῶν, οἳ ἐν Χαιρωνείᾳ Φιλίππου καὶ Μακεδόνων ἐναντία ἀγωνιζομένους ἐγκαταλιπόντες Ἕλληνας, τότε ἐν χωρίῳ τῷ αὐτῷ ἐκτείνοντο ὑπὸ Ῥωμαίων. (4) Ἀχαιοῖς δὲ αὖθις ἐπὶ τὴν ἡγεμονίαν τοῦ στρατεύματος παρῄει Δίαιος· καὶ δούλους τε ἐς ἐλευθερίαν ἠφίει, τὸ Μιλτιάδου καὶ Ἀθηναίων βούλευμα πρὸ τοῦ ἔργου τοῦ ἐν Μαραθῶνι μιμούμενος, καὶ Ἀχαιῶν συνέλεγε καὶ Ἀρκάδων ἀπὸ τῶν πόλεων τοὺς ἐν ἡλικίᾳ. ἐγένετο δὲ, ἀναμεμιγμένων ὁμοῦ καὶ οἰκετῶν, τὸ ἀθροισθὲν ἐς ἑξακοσίους μὲν μάλιστα ἀριθμὸν ἱππεῖς, τὸ δὲ ὁπλιτεῦον τετρακισχίλιοί τε καὶ μύριοι. ἐνταῦθα ὁ Δίαιος ἐς ἅπαν ἀφίκετο ἀνοίας, ὃς Κριτόλαον καὶ πᾶσαν τὴν Ἀχαιῶν ἐπιστάμενος παρασκευὴν κακῶς οὕτως ἀγωνισαμένην πρὸς Μέτελλον, ἀπέ-

tionem recepti fuissent, paulo post Critolai et Achaeorum clade cognita, eos inde Phocenses excedere iusserunt. In Peloponnesum retrocedentes, in Metelli exercitum ad Chaeroneam inciderunt. Ibi ad internecionem caesi, divinitus scelere suo dignas dedisse poenas videri possunt, eo potissimum loco a Romanis oppressi, quo Graecos cum Philippo Macedonum rege acie dimicantes deseruerant. (4) Achaeorum imperium ad Diaeum rediit: qui quod Miltiades ante pugnam Marathoniam fecerat, imitatus, vocatis ad pileum servis, et ad arma omni militari aetate Achaeorum et Arcadum conscripta, exercitum contraxit, ex collectitia ingenuorum pariter et servitiorum turba, equitum sexcentorum; gravis armaturae peditum quatuordecim millium. Ad imperatoris Achaici vecordiam nihil omnino addi potuit: qui quum ante oculos prope haberet omnem Achaeorum superiorem apparatum, et infelicem Critolai pugnam, ex illo ta-

λέξας αὐτὸς ὅσον τε ἐς τετρακισχιλίους, καὶ ἄρχοντα ἐπ' αὐτοῖς τάξας Ἀλκαμένην, ἀποστέλλεται δὲ ἐς Μέγαρα, φρουρά τε εἶναι Μεγαρεῦσι τοῦ ἄστεως, καὶ ἢν Μέτελλος ἐπίῃ καὶ οἱ Ῥωμαῖοι, τοῦ πρόσω σφᾶς κωλύειν. (5) Μέτελλος δὲ, ὡς οἱ περὶ Χαιρώνειαν λογάδες κατέστρωντο οἱ Ἀρκάδων, ἀναστήσας τὸ στράτευμα ἤλαυνεν ἐπὶ τὰς Θήβας· Ἡράκλειάν τε γὰρ ἐπολιόρκησαν οἱ Θηβαῖοι μετὰ Ἀχαιῶν, καὶ ἀγῶνος τοῦ πρὸς Σκάρφειαν μετεσχήκεσαν. τότε δὲ αὐτοί τε καὶ γυναῖκες ἐκλελοιπότες, πᾶσα ἡλικία, τὴν πόλιν, ἐπλανῶντο ἀνὰ τὴν Βοιωτίαν, καὶ ἐς τῶν ὀρῶν τὰ ἄκρα ἀνέφευγον. Μέτελλος δὲ οὔτε ἱερὰ ἐμπιπράναι θεῶν, οὔτε οἰκοδομήματα καθαιρεῖν εἴα, Θηβαίων τε τῶν ἄλλων μήτε ἀποκτεῖναι μηδένα, μήτε
αἱρεῖν φεύγοντα ἀπηγόρευε· Πυθέαν δὲ ἢν ἕλωσιν, ἀνά- 560
γειν ἐκέλευσεν ὡς αὐτόν. ἐξεύρητό τε δὴ αὐτίκα ὁ Πυθέας, καὶ ἀναχθεὶς δίκην εἶχεν. ὡς δὲ πλησίον Μεγάρων ἐγίνετο ὁ στρατὸς, οὔτε ὑπέμειναν οἱ περὶ τὸν Ἀλκαμένην, καὶ αὐτίκα ἐς Κόρινθον παρὰ τὸ στρατόπεδον τὸ

men delectu ad quatuor millia hominum selegit, eosque duce Alcamene Megaram misit, quo et urbi praesidio essent, et Metello in Peloponnesum iam invadenti obsisterent. (5) Metellus vero, quum lectissimam Arcadum cohortem ad Chaeroneam stravisset, motis castris Thebas contendit. Thebani enim cum Achaeis Heracleam consederant, eorumque in proelio ad Scarphiam fuerant socii. Metello iam appropinquante, Thebanae mulieres, et cuiusvis aetatis viri urbe relicta, partim per Boeotiae agros et oppida palantes sunt dilapsi, partim in montium iuga confugere. *Vacuam urbem ingressus* Imperator Romanus neque Deum templa exuri, neque domos everti passus est: edicto etiam cavit, ne quis e ceteris Thebanis vel occideretur, vel fugiens caperetur: Pytheam (si captus fuisset) ad se duci iussit: et is quidem ubi in hostium potestatem venit, ad Metellum perductus, merito affectus est supplicio. Quum iam prope ad Megarae moenia Romanus accederet, statim Alcamenes cum praesi-

Digitized by Google

Ἀχαιῶν ἔφευγον φεύγοντες· καὶ Μεγαρεῖς μὲν παρέδοσαν ἀμαχεὶ Ῥωμαίοις τὴν πόλιν. Μέτελλος δὲ ὡς ἀφίκετο παρὰ τὸν Ἰσθμὸν, ἐπεκηρυκεύετο καὶ τότε Ἀχαιοῖς, ἐς εἰρήνην καὶ ὁμολογίαν προκαλούμενος. ἰσχυρὸς γάρ τις ἐνέκειτο αὐτῷ πόθος τά ἐν Μακεδονίᾳ τε ὁμοῦ καὶ τὰ Ἀχαιῶν κατεργασθῆναι. καὶ τούτῳ μὲν ταῦτα ἐσπευκότι Δίαιος ἠναντιοῦτο ὑπὸ ἀφροσύνης.

CAPUT XVI.

Mummii cum Oreste adventus ad Isthmum — Achaei Romanos aggressi fugantur — Diaei factum dissimile facto Callicrati — Diaeus se veneno conficit — Mummius Corinthum capit et evertit — civitatum graecarum magistratus constituit — illis Romani postea pristinum statum reddunt et Achaiae praesidem mittunt.

Μόμμιος δὲ Ὀρέστην ἅμα ἀγόμενος, τὸν πρότερον ἐπὶ τῇ Λακεδαιμονίων διαφορᾷ καὶ Ἀχαιῶν ἐλθόντα, ἀφίκετο μὲν περὶ ὄρθρον ἐς τὸ τῶν Ῥωμαίων στράτευμα, ἀποπέμψας δὲ ἐς Μακεδονίαν Μέτελλον καὶ ὅσον εἵπετο ἐκείνῳ, ἀνέμενεν αὐτὸς ἐν τῷ Ἰσθμῷ τὴν πᾶσαν ἀθροισθῆναι παρασκευήν. ἀφίκετο δὲ ἱππικὸν μὲν, πεντακο-

-diariorum manu Corinthum in Achaeorum castra confugit. Megarenses urbem sine certamine Romanis dediderunt. Metellus ubi primum Isthmum attigit, *etsi prospere ei omnia evenerant*, ad pacis tamen conditiones ultro Achaeos invitabat. Vehementius enim sollicitabat hominem utriusque belli, Macedonici scilicet et Achaici, conficiendi spes. Huius quo minus fieret voti compos, Diaei stultitiae plenum consilium obstitit.

Cap. XVI. Dum haec aguntur, Mummius Orestem, qui ante inter Achaeos et Lacedaemonios arbiter fuerat, secum habens, mane ad exercitum pervenit. Et Metello quidem cum suis copiis in Macedoniam amandato, ad Isthmum ipse substitit, donec universum agmen coegisset. Fuit militum

σιοί τε καὶ τρισχίλιοι· τοῦ πεζοῦ δὲ ἀριθμὸς ἐγένετο ἐς μυριάδας δύο, προσθέντων καὶ τούτοις τρισχιλίων· ἐπῆλθον δὲ καὶ τοξόται Κρῆτες, καὶ ἐκ Περγάμου τῆς ὑπὲρ Καΐκου Φιλοποίμην στρατιώτας ἄγων παρὰ Ἀττάλου. Μόμμιος μὲν δὴ τότε τῶν ἐξ Ἰταλίας τινὰς καὶ τὰ ἐπικουρικὰ ἀπωτέρω δύο τε καὶ δέκα ἔταξε σταδίοις, πρὸ τοῦ παντὸς εἶναι στρατεύματος φυλακήν. (2) Ἀχαιοὶ δὲ, ἐχόντων ἀφυλακτότερον ὑπὸ φρονήματος τῶν Ῥωμαίων, ἐπιτίθενται τοῖς ἐπὶ φυλακῆς αὐτοῖς τῆς πρώτης, καὶ τοὺς μὲν φονεύουσι, πλείονας δὲ ἐς τὸ στρατόπεδον κατεῖρξαν, καὶ ἀσπίδας ὅσον τε πεντακοσίας εἷλον. ἀπὸ τούτου δὲ τοῦ ἔργου καὶ ἐπήρθησαν οἱ Ἀχαιοὶ ποιήσασθαι τὴν ἔξοδον πρότερον, πρὶν ἢ Ῥωμαίους ἄρχειν μάχης. ὡς δὲ ἀντεπῆγε καὶ ὁ Μόμμιος, οἱ μὲν ἐς τὸ ἱππικὸν τῶν Ἀχαιῶν ταχθέντες αὐτίκα ᾤχοντο φεύγοντες, τῆς Ῥωμαίων ἵππου μηδὲ τὴν πρώτην ἔφοδον ὑπομείναντες· ὁ δὲ πεζὸς στρατὸς ἀθύμως μὲν εἶχεν ἐπὶ τῶν ἱππέων τῇ τροπῇ, δεξάμενοι δὲ τὴν ἐμβολὴν τοῦ ὁπλιτικοῦ

numerus, equites ter mille et quingenti, peditum viginti tria millia. Praesto fuerunt Cretenses sagittarii: et e Pergamo, quae supra Caicum est, ab Attalo missam manum adduxit Philopoemen. Secuta etiam auxilia Mummium fuerant ex Italia. Ea Mummius duodecim ante castra stadiis collocavit, ad excubias ibi agendas. (2) Achaei, quum Romani prae nimia fiducia custodias minus diligenter agerent, adoriuntur eos qui in prima custodia erant collocati: eorumque multos occidunt, plures loco pulsos usque in castra persequuntur: scuta fere quingenta capta. Hoc elati successu Achaei, priores pugnam poscere sunt ausi: verum ubi Mummius in hostem aciem direxit, Achaeorum equitatus ad primam Romanorum equitum, contra quos steterat, impressionem, in fugam se dedit. Sustinuit gravis hostium armatura primum Romani peditatus congressum, cui animos non mediocriter fregerat subita illa equitum fuga; et sola quidem audacia, longe impares numero, et jam dimicando fa-

τοῦ Ῥωμαίων, βιαζόμενοί τε τῷ πλήθει καὶ ἀπαγορεύον-
561 τες τοῖς τραύμασιν ὅμως ἀντεῖχον ὑπὸ τοῦ θυμοῦ, πρίν γε δὴ Ῥωμαίων λογάδες χίλιοι προσπεσόντες κατὰ τὰ πλάγια ἐς τελέαν τοὺς Ἀχαιοὺς φυγὴν κατέστησαν. εἰ δὲ ἐτόλμησεν ἐσδραμεῖν μετὰ τὴν μάχην Δίαιος ἐς Κόρινθον, καὶ ὑποδέξασθαι τῷ τείχει τοὺς διαπίπτοντας ἐκ τῆς φυγῆς, κἂν εὕρασθαί τι παρὰ Μομμίου οἱ Ἀχαιοὶ φιλάνθρωπον ἠδυνήθησαν, ἐς πολιορκίαν καὶ τριβὴν πολέμου καταστάντες. (3) Νῦν δὲ ἀρχομένων ἔτι ἐνδιδόναι τῶν Ἀχαιῶν, εὐθὺ Μεγάλης πόλεως ἔφευγεν ὁ Δίαιος, οὐδέν τι γενόμενος ἐς Ἀχαιοὺς ὅμοιος [ἢ] καὶ Καλλίστρατος ὁ Ἐμπέδου πρὸς Ἀθηναίους. τούτῳ γὰρ τῷ ἀνδρὶ ἱππαρχήσαντι ἐν Σικελίᾳ, ὅτε οἱ Ἀθηναῖοι καὶ ὅσοι ἄλλοι τοῦ στόλου μετεσχήκεσαν, ἀπώλλυντο πρὸς τῷ ποταμῷ τῷ Ἀσινάρῳ, τούτῳ τῷ Καλλιστράτῳ παρέσχε τόλμα διεκπαῖσαι διὰ τῶν πολεμίων, ἄγοντι τοὺς ἱππέας· τῶν δὲ τὸ πολὺ ἀπέσωσεν αὐτῶν ἐς Κατάνην, ἀνέστρεφεν ὀπίσω τὴν αὐτὴν αὖθις ὁδὸν ἐς Συρακούσας. διαρπάζοντας δὲ

tigati, restiterunt tamen, quousque mille hominum lectissimorum globus e transverso in latera invaserunt: tunc enim ex omni parte effusissimam fugam fecere. Quod si Diaeus ab adverso praelio Corinthum se recepisset, eodemque dispersas suorum reliquias coegisset, potuissent fortasse Achaei a Mummio, praesertim si ad obsidionem res devenisset, belloque mora fuisset iniecta, mitius aliquid impetrare. (3) At ille, ut primum sui terga hosti vertere coeperunt, recta Megalopolin evasit: in Achaeis servandis haudquaquam ea usus animi magnitudine, qua Callistratus Empedi filius olim suorum saluti consuluerat. Is enim in Sicilia ad Asinarum amnem, Atheniensium, et eorum, qui eius expeditionis socii fuerant, copiis prope ad internecionem deletis, per medios hostes equitibus, quorum ipse dux erat, viam fecit; ac deinde Catanam cum magna suorum parte incolumis elapsus, mox eadem via Syracusas pergens, eos opprimere

ἐπόρθουν τὸ Ἀθηναίων στρατόπεδον· καταβάλλει τε ὅσον πέντε ἐξ αὐτῶν, καὶ τραύματα ἐπίκαιρα αὐτὸς καὶ ὁ ἵππος λαβόντες ἀφιᾶσι τὴν ψυχήν. οὗτος μὲν δὴ ἀγαθὴν δόξαν Ἀθηναίοις καὶ αὑτῷ κτώμενος, περιεποίησέ τε, ὧν ἦρχε, καὶ ἐτελεύτησεν αὐτὸς ἑκουσίως. (4) Δίαιος δὲ Ἀχαιοὺς ἀπολωλεκὼς, Μεγαλοπολίταις κακῶν τῶν ἐφεστηκότων ἧκεν ἄγγελος· ἀποκτείνας δὲ αὐτοχειρὶ τὴν γυναῖκα, ἵνα μὴ γένοιτο αἰχμάλωτος, τελευτᾷ πιὼν φάρμακον· ἐοικυῖαν μὲν παρασχόμενος Μεναλκίδᾳ τὴν ἐς χρήματα πλεονεξίαν, ἐοικυῖαν δὲ καὶ τὴν ἐς τὸν θάνατον δειλίαν. Ἀχαιῶν δὲ οἱ ἐς Κόρινθον ἀποσωθέντες μετὰ 562 τὴν μάχην ἀπεδίδρασκον ὑπὸ νύκτα εὐθύς· ἀπεδίδρασκον δὲ καὶ αὐτῶν Κορινθίων οἱ πολλοί. (5) Μόμμιος δὲ τὸ μὲν παραυτίκα, ἀναπεπταμένων ὅμως τῶν πυλῶν, ἐπεῖχεν ἐς τὴν Κόρινθον παρελθεῖν, ὑποκαθῆσθαί τινα ἐντὸς τοῦ τείχους ὑποπτεύων ἐνέδραν· τρίτῃ δὲ ἡμέρᾳ μετὰ τὴν μάχην ᾕρει τε κατὰ κράτος, καὶ ἔκαιε Κόρινθον. τῶν δὲ ἐγκαταληφθέντων τὸ μὲν πολὺ οἱ Ῥωμαῖοι φονεύουσι,

est conatus, qui castra Atheniensium diripiebant. Ibi quinque ex hostium numero caesis, ipse equo saucio aliquot lethalibus vulneribus acceptis, parta et Atheniensibus et sibi insigni gloria, servatisque, quibus imperarat equitibus, mortem oppetiit. (4) At Diaeus illius virtutem minime aemulatus, amissis Achaeorum copiis, Megalopolitanis imminentis calamitatis nuncium attulit: ac postremo manu sua uxore, ne captiva in hostium potestatem veniret, occisa, hausto ipse veneno occubuit: et sane uti pecuniae cupiditate Menalcidae par fuit, sic propemodum vitae exitum habuit mortis turpitudine consimillimum. Achaei, qui Corinthum post pugnam confugerant, intendentibus se noctis tenebris, clam abiere, et cum illis Corinthiorum longe maximus numerus. (5) Mummius, etsi apertas videbat portas, suorum tamen celeritatem cohibuit, quod ne intra muros insidiae comparatae fuissent, metuebat. Tertio demum post pugnam die Corinthum vi cepit, cremavitque: viri omnes trucidati, foe-

CAPUT XVII.

Graecia tunc temporis ad summam inopiam redacta — Graeciae sors sub Nerone et Vespasiano — Achaïae finium et urbium descriptio, primum Dymes — de memorandis Dymes — Atte daemone — Oebota cursore.

Ἐς ἅπαν δὲ ἀσθενείας τότε μάλιστα κατῆλθεν ἡ Ἑλλάς, λυμανθεῖσα κατὰ μέρη, καὶ διαπορθηθεῖσα ἐξ ἀρχῆς ὑπὸ τοῦ δαίμονος. Ἄργος μέν, ἐς πλεῖστον ἀφικομένη δυνάμεως πόλις ἐπὶ τῶν καλουμένων ἡρώων, ὁμοῦ τῇ μεταβολῇ τῇ ἐς Δωριέας ἐπέλιπε τὸ ἐκ τῆς τύχης εὐμενές. τὸ δὲ ἔθνος τὸ Ἀττικόν, ἀπὸ τοῦ Πελοποννησίων πολέμου καὶ νόσου τῆς λοιμώδους ἀνενεγκόν τε καὶ αὖθις ἀνανηξάμενον, ἔτεσιν ἔμελλεν οὐ πολλοῖς ὕστερον ἡ Μακεδόνων ἀρχὴ καθαιρήσειν, (ἐπεσκήψε δὲ ἐκ Μακεδονίας καὶ ἐς τὰς Βοιωτίας Θήβας τὸ Ἀλεξάνδρου μήνιμα) Λακεδαιμονίους δὲ Ἐπαμινώνδας ὁ Θηβαῖος καὶ αὖθις ὁ Ἀχαιῶν πόλεμος ἐγένετο, ὅτε δὴ καὶ μόγις, ἅτε ἐκ δένδρου λελωβημένου καὶ αὖθις τὰ πλείονα, ἀνεβλάστησεν ἐκ τῆς Ἑλλάδος τὸ Ἀχαϊκόν· καὶ αὐτὸ ἡ κακία τῶν

Cap. XVII. Atque his quidem temporibus Graecia iampridem multis lacerata et vexata adversis rerum casibus, serpente a singulis membris fati sui quasi tabe quadam, ad ipsa universa corporis *(ut ita dixerim)* vitalia, quod reliquum fuit opum atque imperii, amisit. Argos, quae heroicis olim temporibus admodum potens et opulenta fuerat civitas, translato ad Dorienses regno, acerbiorem experiri fortunam coepit. Atheniensium rempublicam post Peloponnesiaci belli et pestilentiae cladem respirantem, et quasi emergentem, Macedonum potentia paucis post annis oppressit. Boeotiis Thebis Alexandri iracundia exitio fuit. Lacedaemonios Thebani Epaminondae virtus, ac deinde Achaeorum arma perculere. Postremo Achaeorum imperium, quum quasi ex intermortua materiae redivivum sarmentum surgere conaretur, quo minus invalesceret, imperatorum suorum

στρατηγησάντων ἐκώλυσεν ἔτι αὐξανόμενον. (2) Χρόνῳ 564 δὲ ὕστερον ἐς Νέρωνα ἡ βασιλεία περιῆλθεν ἡ Ῥωμαίων· καὶ ἐλεύθερον ὁ Νέρων ἀφίησιν ἁπάντων, ἀλλαγὴν πρὸς δῆμον ποιησάμενος τὸν Ῥωμαίων· Σαρδὼ γὰρ τὴν νῆσον ἐς τὰ μάλιστα εὐδαίμονα ἀντὶ Ἑλλάδος σφίσιν ἀντέδωκεν. ἀπιδόντι οὖν ἐς τοῦτό μοι τοῦ Νέρωνος τὸ ἔργον ὀρθότατα εἰρηκέναι Πλάτων ἐφαίνετο ὁ Ἀρίστωνος, ὁπόσ' ἀδικήματα μεγέθει καὶ τολμήματι ἐστὶν ὑπερηρκότα, οὐ τῶν ἐπιτυχόντων εἶναι ταῦτα ἀνθρώπων, ψυχῆς δὲ γενναίας ὑπὸ ἀτόπου παιδείας διεφθαρμένης. οὐ μὴν Ἕλλησί γε ἐξεγένετο ὄνασθαι τοῦ δώρου· Οὐεσπασιανοῦ γὰρ μετὰ Νέρωνα ἄρξαντος, ἐς ἐμφύλιον στάσιν προήχθησαν, καὶ σφᾶς ὑποτελεῖς τε αὖθις ὁ Οὐεσπασιανὸς εἶναι φόρων καὶ ἀκούειν ἐκέλευσεν ἡγεμόνος, ἀπομεμαθηκέναι φήσας τὴν ἐλευθερίαν τὸ Ἑλληνικόν. τάδε μὲν οὕτω συμβάντα εὕρισκον.

(3) Ἀχαιοῖς δὲ ὅροι καὶ Ἠλείοις τῆς χώρας ποταμός τε Λάρισος, καὶ Ἀθηνᾶς ἐπὶ τῷ ποταμῷ ναός ἐστι Λα-

obstitit improbitas. (2) Multis post aetatibus quum ad Neronem Romanorum imperium pervenisset, is Graeciae sine populi Romani detrimento suam reddidit libertatem. Pro ea enim Sardiniam praedivitem insulam ei attribuit. In hoc Neronis factum quum intueor, rectissime mihi videtur Plato Aristonis filius dixisse, gravissima quaeque, et maxime insignia peccata non esse leviorum aut mediocrium ingeniorum offensiones; sed ab animi praeclara quadam indole, vitiosa educatione depravata, proficisci consuevisse. Sed enim non fuit hoc beneficium Graecis ad diuturnitatem stabile. Nam quum imperii gubernacula post Neronem Vespasianus teneret, is Graecos, quasi patrio morbo seditione laborantes, coercuit; et *annuo* vectigali imposito, Romanis magistratibus parere iussit, quod diceret, libertate uti Graecos iam dedidicisse. Et haec quidem de Achaeorum rebus gestis quae commemorarem, habui. (3) Agri fines inter Achaeos et Eleos Larissus amnis est; et in ipsa fere flumi-

ρισσαίας. καὶ Ἀχαιῶν πόλις Δύμη σταδίους ὅσον τετρα-
κοσίους ἀπέχει τοῦ Λαρίσου. ταύτην Φίλιππος ὁ Δημη-
τρίου πολεμῶν, μόνην τῶν Ἀχαϊκῶν ἔσχεν ὑπήκοον· καὶ
565 ἐπὶ τῇ αἰτίᾳ ταύτῃ Ὀλυμπικός, ἡγεμὼν καὶ οὗτος Ῥω-
μαίων, ἐπέτρεψε τῇ στρατιᾷ διαρπάσαι τὴν Δύμην· Αὔ-
γουστος δὲ ὕστερον καὶ προσένειμεν αὐτὴν Πατρεῦσιν.
ἐκαλεῖτο δὲ τὰ μὲν ἀρχαιότερα Πάλεια· ἐχόντων δ' ἔτι
Ἰώνων, ὄνομά δὲ μετέθεντο τὸ ἐς ἡμᾶς, σαφῶς δ' οὐκ
οἶδα, εἴτε ἀπὸ γυναικὸς ἐπιχωρίας Δύμης, εἴτε ἀπὸ Δύ-
μαντος τοῦ Αἰγιμίου. ὑπὸ δὲ τοῦ ἐλεγείου τοῦ Ὀλυμ-
πίασιν ἐπὶ τῇ εἰκόνι τῇ Οἰβώτα οὐκ ἂν προαχθείη τις
εἰς ἀλογίαν. Οἰβώτῃ γὰρ ἀνδρὶ Δυμαίῳ, σταδίου μὲν
ἀνελομένῳ νίκην Ὀλυμπιάδι ἕκτῃ, εἰκόνος δὲ ἐν Ὀλυμ-
πίᾳ περὶ τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα κατὰ μάντευμα ἐκ
Δελφῶν ἀξιωθέντι, ἐπίγραμμά ἐστιν ἐπ' αὐτῷ λέγον·

Οἰνία Οἰβώτας στάδιον νικῶν ὅδ' Ἀχαιοῖς
Πατρίδα Πάλειαν θῆκ' ὀνομαστοτέραν.

nis ripa Larissaeae Minervae templum. Abest a Larisso Achaeorum urbs Dyme stadia ferme quadringenta. Hanc Philippus, Demetrii filius, bellum cum Achaeis gerens, unam ex omnibus, quae Achaeis parerent, dicto audientem habuit: et hanc unam ob culpam Olympicus, et ipse Romanus dux, militi Dymen diripiendam dedit: Augustus eam postea Patrensibus attribuit. Priscis temporibus Palea est appellata. Hoc quod nunc habet nominis, tunc accepit, quum in Ionum adhuc ditione esset. Neque vero satis mihi liquet, utrum a Dyme foemina indigena, an a Dymante Aegimii filio sit nuncupata. Quod si quis forte elegos legerit, qui ad Oebotae statuam in Olympia inscripti sunt, is facile de huius urbis nomine ambigere possit. Oebotae quidem Dymaeo palma de stadio data Olympiade VII: statua vero in Olympia ex Delphico quodam responso octogesima demum Olympiade erecta. Ad eum hi versus inscripti:

Oeniae Oebotas stadium superavit Achivus,
Per quem Palea clarius enituit.

τοῦτο οὖν οὐκ ἄν τινι ἀλογίαν παραστήσειεν, εἰ Πάλειαν, ἀλλὰ μὴ Δύμην τὸ ἐπίγραμμα καλεῖ τὴν πόλιν. τὰ γὰρ ἀρχαιότερα ὀνόματα ἐς ποίησιν ἐπάγεσθαι τῶν ὑστέρων, καθεστηκός ἐστιν Ἕλλησιν· καὶ Ἀμφιάραόν τε καὶ Ἄδραστον Φορωνείδας, καὶ Ἐρεχθείδην ἐπονομάζουσι τὸν Θησέα. (4) Ὀλίγον δὲ πρὸ τοῦ ἄστεως ἐστι τοῦ Δυμαίων ἐν δεξιᾷ τῆς ὁδοῦ τάφος Σωστράτου· μειράκιον δὲ ἦν τῶν ἐπιχωρίων· γενέσθαι δὲ Ἡρακλέους ἐρώμενόν φασιν αὐτὸν, καὶ (ἀποθανεῖν γὰρ τὸν Σώστρατον Ἡρακλέους ἔτι ὄντος μετὰ ἀνθρώπων) οὕτως οἱ τὸν Ἡρακλέα τό τε μνῆμα αὐτὸν εἶναι τὸν ποιήσαντα, καὶ ἀπαρχὰς ἀπὸ τῶν 566
ἐν τῇ κεφαλῇ τριχῶν δοῦναι. ἐπίθημα δὲ καὶ ἐς ἐμὲ ἔτι στήλη τε ἦν ἐπὶ τοῦ χώματος, καὶ Ἡρακλῆς ἐπειργασμένος· ἐλέγετο δὲ, ὡς οἱ ἐπιχώριοι καὶ ἐναγίζουσι τῷ Σωστράτῳ. (5) Δυμαίοις δὲ ἔστι μὲν Ἀθηνᾶς ναὸς καὶ ἄγαλμα ἐς τὰ μάλιστα ἀρχαῖον· ἔστι δὲ καὶ ἄλλο ἱερόν σφισι Δινδυμήνῃ μητρὶ καὶ Ἄττῃ πεποιημένον. Ἄττης δὲ ὅστις ἦν, οὐδὲν οἷός τε ἦν ἀπόρρητον ἐς αὐτὸν ἐξευρεῖν. ἀλλὰ Ἑρμησιάνακτι μὲν τῷ τὰ ἐλεγεῖα γράψαντι

Verum nihil nominis haec commutatio, quod scilicet non Dymen, sed Paleam hi versus nominent, quenquam conturbarit. Prisca enim nomina carminibus aptiora iudicantur, et ea in primis usurpant Graeci poetae, qui Amphiaraum et Adrastum Phoronidas, Erechthiden Theseum solent appellare. (4) In suburbano Dymes agro, ad viae dexteram, Sostrati sepulcrum exstat. Fuit hic indigena adolescentulus, Herculi (ut aiunt) in amoribus, et superstitem illi Herculem ipsum tumulum puero fecisse memorant, capillumque inferias misisse. Aetate etiamnum mea imminet terrae aggeri pila, cui Herculis signum insistit. Parentare vero Sostrato populares suos accepi. (5) Habent iidem Dymaei Minervae aedem, et signum, prisci utrumque operis. Aliud etiam apud Dymaeos Dindymenae matri et Attae dedicatum est fanum. Attes quidem hic quisnam fuerit, nihil omnino arcani uspiam comperi. Hermesianax elegorum scri-

πεποιημένα ἐστὶν, ὡς υἱός τε ἦν Καλαοῦ Φρυγὸς, καὶ ὡς οὐ τεκνοποιὸς ὑπὸ τῆς μητέρος τεχθείη. ἐπεὶ δὲ ηὔξητο, μετῴκησεν ἐς Λυδίαν τῷ Ἑρμησιάνακτος λόγῳ, καὶ Λυδοῖς ὄργια ἐτέλει Μητρὸς, ἐς τοσοῦτο ἥκων παρ' αὐτῇ τιμῆς, ὡς Δία αὐτῇ νεμεσήσαντα ὗν ἐπὶ τὰ ἔργα ἐπιπέμψαι τῶν Λυδῶν. ἐνταῦθα ἄλλοι τε τῶν Λυδῶν καὶ αὐτὸς Ἄττης ἀπέθανεν ὑπὸ τοῦ ὑός· καί τι ἑπόμενον τούτοις Γαλατῶν δρῶσιν οἱ Πεσινοῦντα ἔχοντες, ὑῶν οὐχ ἁπτόμενοι. νομίζουσί γε μὴν οὐχ οὕτω τὰ ἐς τὸν Ἄττην, ἀλλὰ ἐπιχώριός ἐστιν ἄλλος σφίσιν ἐς αὐτὸν λόγος. Δία ὑπνωμένον ἀφιέναι σπέρμα ἐς γῆν, τὴν δὲ ἀνὰ χρόνον ἀνεῖναι δαίμονα διπλᾶ ἔχοντα αἰδοῖα, τὰ μὲν ἀνδρὸς, τὰ δὲ [αὐτῷ] γυναικός· ὄνομα δὲ Ἄγδιστιν αὐτῷ τίθενται. θεοὶ δὲ Ἄγδιστιν δείσαντες, τὰ αἰδοῖά οἱ τὰ ἀνδρὸς ἀποκόπτουσιν. ὡς δὲ ἀπ' αὐτῶν ἀναφῦσα ἀμυγδαλῆ εἶχεν ὡραῖον τὸν καρπὸν, θυγατέρα τοῦ Σαγγαρίου ποταμοῦ λαβεῖν φασι τοῦ καρποῦ· ἐσθεμένης δὲ ἐς τὸν κόλπον, καρπὸς μὲν ἐκεῖνος ἦν ἀφανὴς αὐτίκα, αὐτὴ δὲ ἐκύει·

ptor versibus prodidit, Calai Phrygis filium fuisse, et ad sobolem procreandam plane inutilem editum a matre. Quum iam adolevisset, in Lydiam migrasse, ibique Magnae matris caeremonias monstrasse: tanto vero in honore apud deam fuisse, ut id moleste ferens Iupiter, *immanem* aprum in Lydorum segetes immiserit; a quo et alii e Lydis, et ipse Attes interemptus fuerit. Fidem rei faciunt Gallograeci Pesinuntis incolae. Sue enim *tanquam impura bestia* omnino abstinent. Sed alius longe sermo de Atte est apud ipsos memoriae consecratus. Iovem fabulantur per somnum in terram semen profudisse; terram postea absoluto foeturae tempore genium edidisse, qui duplex haberet inguen, alterum maris, alterum foeminae: Agdistin appellatum: deos monstro exterritos virilem ei partem execuisse: ex ea amygdalum enatam: cuius quum maturos fructus appetisset Sangarii amnis filia, eosque in sinum abdidisset, evanuisse illos quidem; verum puellam gravidam factam, puerum enixam:

τεκούσης δέ, τράγος περιεῖπε τὸν παῖδα ἐκκείμενον. ὡς δὲ αὐξανομένῳ κάλλους οἱ μετῆν πλέω ἢ κατὰ εἶδος ἀνθρώπου, ἐνταῦθα τοῦ παιδὸς ἔρως ἔσχεν Ἄγδιστιν. αὐξηθέντα δὲ Ἄττην ἀποστέλλουσιν ἐς Πεσσινοῦντα οἱ προσήκοντες συνοικήσοντα τοῦ βασιλέως θυγατρί. ὑμέναιος δὲ ᾔδετο, καὶ Ἄγδιστις ἐφίσταται, καὶ τὰ αἰδοῖα ἀπέκοψε μανεὶς ὁ Ἄττης, ἀπέκοψε δὲ καὶ ὁ τὴν θυγατέρα αὐτῷ διδούς. Ἄγδιστιν δὲ μετάνοια ἔσχεν, οἷα Ἄττην ἔδρασε. καὶ οἱ παρὰ Διὸς εὕρετο, μήτε σήπεσθαί τι Ἄττῃ τοῦ σώματος, μήτε τήκεσθαι. τάδε μὲν ἐς Ἄττην τὰ γνωριμώτατα. (6) Ἐν δὲ τῇ χώρᾳ τῇ Δυμαίᾳ καὶ τοῦ δρομέως Οἰβώτα*. νικήσαντι δ' ἐν Ὀλυμπίᾳ Ἀχαιῶν πρώτῳ γέρας οὐδέν ἐξαίρετον παρ' αὐτῶν ἐγένετο εὕρασθαι· καὶ ἐπὶ τούτῳ κατάρας ὁ Οἰβώτας ἐποιήσατο, μηδενὶ Ὀλυμπιακὴν νίκην ἔτι Ἀχαιῶν γενέσθαι. καὶ (ἦν γάρ τις θεῶν, ᾧ τοῦ Οἰβώτα μέλεσθαι τὰς κατάρας οὐκ ἀμελὲς ἦν) διδάσκονται τότε οἱ Ἀχαιοί, καθ' ἥντινα αἰτίαν στεφάνου 567

hunc in sylva expositum, a capella educatum, quum adolevisset, eximia fuisse, et multo quam humana excellentiore pulchritudine: quocirca acri eius amore captum Agdistin. Quum ad virilem aetatem pervenisset, Pesinuntem eum propinqui sui miserunt. Ibi quum regis filiam uxorem esset ducturus, et iam nuptiale carmen cantaretur, *repente* Agdistis interveniens tantum Attae immisit furorem, ut sibi pudenda praecideret. Hoc item socer ipsius fecit. Agdistin facti poenituit. Quare a Iove impetravit, ne qua in posterum corporis Attae pars putresceret aut tabesceret. Haec de Atte maxime prodita. (6) In Dymaeorum finibus Oebotae cursoris victoriae monumentum exstat; qui quum primus ex Achaeis Olympiae coronam meruisset, neque ullum apud cives suos eo nomine praecipuum honorem esset adeptus, imprecatum Achaeis aiunt, ne quis ipsorum unquam palmam Olympicam ferret. Exstitit omnino deorum aliquis, cui fuit curae ratam facere eam Oebotae execrationem. Id tum demum resciverunt Achaei, quum se mirantes Olym-

τοῦ Ὀλυμπιακῶν ἡμάρτανον, διδάσκονται δὲ ἀποστείλαντες ἐς Δελφούς. οὕτω δὴ καὶ ἄλλα ἐς τιμὴν σφισι τοῦ Οἰβώτα ποιήσασι, καὶ τὴν εἰκόνα ἀναθεῖσιν ἐς Ὀλυμπίαν, Σώστρατος Πελληνεὺς σταδίου νίκην ἔσχεν ἐν παισί. διαμένει δὲ ἐς ἐμὲ ἔτι Ἀχαιῶν τοῖς ἀγωνίζεσθαι μέλλουσι τὰ Ὀλύμπια, ἐναγίζειν τῷ Οἰβώτᾳ, καὶ ἢν κρατήσωσιν, ἐν Ὀλυμπίᾳ στεφανοῦν τοῦ Οἰβώτα τὴν εἰκόνα.

CAPUT XVIII.

De Piro amne et urbe Oleno — Patrensium urbs et Glaucus amnis — Patrensium de Baccho narratio — Patrei statua — urbs Patrae deleta et ab Augusto imperatore restituta — de memorandis urbis Patrensium, templo et signo Dianae Laphriae — sacris anniversariis Dianae Laphriae.

Σταδίους δὲ ὅσον τεσσαράκοντα προελθόντι ἐκ Δύμης ποταμὸς Πεῖρος ἐς θάλασσαν κάτεισι· καὶ Ἀχαιῶν πόλις ποτὲ Ὤλενος ᾠκεῖτο παρὰ τῷ Πείρῳ. ὁπόσοι δὲ ἐς Ἡρακλέα καὶ τὰ ἔργα αὐτοῦ πεποιήκασιν, ἔστιν οὐκ ἐλάχιστά σφισι δείγματα τοῦ λόγου Δεξαμενὸς ὁ ἐν Ὠλένῳ βασιλεύς, καὶ ὁποίων Ἡρακλῆς παρ' αὐτοῦ ξενίων ἔτυχε. καὶ

picarum palmarum compotes fieri nunquam amplius potuisse, Delphos ad oraculum miserunt: et tum quidem, quum et alia in Oebotae honorem instituissent, eiusque statuam in Olympiam misissent, mox Sostratus Pellenensis in stadio pueros vicit. Et hac etiamnum aetate Achaeis athletis solenne, ut priusquam in Olympicum certamen descendant, Oebotae parentent, eiusque statuae victores coronam imponant.

Cap. XVIII. Stadia ferme XL progressis a Dyme, Pyrus amnis in mare decurrit, in cuius prope ripa Achaeorum urbs Olenus olim incolebatur. Et Herculis sane, qui vitam ac res gestas versibus commemorarunt, prope omnes in eo non minimam carminum suorum partem consumserunt, a quo Oleni rege, et quibus muneribus hospitaliter fuerit

ἐπὶ μὲν δὴ πόλισμα μικρὸν ἐξ ἀρχῆς ἡ Ὤλενος, μαρτυρεῖ τῷ λόγῳ μου καὶ ἐλεγεῖον ἐς Εὐρυτίωνα Κένταυρον ὑπὸ Ἑρμησιάνακτος πεποιημένον. ἀνὰ χρόνον δὲ τοὺς οἰκήτορας ἐκλιπεῖν ὑπὸ ἀσθενείας φασὶ τὴν Ὤλενον, καὶ ἐς 568
Πειράς τε καὶ ἐς Εὐρυτειὰς ἀποχωρῆσαι. (2) Τοῦ δὲ Πείρου ποταμοῦ περὶ τοὺς ὀγδοήκοντα ἀφέστηκε σταδίους Πατρέων ἡ πόλις· οὐ πόρρω δὲ αὐτῆς ποταμὸς Γλαῦκος ἐκδίδωσιν ἐς θάλασσαν. Πατρέων δὲ οἱ τὰ ἀρχαιότατα μνημονεύοντές φασιν, Εὔμηλον αὐτόχθονα οἰκῆσαι πρῶτον ἐν τῇ χώρᾳ, βασιλεύοντα οὐ πολλῶν αὐτὸν ἀνθρώπων. Τριπτολέμου δὲ ἐκ τῆς Ἀττικῆς ἀφικομένου, τόν τε καρπὸν λαμβάνει τὸν ἥμερον, καὶ οἰκίσαι διδαχθεὶς πόλιν, Ἀρόην ὀνόμασεν ἐπὶ τῇ ἐργασίᾳ τῆς γῆς. ἤδη δὲ πρὸς ὕπνον ἐτράπετο ὁ Τριπτόλεμος, ἐνταῦθα Ἀνθείαν παῖδα Εὐμήλου τοὺς δράκοντάς φασιν ὑπὸ τοῦ Τριπτολέμου τὸ ἅρμα ζεῦξαι ἐθελῆσαι καὶ αὐτὸν σπεῖραι, καὶ τὸν μὲν ἐπιλαμβάνει τὸ χρεὼν, ἐκπεσόντα τοῦ ἅρματος· Τριπτόλεμος δὲ καὶ Εὔμηλος Ἄνθειαν πόλιν οἰκίζουσιν

acceptus. Ac parvum certe ab initio olim fuisse oppidum testantur elegi, quos in Eurytionem Centaurum fecit Hermesianax: insequentibus dein temporibus ex Oleno propter civitatis imbecillitatem, Piras et Eryteas se incolas recepisse. (2) Ab amne Piro stadia fere LXXX distat Patrensium urbs; a qua non procul in mare Glaucus amnis erumpit. Qui de Patrensium antiquitate monumenta conficiunt, eam regionem primum omnium incoluisse indigenam Eumelum tradunt, et paucis hominibus imperasse. Ad eum ex Attica venisse Triptolemum, a quo et fruges acceperit Eumelus, et rationem urbis condendae: et primam quidem urbem, quam a nomine de terrae cultu, Aroen appellatam,. Triptolemo consopito Eumeli filium Anthean ad Triptolemi currum dracones iungere conatum, et ex eo frumentum serere, de curru vero excussum, diem obiisse: Eumelum et Triptolemum de pueri nomine communi consilio a se conditam urbem Anthean nuncupasse: quo tempore ter-

ἐν κοινῷ, τοῦ Εὐμήλου παιδὸς ἐπώνυμον. ᾠκίσθη δὲ καὶ τρίτη μεταξὺ Ἀνθείας καὶ Ἀρόης Μεσάτις πόλις. (3) Ὅσα δὲ οἱ Πατρεῖς περὶ Διονύσου λέγουσι, τραφῆναί τε αὐτὸν ἐν τῇ Μεσάτει, καὶ ἐνταῦθα ἐπιβουλευόμενον ὑπὸ Πανῶν, ἐς παντοῖον ἀφικέσθαι κίνδυνον, οὐκ ἐναντιούμενος τοῖς Πατρεῦσι τῆς Μεσάτεως τὸ ὄνομα, αὐτοῖς σφισιν ἐξηγεῖσθαι παρίημι. Ἀχαιῶν δὲ ὕστερον ἐκβαλόντων Ἴωνας, Πατρεὺς ὁ Πρευγένους τοῦ Ἀγήνορος ἐς μὲν Ἄνθειαν καὶ ἐς Μεσάτιν μὴ ἐνοικίζεσθαι τοῖς Ἀχαιοῖς ἀπεῖπε· περίβολον δὲ τείχους πρὸς τῇ Ἀρόῃ βαλόμενος μείζονα, ἵνα ἐντός οἱ τοῦ περιβόλου καὶ ἡ Ἀρόη γένηται, ὄνομα ἔθετο ἀφ᾽ ἑαυτοῦ Πάτρας τῇ πόλει. (4) Ἀγήνωρ δὲ ὁ πατὴρ τοῦ Πρευγένους Ἀρέως παῖς ἦν τοῦ Ἄμπυκος· ὁ δὲ Ἄμπυξ Πελίου τοῦ Αἰγινήτου τοῦ Δηρίτου τοῦ Ἁρπάλου τοῦ Ἀμύκλα τοῦ Λακεδαίμονος. Πατρεῖ μὲν τοιαῦτα ἐς τοὺς προγόνους ὑπάρχοντα ἦν. (5) Ἰδίᾳ δὲ ἀνὰ χρόνον Πατρεῖς διέβησαν ἐς Αἰτωλίαν Ἀχαιῶν μόνοι κατὰ φιλίαν τὴν Αἰτωλῶν, τὸν πόλεμόν σφισι τὸν πρὸς Γαλάτας συνδιοίσοντες. προσπταίσαντες δ᾽ ἐν ταῖς

tiam quoque urbem inter Aroan et Anthean, Mesatin erectam memorant. (3) Quae vero Patrenses praedicant de Libero Patre, quod intra Mesatin oppidum educatus, quodque ibidem Panum insidiis prope fuerit circumventus, nihil sermonem de Mesatis nomine refellens, ipsismet rem totam exponendam relinquo. Eiectis deinde ab Achaeis Ionibus, Patreus Preugenis filius, Agenoris nepos, Achaeos edicto vetuit Antheam et Mesatin incolere. Aroes vero pomoerio amplificato, veterem oppidi ambitum novo inclusit, ut Aroan de suo nomine Patras vocavit. (4) Agenor fuit Preugenis pater, Arei filius, Ampycis nepos: Ampyx vero Peliae filius. Is ab Aegineta, Derite, Harpalo, Amycla, Lacedaemone ordinem gentilitatis ducebat. Hi Patreo natales fuere. (5) Patrenses vero privatim aliquando soli ex Achaeis omnibus in Aetoliam transmiserunt, quo Aetolis veteribus amicis adversus Gallos auxilium ferrent. Insigni

μάχης λόγου μειζόνως, καὶ ὑπὸ πενίας ἅμα οἱ πολλοὶ πιεζόμενοι, Πάτρας μὲν πλὴν ὀλίγων τινῶν ἐκλείπουσιν 569 οἱ δὲ ἄλλοι κατὰ χώραν ὑπὸ φιλεργίας διεσκεδάσθησαν· καὶ πολίσματα πάρεξ αὐτὰς Πάτρας τοσάδε ἄλλα ᾤκησαν, Μεσάτιν, καὶ Ἄνθειαν, καὶ Βολίνην, καὶ Ἀργυρᾶν τε καὶ Ἀρβᾶν. Αὔγουστος δὲ ἢ τοῦ παραπλεῖν νομίζων καλῶς τὰς Πάτρας, ἢ κατ' ἄλλην τινὰ αἰτίαν, ἐπανήγαγεν αὖθις ἐκ τῶν πολισμάτων τῶν ἄλλων τοὺς ἄνδρας ἐς τὰς Πάτρας· προσσυνῴκισε δὲ σφίσι καὶ Ἀχαιοὺς τοὺς ἐκ Ῥυπῶν, καταβαλὼν ἐς ἔδαφος Ῥύπας. καὶ ἔδωκε μὲν ἐλευθέροις Ἀχαιῶν μόνοις τοῖς Πατρεῦσιν εἶναι· ἔδωκε δὲ καὶ ἐς τὰ ἄλλα γέρα σφίσιν, ὁπόσα τοῖς ἀποίκοις νέμειν οἱ Ῥωμαῖοι νομίζουσι. (6) Πατρεῦσι δὲ ἐν ἄκρᾳ τῇ πόλει Λαφρίας ἱερόν ἐστιν Ἀρτέμιδος· ξενικὸν μὲν τῇ θεῷ τὸ ὄνομα, ἐσηγμένον δὲ ἑτέρωθεν καὶ τὸ ἄγαλμα. Καλυδῶνος γὰρ καὶ Αἰτωλίας τῆς ἄλλης ὑπὸ Αὐγούστου βασιλέως ἐρημωθείσης διὰ τὸ ἐς Νικόπολιν, τὴν ὑπὲρ τοῦ Ἀκτίου, συνοικίζεσθαι καὶ τὸ Αἰτωλικὸν, οὕτω τὸ

vero clade pluribus praeliis accepta fortunis prope omnibus eversi, Patras longe maxima pars reliquere. Hi per agrum dispersi, quo se ex terrae cultu recolligerent, oppida incolere coeperunt. Messatin, Anthean, Bolinen, Argyram, Arean. Augustus deinde, vel quod ad navium appulsum Patras valde esse appositas iudicaret, vel alia quacumque de causa, remigrare omnem illam multitudinem ex illis oppidis Patras iussit. Quin eodem Rhypis Achaeorum urbe, funditus eversa, multitudinem omnem traduxit. Et solis certe Patrensibus, ex Achaeis omnibus, ut sua libertate uterentur, concessit; atque alia in eam civitatem beneficia contulit, quibus a se deductas colonias Romani afficere consueverunt. (6) Est Patrensibus in arce Laphriae Dianae fanum: peregrinum deae cognomen, et ipsum deae signum aliunde huc deportatum. Calydonem enim, atque adeo ceteram Aetoliam, quum pervastasset Augustus, quo Nicopolin a se conditam urbem ad Actium promontorium nobili-

ἄγαλμα τῆς Λαφρίας οἱ Πατρεῖς ἔσχον. ὁπόσα δὲ καὶ ὅσα ἄλλα ἀγάλματα ἔκ τε Αἰτωλίας καὶ παρὰ Ἀκαρνάνων, τὰ μὲν πολλὰ ἐς τὴν Νικόπολιν κομισθῆναι, Πατρεῦσι δὲ ὁ Αὔγουστος ἄλλα τε τῶν ἐκ Καλυδῶνος λαφύρων, καὶ δὴ καὶ τῆς Λαφρίας ἔδωκε τὸ ἄγαλμα, ὃ δὴ καὶ ἐς ἐμὲ ἔτι ἐν τῇ ἀκροπόλει τῇ Πατρέων εἶχε τιμάς. γενέσθαι δὲ ἐπίκλησιν τῇ θεῷ Λαφρίαν ἀπὸ ἀνδρὸς Φωκέως φασί· Λάφριον γὰρ τὸν Κασταλίου τοῦ Δελφοῦ Καλυδωνίοις ἱδρύσασθαι τὸ ἄγαλμα τῆς Ἀρτέμιδος τὸ ἀρχαῖον. οἱ δὲ τῆς Ἀρτέμιδος τὸ μήνιμα τὸ ἐς Οἰνέα ἀνὰ χρόνον τοῖς Καλυδωνίοις ἐλαφρότερον γενέσθαι λέγουσι, καὶ αἰτίαν τῇ θεῷ τῆς ἐπικλήσεως ἐθέλουσιν εἶναι ταύτην. τὸ μὲν σχῆμα τοῦ ἀγάλματος θηρεύουσά ἐστιν· ἐλέφαντος δὲ καὶ χρυσοῦ πεποίηται· Ναυπάκτιοι δὲ Μέναιχμος καὶ Σοΐδας εἰργάσαντο· τεκμαίρονται σφᾶς Κανάχου τοῦ Σικυωνίου καὶ τοῦ Αἰγινήτου Κάλλωνος οὐ πολλῷ γενέσθαι κατὰ ἡλικίαν ὑστέρους. (7) Ἄγουσι δὲ καὶ Λάφρια ἑορτὴν τῇ Ἀρτέμιδι οἱ Πατρεῖς ἀνὰ πᾶν ἔτος, ἐν ᾗ τρόπος ἐπιχώ-

taret, *Aetolicum* hoc Laphriae simulacrum Patrensibus datum. Nam quum multa, quae Aetolis et Acarnanibus ademerat, signa Nicopolin transportanda curasset, de spoliis Calydonis et alia ornamenta, Patrensibus, et hoc ipsum Laphriae Dianae signum donavit; quod hac ipsa etiam aetate a Patrensibus in arce colitur. Cognomen deae inditum a Phocensi homine tradunt: Laphrium enim, Castalii fratrem, priscum Dianae signum apud Calydonios dedicasse. Sunt qui ex eo id cognominis extitisse putent, quod temporis longiore spatio fuisset levior in Calydonios deae ira, quam *ante gravissimam* adversus Oenea exercuerat. Praefert signum venatricis habitum, ex ebore vero et auro est fabricatum: opifices fuere Naupactii Menaechmus et Soïdas, quos Canacho Sicyonio et Callone Aegineta non multo aetate fuisse inferiores coniiciunt. (7) Laphriae Dianae anniversarium sacrum patrio ritu Patrenses faciunt. Viridia

ριος θυσίας ἐστὶν αὐτοῖς. περὶ μὲν τὸν βωμὸν ἐν κύκλῳ ξύλα ἱστᾶσιν ἔτι χλωρά, καὶ ἐς ἑκκαίδεκα ἕκαστον πήχεις· ἐντὸς δὲ τοῦ βωμοῦ τὰ αὑότατά σφισι τῶν ξύλων κεῖται. μηχανῶνται δὲ ὑπὸ τὸν καιρὸν τῆς ἑορτῆς καὶ ἄνοδον ἐπὶ τὸν βωμὸν, λειοτέραν ἐπιφέροντες γῆν ἐπὶ τοῦ βωμοῦ τοὺς ἀναβαθμούς. πρῶτα μὲν δὴ πομπὴν μεγαλοπρεπεστάτην τῇ Ἀρτέμιδι πομπεύουσι, καὶ ἱερωμένη παρθένος ὀχεῖται τελευταία τῆς πομπῆς ἐπὶ ἐλάφων ὑπὸ τὸ ἅρμα ἐζευγμένων. ἐς δὲ τὴν ἐπιοῦσαν, τηνικαῦτα ἤδη δρᾶν τὰ ἐς τὴν θυσίαν νομίζουσι, δημοσίᾳ τε ἡ πόλις οὐχ ἧσσον ἐς τὴν ἑορτὴν ἢ οἱ ἰδιῶται φιλοτίμως ἔχουσιν. ἐσβάλλουσι γὰρ ζῶντας ἐς τὸν βωμὸν, ὄρνιθάς τε τοὺς ἐδωδίμους, καὶ ἱερεῖα ὁμοίως ἅπαντα, ἔτι δὲ ὗς ἀγρίους, καὶ ἐλάφους τε καὶ δορκάδας, οἱ δὲ καὶ λύκων καὶ ἄρκτων σκύμνους, οἱ δὲ καὶ τὰ τέλεια τῶν θηρίων· κατατιθέασι δὲ ἐπὶ τὸν βωμὸν καὶ δένδρων καρπὸν τῶν ἡμέρων. τὸ δὲ ἀπὸ τούτου πῦρ ἐνιᾶσιν ἐς τὰ ξύλα. ἐνταῦθά που καὶ ἄρκτον καὶ ἄλλο τι ἐθεασάμην τῶν ζῴων, τὰ μὲν ὑπὸ τὴν πρώτην ὁρμὴν τοῦ πυρὸς βιαζόμενα ἐς τὸ ἐκτός, τὰ δὲ καὶ ἐκφεύγοντα ὑπὸ ἰσχύος· ταῦτα οἱ

ligna, sedecim cubitum longitudine, singula, circa aram in orbem disponunt, intra aram aridissima. Adscensum ad aram sub festum diem subacto limo ad gradus aggesto extruunt: pompam deae magnificentissimo apparatu transmittunt: in ea virgo, quae sacerdotio fungitur, postrema omnium cervorum *biiugo* curru invehitur: postero die sacra rite celebrantur magno tum publico, tum privato omnium studio. Intra arae septum viventia animalia coniiciunt, esculentas aves, et cuiusvis generis victimas, apros etiam cervos, capreas, luporum et ursorum catulos, nonnulli praegrandes et adultas iam feras. Addunt et pomiferarum cuiusvis generis arborum fructus. Immissis ignibus, ursos vidi et alias feras in exteriorem arae partem flammarum impetu eiectas, nonnullas etiam e vinculis elapsas. Omnes e fuga reportatas in rogum reponunt; neque omnino un-

ἐμβαλόντες ἐπανήγουσιν αὖθις ἐς τὴν πυράν. πεπονθέναι δὲ οὐδένα ὑπὸ θηρίων μνημονεύουσιν.

CAPUT XIX.

De Eurypyli monumento et Diana Triclaria — Comaetho et Melanippo — Eurypyli arca.

Ἔστι δὲ ἐν τῷ μεταξὺ τοῦ ναοῦ τε τῆς Λαφρίας καὶ τοῦ βωμοῦ πεποιημένον μνῆμα Εὐρυπύλου. τὰ δέ, ὅστις τε ὢν καὶ καθ' ἥντινα αἰτίαν ἀφίκετο ἐς τὴν γῆν ταύτην, δηλώσει μοι καὶ ταῦτα ὁ λόγος προδιηγησαμένῳ πρότερον, ὁποῖα ὑπὸ τοῦ Εὐρυπύλου τὴν ἐπιδημίαν τοῖς ἐνταῦθα ἦν τὰ παρόντα ἀνθρώποις. Ἰώνων τοῖς Ἀρόην καὶ Ἄνθειαν καὶ Μεσάτιν οἰκοῦσιν ἦν ἐν κοινῷ τέμενος καὶ ναὸς Ἀρτέμιδος Τρικλαρίας ἐπίκλησιν, καὶ ἑορτὴν οἱ Ἴωνες αὐτῇ καὶ παννυχίδα ἦγον ἀνὰ πᾶν ἔτος. ἱερωσύνην δὲ εἶχε τῆς θεοῦ παρθένος, ἐς ὃ ἀποστέλλεσθαι παρὰ
571 ἄνδρα ἔμελλε. (2) Λέγουσιν οὖν συμβῆναί ποτε, ἱερᾶσθαι μὲν τῆς θεοῦ Κομαιθὼ τὸ εἶδος καλλίστην παρθένον, τυγχάνειν δὲ αὐτῆς ἐρῶντα Μελάνιππον, τά τε ἄλλα τοὺς ἡλικιώτας καὶ ὄψεως εὐπρεπείᾳ μάλιστα ὑπερηρκότα.

quam, ut a fera quisquam ulla laederetur, (uti ipsi aiunt) contigit.

Cap. XIX. Est inter Laphriae Dianae aedem et aram Eurypyli monumentum. Hic quisnam fuerit, et quam ob causam huc venerint, iam exponam, si prius tamen sub Eurypyli adventum, qui fuerit in his locis hominum status, enarravero. Tenentibus Aroen, Anthean et Messatin Ionibus, in domo quadam sacra fuit area et aedes Dianae cognomento Triclariae. Huic quotannis festos dies agitabant, et nocturna sacra faciebant Iones. Sacerdotium penes virginem erat, usquedum illa nuberet. (2) Accidisse autem aiunt ut, quum hoc fungeretur sacerdotio virgo eximia admodum specie Comaetho nomine, eius amore Melanippus caperetur adolescens, tum ceteris laudibus, tum vero

ὡς δὲ ὁ Μελάνιππος ἐς τὸ ἴσον τοῦ ἔρωτος ὑπηγάγετο τὴν παρθένον, ἐμνᾶτο αὐτὴν παρὰ τοῦ πατρός. ἕπεται δέ πως τῷ γήρᾳ τά τε ἄλλα ὡς τὸ πολὺ ἐναντιοῦσθαι νέοις, καὶ οὐχ ἥκιστα ἐς τοὺς ἐρῶντας τὸ ἀνάλγητον· ὅπου καὶ Μελανίππῳ τότε ἐθέλοντι ἐθέλουσαν ἄγεσθαι Κομαιθὼ, οὔτε παρὰ τῶν ἑαυτοῦ γονέων, οὔτε παρὰ τῶν Κομαιθοῦς ἥμερον ἀπήντησεν οὐδέν. ἐπέδειξε δὲ ἐπὶ πολλῶν τε δὴ ἄλλων καὶ ἐν τοῖς Μελανίππου παθήμασιν, ὡς μέτεστιν ἔρωτι, καὶ ἀνθρώπων συγχέαι νόμιμα, καὶ ἀναστρέψαι θεῶν τιμάς· ὅπου καὶ τότε ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ Κομαιθὼ καὶ Μελάνιππος ἐξέπλησαν τοῦ ἔρωτος τὴν ὁρμήν. καὶ οἱ μὲν ἔμελλον τῷ ἱερῷ καὶ ἐς τὸ ἔπειτα ἴσα καὶ θαλάμῳ χρήσεσθαι· τοὺς δὲ ἀνθρώπους αὐτίκα ἐξ Ἀρτέμιδος μήνιμα ἔφθειρε, τῆς τε γῆς καρπὸν οὐδένα ἀποδιδούσης, καὶ νόσοι σφίσιν οὐ κατὰ τὰ εἰωθότα, καὶ ἀπ' αὐτῶν θάνατοι πλείονες ἢ τὰ πρότερα ἐγίνοντο. καταφυγόντων δὲ αὐτῶν ἐπὶ χρηστήριον τὸ ἐν

corporis forma aequalium suorum longe praestantissimus. Hic quum amore sibi mutuo puellam devinxisset, uxorem eam a patre sibi poposcit. Enimvero hoc vitium senectutem comitatur, ut iuvenibus plerumque tum aliis in rebus adversentur, tum in amoribus eorum nihil doloris sentiant, nec quidquam auxilii afferre satagant. Unde et Melanippus tunc, quum amans amantem ducere cuperet, nihil aequum aut mite vel a suis, vel a puellae parentibus impetrare potuit. Sedenim quantam quum ad humana, tum ad divina iura violanda vim habeat amor, et alia saepe *rerum eventa*, et Melanippi casus *facile* declaravit. Etenim in ipsa Dianae aede iuvenes congressi, cupiditatem suam explerunt, ac templo etiam in posterum aeque ac thalamo usuri erant. Sed homines (incolas eius regionis) subita Dianae ira infestavit, ita ut nec terra fructum ullum redderet, et morbi eis insoliti funeraque ex istis morbis longe frequentiora quam ante existerent. Quum igitur ad Delphicum oracu-

Δελφοῖς, ἤλεγχεν ἡ Πυθία Μελάνιππον καὶ Κομαιθώ·
καὶ ἐκείνους τε αὐτοὺς μάντευμα ἀφίκετο θῦσαι τῇ Ἀρ-
τέμιδι, καὶ ἀνὰ πᾶν ἔτος παρθένον καὶ παῖδα, οἳ τὸ
εἶδος εἶεν κάλλιστοι, τῇ θεῷ θύειν. ταύτης μὲν δὴ τῆς
θυσίας εἵνεκα ὁ ποταμὸς ὁ πρὸς τῷ ἱερῷ τῆς Τρικλαρίας
572 Ἀμείλιχος ἐκλήθη· τέως δὲ ὄνομα εἶχεν οὐδέν. παίδων
δὲ καὶ παρθένων ὁπόσοι μὲν ἐς τὴν θεὸν οὐδὲν εἰργα-
σμένοι Μελανίππου καὶ Κομαιθοῦς εἵνεκα ἀπώλλυντο,
αὐτοί τε οἰκτρότατα καὶ οἱ προσήκοντές σφισιν ἔπασχον.
Μελάνιππον δὲ καὶ Κομαιθὼ συμφορᾶς ἐκτὸς γενέσθαι
τίθεμαι. μόνῳ γὰρ δὴ ἀνθρώπῳ ψυχῆς ἐστιν ἀντάξιον
κατορθῶσαί τινα ἐρασθέντα. (3) Παύσασθαι δὲ οὕτω
λέγονται θύοντες τῇ Ἀρτέμιδι ἀνθρώπους. ἐκέχρητο γὰρ
αὐτοῖς πρότερον ἔτι ἐκ Δελφῶν, ὡς βασιλεὺς ξένος πα-
ραγενόμενός σφισιν ἐπὶ τὴν γῆν, ξενικὸν ἅμα ἀγόμενος
δαίμονα, τὰ ἐς τὴν θυσίαν τῆς Τρικλαρίας παύσει. Ἰλίου
δὲ ἁλούσης, καὶ νεμομένων τὰ λάφυρα τῶν Ἑλλήνων,

lum confugissent, Pythia vates Melanippum et Comaethonem mali autores arguit: iussitque oraculum tum eos ipsos Dianae immolari, tum singulis annis virginem et puerum, qui forma essent elegantissimi, eidem numini mactari: ob hoc sacrificium fluvius, qui Triclariae Dianae templum praeterlabitur, Amilichus *(quod est ac si immitem dixeris)* est appellatus. Nam ante sine ullo fuit nomine. Pueri quidem et virgines, qui nullo in deam perpetrato scelere ob Melanippi et Comaethus noxam peribant, et ipsi miserandam adiere sortem, et propinquis suis funestissimum attulere luctum: at Melanippus et Comaetho mihi quidem extra calamitatis aleam fuisse videntur; prosperi enim in amore successus soli homini animam adaequare suo pretio videntur. (3) Sacri tam immanis eum memorant finem fuisse, quod quum ex Delphici Apollinis oraculo ante cognovissent, a peregrino aliquando rege peregrinum item deum importatum iri, ac tunc demum desituros humana hostia facere: Illo capto in divisione praedae Eurypylo Euaemonis

Εὐρύπυλος ὁ Εὐαίμονος λαμβάνει λάρνακα· Διονύσου δὲ ἄγαλμα ἦν ἐν τῇ λάρνακι· ἔργον μὲν (ὡς φασιν) Ἡφαίστου, δῶρον δὲ ὑπὸ Διὸς ἐδόθη Δαρδάνῳ. λέγονται δὲ καὶ ἄλλοι δύο λόγοι ἐς αὐτήν· ὡς, ὅτε ἔφυγεν Αἰνείας, ἀπολίποι ταύτην τὴν λάρνακα· οἱ δὲ ῥιφῆναί φασιν αὐτὴν ὑπὸ Κασάνδρας, συμφορὰν τῷ εὑρόντι Ἑλλήνων. ἤνοιξε δ' οὖν ὁ Εὐρύπυλος τὴν λάρνακα, καὶ εἶδεν τὸ ἄγαλμα, καὶ αὐτίκα ἦν ἔκφρων μετὰ τὴν θέαν· τὰ μὲν δὴ πλείονα ἐμαίνετο, ὀλιγάκις δὲ ἐγίνετο ἐν ἑαυτῷ. ἅτε δὲ οὕτω διακείμενος, οὐκ ἐς τὴν Θεσσαλίαν τὸν πλοῦν ἐποιεῖτο, ἀλλ' ἐπί τε Κίῤῥαν καὶ ἐς τὸν ταύτῃ κόλπον· ἀναβὰς δὲ ἐς Δελφοὺς ἐχρᾶτο ὑπὲρ τῆς νόσου. καὶ αὐτῷ γενέσθαι λέγουσι μάντευμα, ἔνθα ἂν ἐπιτύχῃ θύουσιν ἀνθρώποις θυσίαν ξένην, ἐνταῦθα ἱδρύσασθαί τε τὴν λάρνακα, καὶ αὐτὸν οἰκῆσαι. ὁ μὲν δὴ ἄνεμος τὰς ναῦς τοῦ Εὐρυπύλου κατήνεγκεν ἐπὶ τὴν πρὸς τῇ Ἀρόῃ θάλασσαν. ἐκβὰς δὲ ἐς τὴν γῆν, καταλαμβάνει

filio arca obtigit, in qua inclusum fuerat Liberi Patris signum, quod a Vulcano fabricatum putabant, dono vero a Iove Dardano datum. (De ea arca duplex sermo proditur. Alii enim ab Aenea in fugam iam se conicienté relictam; alii a Cassandra *dedita opera* abiectam dixere, quum sciret illam magno Graecorum alicui, *qui eam forte sustulisset*, malo futuram) Arca Eurypylus aperta, statim ut simulacrum conspexit, mentis impos est factus, atque adeo ut, quum perpetua prope agitaretur insania, raro admodum ratione uteretur. Quare quum ita esset affectus, non in Thessaliam suae cursum navigationis direxit: sed quum Cirrham per Cirrhaeum sinum applicuisset, Delphos perrexit, et oraculum quanam ratione furoris illo morbo liberari posset, consuluit: responsum vero ei redditum, ut quo in loco homines offendisset peregrino ritu sacrum facientes, ibi arcam expositam dedicaret, et ipse sedem ibidem suam statueret. Delatus inde ventis Aroen Eurypylus, quum in litus ex-

παῖδα καὶ παρθένον ἐπὶ τὸν βωμὸν τῆς Τρικλαρίας ἠγμένους· καὶ ὁ μὲν ἔμελλεν οὐ χαλεπῶς συνήσειν τὰ ἐς τὴν θυσίαν. ἀφίκοντο δὲ ἐς μνήμην καὶ οἱ ἐπιχώριοι τοῦ χρησμοῦ, βασιλέα τε ἰδόντες, ὃν οὔπω πρότερον ἑωράκεσαν, καὶ ἐς τὴν λάρνακα ὑπενόησαν, ὡς εἴη τις ἐν
573 αὐτῇ θεός. καὶ οὕτω τῷ Εὐρυπύλῳ τε ἡ νόσος καὶ τοῖς ἐνταῦθα ἀνθρώποις τὰ ἐς τὴν θυσίαν ἐπαύσθη, τό τε ὄνομα ἐτέθη τὸ νῦν τῷ ποταμῷ Μείλιχος. ἔγραψαν δὲ ἤδη τινὲς, οὐ τῷ Θεσσαλῷ συμβάντα Εὐρυπύλῳ τὰ εἰρημένα· ἀλλὰ Εὐρύπυλον Δεξαμενοῦ παῖδα τοῦ ἐν Ὠλένῳ βασιλεύσαντος ἐθέλουσιν ἅμα Ἡρακλεῖ στρατεύσαντα ἐς Ἴλιον, λαβεῖν παρὰ τοῦ Ἡρακλέους τὴν λάρνακα· τὰ δὲ ἄλλα κατὰ τὰ αὐτὰ εἰρήκασι καὶ οὗτοι. ἐγὼ δὲ οὔτε Ἡρακλέα ἀγνοῆσαι τὰ ἐς τὴν λάρνακα, εἰ δὴ τοιαῦτα ἦν πείθομαι· οὔτε τὰ ἐς αὐτὴν ἐπιστάμενος δοκεῖ μοι ποτὲ ἂν δοῦναι δῶρον συμμαχήσαντι ἀνδρί· οὔτε μὴν οἱ Πατρεῖς ἄλλον τινὰ ἢ τὸν Εὐαίμονος ἔχουσιν Εὐρύπυλον

scenderet, forte in illud incidit tempus, quo ad Tricleriae aram puer et virgo prope erat ut mactarentur: atque ille quidem haud magno negotio sacrum illud animadvertit cum oraculi voce congruere. Rediit et incolis in memoriam, quum regem, quem ante nunquam viderant, et arcam simul conspexissent, quod iampridem et ipsis praedictum fuerat; ac, *quod res erat*, illa arca dei cuiuspiam signum contineri suspicati sunt. Hic rei *fortuitus* eventus Eurypylum insania, sacri infamia oppidanos liberavit: et fluvius *mutato nomine*, Milichus *(quod mitem significat)* coeptus est appellari. Scripsere nonnulli, non accidisse, quae commemoravimus, Eurypylo Thessalo; sed Eurypylum, Dexameni Oleni regis filium, ab Hercule, cuius in oppugnatione Ilii comes fuerat, arcam accepisse. Caetera eodem quo nos modo etiam ipsi memorant. Sedenim neque Herculem adduci possum, quid in arca abditum esset ignorasse; vel id si rescisset, fatale donum belli *duntaxat* societate sibi coniuncto homini daturum fuisse. Nec Patrenses alium Eury-

ἐν μνήμῃ· καὶ οἱ καὶ ἐναγίζουσιν ἀνὰ πᾶν ἔτος, ἐπειδὰν τῷ Διονύσῳ τὴν ἑορτὴν ἄγωσι.

CAPUT XX.

De deo Aesymneta dicto eiusque cultu — Minerva Panachaïde ac templis signisque deorum in urbe Patrensium — odeo Patrensium et Atheniensium — templo Dianae Limnatidis — aliis templis et signis.

Τῷ θεῷ δὲ τῷ ἐντὸς τῆς λάρνακος ἐπίκλησις μέν ἐστιν Αἰσυμνήτης. οἱ δὲ αὐτὸν ἐς τὰ μάλιστα θεραπεύοντες, ἐννέα τέ εἰσιν ἄνδρες, οὓς ἂν ἐκ πάντων ὁ δῆμος προέληται κατ' ἀξίωμα, καὶ ἴσαι γυναῖκες τοῖς ἀνδράσι. μιᾷ δὲ ἐν τῇ ἑορτῇ νυκτὶ εἰς τὸ ἐκτὸς φέρει τὴν λάρνακα ὁ ἱερεύς· αὕτη μὲν δὴ ἡ νὺξ γέρας τοῦτο εἴληφε. καταβαίνουσι δὲ καὶ ὁπόσοι δὴ τῶν ἐπιχωρίων παῖδες ἐπὶ τὸν Μείλιχον ἀσταχύσιν ἐστεφανωμένοι τὰς κεφαλάς· ἐκόσμουν δὲ οὕτω καὶ τὸ ἀρχαῖον, οὓς ἄγοιεν τῇ Ἀρτέμιδι θύσοντες. τὰ δὲ ἐφ' ἡμῶν στεφάνους μὲν τῶν ἀσταχύων ἀποτίθενται παρὰ τῇ θεῷ· λουσάμενοι δὲ τῷ ποταμῷ, καὶ αὖθις στεφάνους ἐπιθέμενοι κισσοῦ, πρὸς τὸ ἱερὸν ἴασι τοῦ Αἰσυμνήτου. ταῦτα μὲν σφισιν οὕτω δρᾶν κα-

pylum memorant quam Euaemonis filium; cui parentalia faciunt anniversaria post Liberi Patris sacrum.

Cap. XX. Deo, qui in arcam fuerat abditus, cognomen est Aesymnetes. Praesunt eius religioni novem viri e civitatis principibus, et foeminae primariae totidem: ac per dies quidem festos, nocte una arcam foras effert sacerdos. Ea nox hanc habet *quasi* praerogativam. Descendunt etiam ad Milichum fluvium oppidanorum liberi omnes cum spiceis coronis, et eodem omnino ornatu, quo ad aram olim Dianae, qui mactandi erant, deducebantur. Eas coronas deae nunc suspendunt; ac deinde ubi se flumine abluerint, novis ex hedera impositis coronis, *recta* ad Aesymnetae fanum procedant. Ad hunc propemodum ritum sacrum peragitur.

διάκειται. (2) Τοῦ περιβόλου δέ ἐστιν ἐντὸς τῆς Λαφρίας
καὶ Ἀθηνᾶς ναὸς ἐπίκλησιν Παναχαΐδος· ἐλέφαντος τὸ
ἄγαλμα καὶ χρυσοῦ. ἐρχομένῳ δὲ ἐς τὴν κάτω πόλιν μη-
τρὸς Δινδυμήνης ἐστὶν ἱερόν, ἐν δὲ αὐτῷ καὶ Ἄττης ἔχει
τιμάς. τούτου μὲν δὴ [τὸ] ἄγαλμα οὐδὲν ἀποφαίνουσι·
τὸ δὲ τῆς Μητέρος λίθου πεποίηται. ἔστι δὲ ἐν τῇ ἀγορᾷ
Διὸς ναὸς Ὀλυμπίου, αὐτός τε ἐπὶ θρόνου, καὶ ἑστῶσα
Ἀθηνᾶ παρὰ τὸν θρόνον. τῆς τε Ἥρας ἄγαλμα τοῦ
574 Ὀλυμπίου πέραν, ἱερόν τε Ἀπόλλωνος πεποίηται, καὶ
Ἀπόλλων χαλκοῦς γυμνὸς ἐσθῆτος· ὑποδήματα δὲ ὑπὸ
τοῖς ποσίν ἐστιν αὐτῷ, καὶ ἑτέρῳ ποδὶ ἐπὶ κρανίου βέ-
βηκε βοός. βουσὶ γὰρ χαίρειν μάλιστα Ἀπόλλωνα Ἀλ-
καῖός τε ἐδήλωσεν ἐν ὕμνῳ τῷ ἐς Ἑρμῆν γράψας, ὡς ὁ
Ἑρμῆς βοῦς ὑφέλοιτο τοῦ Ἀπόλλωνος· καὶ ἔτι πρότερον,
ἢ Ἀλκαῖον γενέσθαι, πεποιημένα ἦν Ὁμήρῳ βοῦς Ἀπόλ-
λωνα Λαομέδοντος ἐπὶ μισθῷ νέμειν, καὶ Ποσειδῶνι πε-
ποίηκεν ἐν Ἰλιάδι τὰ ἔπη·

Ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα,

(2) Intra Laphriae ambitum, Minervae etiam aedes est cognomento Panachaeidis; cuius signum ex auro et ebore. Descendentibus ad inferiorem urbis partem, est matris Dindymenes delubrum; in quo Attes etiam colitur, etsi nullum eius monstratur signum: nam Magnae matris ipsius marmoreum est. In foro Iovis Olympii templum est: sedet ipse in solio, prope adsistente Minerva. Secundum Olympii, Iunonis est simulacrum. Apollini etiam fanum dedicarunt: dei nudum est ex aere signum, pedibus tantum calceatis, quorum altero bovis calvae insistit. Delectatum vero bobus Apollinem, in hymno, quem in Mercurium fecit, docet Alcaeus, boves surreptas Apollini et Mercurio memorans. Sed ante Alcaeum versibus prodidit suis Homerus, *certa* mercede Laomedontis armenta Apollinem pavisse: idemque ita loquentem in Iliade Neptunum facit:

Ipse ego Troianam vallabam moenibus urbem

Κειρέ τε καὶ μάλα καλόν, ἔτ᾽ ἄδμητος πόλις εἴη·
Φοῖβε, σὺ δ᾽ εἰλίποδας ἔλαυνες βοῦς βουκολέων.

τὰ μὲν δὴ ἐς τὸ κρανίον τοῦ βοὸς ἐπὶ τοιᾷδε ἄν τις εἰκάσειε ποιηθῆναι· ἔστι δὲ ἐν ὑπαίθρῳ τῆς ἀγορᾶς ἄγαλμά τε Ἀθηνᾶς καὶ πρὸ αὐτοῦ Πατρέως τάφος. (3) Ἔχεται δὲ τῆς ἀγορᾶς τὸ ᾠδεῖον, καὶ Ἀπόλλων ἐνταῦθα ἀνάκειται θέας ἄξιος· ἐποιήθη δὲ ἀπὸ λαφύρων, ἡνίκα ἐπὶ τὸν στρατὸν τῶν Γαλατῶν οἱ Πατρεῖς ἤμυναν Αἰτωλοῖς Ἀχαιῶν μόνοι. κεκόσμηται δὲ καὶ ἐς ἄλλα τὸ ᾠδεῖον ἀξιολογώτατα τῶν ἐν Ἕλλησι, πλήν γε δὴ τοῦ Ἀθήνῃσι· τοῦτο γὰρ μεγέθει τε καὶ ἐς τὴν πᾶσαν ὑπερῆρκε κατασκευήν· ἀνὴρ δὲ Ἀθηναῖος ἐποίησεν Ἡρώδης ἐς μνήμην ἀποθανούσης γυναικός. ἐμοὶ δὲ ἐν τῇ Ἀτθίδι συγγραφῇ τὸ ἐς τοῦτο παρείθη τὸ ᾠδεῖον, ὅτι πρότερον ἔτι ἐξείργαστό μοι τὰ ἐς Ἀθηναίους, ἢ ὑπήρξατο Ἡρώδης τοῦ οἰκοδομήματος. ἐν Πάτραις δὲ ἰόντι ἐκ τῆς ἀγορᾶς, ᾗ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, πύλη κατὰ τὴν ἔξοδόν ἐστι ταύτην, καὶ ἐπιθή-

Tum lectis pulchrisque, ut inexpugnabilis esset:
At tu Phoebe boves camuras tunc pastor agebas.

Hanc ergo figmenti de bovis calva rationem habuisse fictorem conjicere licet. In foro sub divo positum est Minervae signum, in cuius fronte est Patrei sepulcrum. (3) Cum foro Odeum (quod est ac si Cantilenarium dixeris) coniunctum est. In eo Apollinis simulacrum eximia admodum specie. De manubiis illud Patrenses fecere, quum ex Achaeis omnibus soli Aetolis contra Gallos auxilium tulere. Exornatum Odeum illud est omnium, quae in Graecia sunt, magnificentissime, excepto duntaxat eo, quod Athenis est. Illud enim et magnitudine, et ornamentorum insignibus facile superat quorumvis operum splendorem; ab Herode vero Attico in mortuae uxoris memoriam est dedicatum. Eius certe operis in commentario de rebus Atticis idcirco nullam feci mentionem, quod eam historiam ante quam Herodes Atticus exaedificationem illam instituisset, perscripseramus. Sed ad Patrenses redeo. E foro abeuntibus, qua parte est

ματα ἐπὶ τῆς πύλης ἀνδριάντες εἰσὶν ἐπίχρυσοι, Πατρεύς τε καὶ Πρευγένης καὶ Ἀθερίων, οἳ, Πατρέως ἡλικίαν παιδὸς ἔχοντος, καὶ αὐτοὶ παῖδές εἰσι. (4) Τῆς δὲ ἀγορᾶς ἀντικρὺ κατὰ ταύτην τὴν ἔξοδον τέμενός ἐστιν Ἀρτέμιδος καὶ ναὸς Λιμνάτιδος. ἐχόντων δὲ ἤδη Λακεδαίμονα καὶ Ἄργος Δωριέων, ὑφελέσθαι Πρευγένην τῆς Λιμνάτιδος τὸ ἄγαλμα κατὰ ὄψιν ὀνείρατος ἐκ Σπάρτης λέγουσι, κοινωνῆσαι δὲ αὐτῷ τοῦ ἐγχειρήματος τῶν δούλων τὸν εὐνούστατον. τὸ δὲ ἄγαλμα τὸ ἐκ τῆς Λακεδαίμονος τὸν μὲν ἄλλον χρόνον ἔχουσιν ἐν Μεσόᾳ, ὅτι καὶ ἐξ ἀρχῆς ὑπὸ τοῦ Πρευγένους ἐς τοῦτο ἐκομίσθη τὸ χωρίον· ἐπειδὰν δὲ τῇ Λιμνάτιδι τὴν ἑορτὴν ἄγωσι, τῆς θεοῦ τῶν τις οἰκετῶν ἐκ Μεσόας ἔρχεται τὸ ξόανον κομίζων τὸ ἀρχαῖον ἐς τὸ τέμενος τὸ ἐν τῇ πόλει. (5) Τούτου δὲ τοῦ τεμένους ἐστὶ καὶ ἄλλα τοῖς Πατρεῦσιν ἱερά· πεποίηται δὲ σφίσιν οὐκ ἐν ὑπαίθρῳ, ἀλλὰ ἔσοδος ἐς αὐτὰ διὰ τῶν στοῶν ἐστι. τὸ μὲν δὴ ἄγαλμα τοῦ Ἀσκληπιοῦ, πλὴν ἐσθῆτος, λίθου τὰ ἄλλα· Ἀθηνᾶ δὲ ἐλέφαντος εἴργασται καὶ χρυσοῦ. πρὸ δὲ τῆς Ἀθηνᾶς τοῦ ἱεροῦ Πρευ-

Apollinis aedes, porta est in eo *urbis* exitu, et supra portam inauratae statuae *puerorum* eminent, Patreus, Preugenes, Atherion, qui dum Patreus puer esset, eius aequales fuere. (4) In adversa fori regione, iuxta eundem exitum, fanum est cum area sacra Dianae Limnatidis. Aiunt, tenentibus iam tum *ab initio* Lacedaemona et Argos Doriensibus, Preugenem ex quodam somnio Limnatidis signum Spartanis surripuisse; in ea re servi, cui fidem habebat maximam, opera usum. Mesoae reliquo tempore servatur, quo a Preugene primum est e Sparta deportatum: verum ipso Limnatidis festo die, e sacris servis unus e Mesoa illud transfert Patras in aream deae. (5) In ea area sunt et aliae sacrae aedes, non sub dio illae quidem, sed ad eas per porticus quasdam est aditus. *Ibi* Aesculapii signum, praeter vestem, e marmore; Minervae ex ebore et auro est fabricatum. Ante Minervae templum, Preugenis monumen-

γένους μνῆμά ἐστιν. ἐναγίζουσι δὲ καὶ τῷ Πρευγένει κατὰ ἔτος, ὡσαύτως δὲ καὶ πρὸς τὴν ἑορτὴν τῇ Λιμνάτιδι ἄγοντες. τοῦ θεάτρου δὲ οὐ πόῤῥω Νεμέσεως ναὸς, καὶ ἕτερός ἐστιν Ἀφροδίτης· μεγέθει μεγάλα λίθου λευκοῦ τὰ ἀγάλματα.

CAPUT XXI.

De Baccho Calydonio ac Coresi erga Calirrhoen amore — tribus Bacchi signis eorumque nominibus — Neptuni cognominibus — templa et signa in urbe Patrensium porro recensentur — de miro Patrensium oraculo prope fontem — oraculo Apollinis Thyrxei in Cyaneis et Sarapidis templis Patris — feminis Patrensium.

Καὶ Διονύσου κατὰ τοῦτο τῆς πόλεως ἱερόν ἐστιν ἐπίκλησιν Καλυδωνίου· μετεκομίσθη γὰρ καὶ τοῦ Διονύσου τὸ ἄγαλμα ἐκ Καλυδῶνος. ὅτε δὲ ᾠκεῖτο ἔτι Καλυδὼν, καὶ ἄλλοι τε Καλυδωνίων ἐγένοντο ἱερεῖς τῷ θεῷ, καὶ δὴ καὶ Κόρεσος, ὃν ἀνθρώπων μάλιστα ἐπέλαβεν ἄδικα ἐξ ἔρωτος παθεῖν. ἤρα μὲν Καλλιρόης παρθένου· ὁπόσον δὲ ἐς Καλλιρόην ἔρωτος Κορέσῳ μετῆν, τοσοῦτον εἶχεν ἀπεχθείας ἐς αὐτὸν ἡ παρθένος. ὡς δὲ τοῦ Κορέσου δεή-

tum est; ad quod anniversaria fit parentatio, eo ipso tempore, quo Limnatidi solennia peraguntur sacra. Non longe a theatro aedes duae sunt, Nemesis una, Veneris altera. *Dearum* signa e candido marmore sunt, insigni utrumque magnitudine.

Cap. XXI. In eadem urbis regione templum est Liberi Patris, cui cognomen Calydonio. Est enim et huius dei signum e Calydone deportatum. Fuit, dum Calydon stetit, inter alios Liberi sacerdotes Coresus, cui ex amore indignissimi casus evenere. Amabat hic Callirhoen virginem; et quanto erat Coresi amor vehementior, tanto erat puellae animus ab eius cupiditate alienior. Quare quum neque pre-

σεις τε ποιουμένου πάσας καὶ δώρων ὑποσχέσεις παντοίας οὐκ ἐνετρέπετο ἡ γνώμη τῆς παρθένου, κομίζεται ἱκέτης ἤδη παρὰ τοῦ Διονύσου τὸ ἄγαλμα. ὁ δὲ ἤκουσέ τε εὐχομένου τοῦ ἱερέως, καὶ οἱ Καλυδώνιοι τοπαραυτίκα ὥσπερ ὑπὸ μέθης ἐγίνοντο ἔκφρονες, καὶ ἡ τελευτὴ σφᾶς παραπλῆγας ἐπελάμβανε. καταφεύγουσιν οὖν ἐπὶ
576 τὸ χρηστήριον τὸ ἐν Δωδώνῃ· τοῖς γὰρ τὴν ἤπειρον ταύτην οἰκοῦσι, τοῖς τε Αἰτωλοῖς καὶ τοῖς προσχώροις αὐτῶν Ἀκαρνᾶσι καὶ Ἠπειρώταις, αἱ πέλειαι καὶ τὰ ἐκ τῆς δρυὸς μαντεύματα μετέχειν μάλιστα ἐφαίνετο ἀληθείας. τότε δὴ τὰ χρησθέντα ἐκ Δωδώνης Διονύσου μὲν ἔλεγεν εἶναι τὸ μήνιμα, ἔσεσθαι δὲ οὐ πρότερον λύσιν, πρὶν ἢ θύσῃ τῷ Διονύσῳ Κόρεσος ἢ αὐτὴν Καλλιρόην, ἢ τὸν ἀποθανεῖν ἀντ' ἐκείνης τολμήσαντα. ὡς δὲ οὐδὲν ἐς σωτηρίαν εὑρίσκετο ἡ παρθένος, δευτέρα ἐπὶ τοὺς θρεψαμένους καταφεύγει· ἁμαρτάνουσα δὲ καὶ τούτων, ἐλείπετο οὐδὲν ἔτι ἢ αὐτὴν φονεύεσθαι. προεξεργασθέντων δὲ, ὁπόσα ἐς τὴν θυσίαν ἄλλα ἐκ Δωδώνης μεμαν-

cum, neque munerum ullo genere, omnia expertus Coresus, virginem flectere potuisset, postremo supplex ad Liberi signum confugit, *veniam poscens.* Non fuit irrita sacerdotis precatio: siquidem incessit statim Calydoniis ebrietati persimilis quidam furor; ex quo *passim populari* vesaniae morbo interibant. In ea lue Dodonae oraculum consulendum censuerunt. Erat enim *illis temporibus* apud eius orae incolas, Aetolos, et eorum finitimos Acarnanas et Epirotas, columbarum, et responsorum, quae ex quercu edebantur, maxima, ut veracissimi oraculi, autoritas. Responsum qui missi fuerant tulere, placandum Liberum, cuius ira tantam apportasset perniciem. Esse vero placandi numinis unam illam rationem, si ad eius aram Coresus vel Callirhoen immolasset, vel alium, qui se pro illa devovisset. Puella quum frustra deprecando, ne impetrato quidem eorum, a quibus educata fuerat, auxilio, caedi destinata esset, et iis omnibus comparatis, quae ad sacrum *rite* peragendum in promptu

τευμένα ἦν, ἡ μὲν ἱερείου τρόπον ἤχετο ἐπὶ τὸν βωμόν· Κόρεσος δὲ ἐφεστήκει μὲν τῇ θυσίᾳ, τῷ δὲ ἔρωτι εἴξας καὶ οὐ τῷ θυμῷ, ἑαυτὸν ἀντὶ Καλλιρόης διεργάζεται. ὁ μὲν δὴ ἀπέδειξεν ἔργον ἀνθρώπων, ὧν ἴσμεν, διατεθεὶς ἐς ἔρωτα ἀπλαστότατα. καὶ Καλλιρόη τε, ὡς Κόρεσον τεθνεῶτα εἶδεν, μετέπεσε τῇ παιδὶ ἡ γνώμη· καὶ (ἐσῄει γάρ αὐτὴν Κορέσου τε ἔλεος καὶ ὅσα ἐς αὐτὴν εἴργασται αἰδὼς) ἀπέσφαξεν αὐτὴν ἐς τὴν πηγήν, τοῦ λιμένος ἣ ἐν Καλυδῶνί ἐστιν οὐ πόρρω· καὶ ἀπ' ἐκείνης οἱ ἔπειτα ἄνθρωποι Καλλιρόην τὴν πηγὴν καλοῦσι. (2) Τοῦ θεάτρου δὲ ἐγγὺς πεποίηται Πατρεῦσι γυναικὸς ἐπιχωρίας τέμενος. Διονύσου δέ ἐστιν ἐνταῦθα ἀγάλματα, ἴσοι τε τοῖς ἀρχαίοις πολίσμασι καὶ ὁμώνυμοι· Μεσατεὺς γὰρ καὶ Ἀνθεύς τε καὶ Ἀροεύς ἐστιν αὐτοῖς τὰ ὀνόματα. ταῦτα τὰ ἀγάλματα ἐν τῇ Διονύσου ἑορτῇ κομίζουσιν ἐς τὸ ἱερὸν τοῦ Αἰσυμνήτου· τὸ δὲ ἱερὸν τοῦτο ἐς τὰ ἐπὶ θαλάσσῃ τῆς πόλεώς ἐστιν ἐρχομένοις ἔτι ἐκ τῆς ἀγορᾶς ἐν

esse oportere Dodonaei Iovis oraculum monuerat, *cum infulis* victimae ornatu ad aram iam deducta fuisset: Coresus ipse, qui sacris praeerat, amore victus, nihil iam *pristinae in puellam* irae indulgens, seipsum pro illa occidit: ac re ipsa ostendit se omnium quos novimus hominum minime ficto amore fuisse incensum. Commota rei spectaculo Callirhoe, animum mutavit; cumque mentem eius subiisset partim Coresi commiseratio, partim pudor quod tantum pro ipsa factum ab illo erat, et ipsa semet ad fontem, qui non procul abest a Calydonis portu, iugulavit. Eum fontem posteri de puellae nomine Callirhoen nuncuparunt. (2) Est apud Patrenses non longe a theatro indigenae cuiusdam foeminae sacrarium, in quo Liberi signa totidem, quot sunt oppida Achaeorum, et iisdem prope nominibus, Mesateus, Antheus, et Aroeus. Signa haec, ipsis Liberalibus, in Aesymnetae deportant. Templum vero Aesymnetae in maritima urbis parte situm est, ad eius viae, qua e foro exitus

δεξιᾷ τῆς ὁδοῦ. ἀπὸ δὲ τοῦ Αἰσυμνήτου κατωτέρω ἰόντι ἄλλο ἱερὸν καὶ ἄγαλμα λίθου· καλεῖται μὲν Σωτηρίας, ἱδρύσασθαι δὲ αὐτὸ ἐξ ἀρχῆς ἀποφυγόντα φασὶ τὴν μανίαν Εὐρύπυλον. (3) Πρὸς δὲ τῷ λιμένι Ποσειδῶνός
577 τε ναὸς καὶ ἄγαλμά ἐστιν ὀρθὸν λίθου. Ποσειδῶνι δὲ παρὲξ ὁπόσα ὀνόματα ποιηταῖς πεποιημένα ἐστὶν ἐς ἐπῶν κόσμον, καὶ ἴδια σφίσιν ἐπιχώρια ὄντα ἕκαστοι τίθενται, τοσαίδε ἐς ἅπαντας γεγόνασιν ἐπικλήσεις αὐτῷ· Πελάγιος, καὶ Ἀσφάλιός τε καὶ Ἵππιος. ὀνομάσθαι δὲ Ἵππιον τὸν θεὸν πείθοιτο μὲν ἄν τις καὶ ἐπ' αἰτίαις ἄλλαις· ἐγὼ δὲ εὑρετὴν ἱππικῆς ὄντα ἀπὸ τούτου σχεῖν καὶ τὸ ὄνομα εἰκάζω. Ὅμηρος μὲν ἐν ἵππων ἄθλοις Μενελάῳ κατὰ τοῦ θεοῦ τούτου πρόκλησιν περιέθηκεν ὅρκου·

Ἵππων ἁψάμενος, γαιήοχον Ἐννοσίγαιον
Ὄμνυθι, μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.

patet, dexteram. Descendens ab Aesymnetae, aliud conspicias templum, et signum e lapide; quod Salutis nuncupatur. Dedicatum aiunt iam tum ab Eurypylo, quum insaniae morbo liberatus fuit. (3) Proxime ad portum Neptuni aedes est, cum signo marmoreo, cuius rectus est status. Neptunum quidem, praeter ea cognomina, quae a poetis ficta sunt ornandi carminis causa, suis gentes prope singulae patriis appellarunt nominibus. Communia vero fere omnibus, *et maxime insignia*, Pelagaeus, Asphaliaeus, et Hippius. *Ad mare, et portuum securitatem, priora videntur cognomenta pertinere:* hoc postremum, *quod equestrem significat*, alius alia de causa deo inditum suspicari possit: ego ex eo coniicio, quod equitationem primus Neptunus invenisse dicatur. Homerus quidem, quo loco certamen equorum describit, Menelaum facit iusiurandum concipientem per huius ipsius dei numen:

En age equos tangens Neptuni nomina iura,
Fraude meos nulla prudens tardare iugales.

Πάμφως δὲ, ὃς Ἀθηναίοις τοὺς ἀρχαιοτάτους ὕμνων ἐποίησεν, εἶναί φησι τὸν Ποσειδῶνα

Ἵππων τε δωτῆρα νεῶν τ' ἰθυκρηδέμνων.

οὕτω διὰ τὴν ἱππικὴν καὶ οὐκ ἀπὸ ἑτέρας προφάσεως τὸ ὄνομα ἔσχηκεν. (4) Ἐν Πάτραις δὲ οὐ πολὺ ἀπωτέρω τοῦ Ποσειδῶνος ἱερά ἐστιν Ἀφροδίτης· τὸ δὲ ἕτερον τῶν ἀγαλμάτων γενεᾷ πρότερον ἢ κατ' ἐμὲ ἁλιεῖς ἄνδρες ἀνείλκυσαν ἐν δικτύῳ. ἔστι δὲ καὶ ἀγάλματα τοῦ λιμένος ἐγγυτάτω χαλκοῦ πεποιημένα Ἄρεως, τὸ δὲ Ἀπόλλωνος. καὶ Ἀφροδίτης (πρὸς τῷ λιμένι δέ ἐστι τέμενος) λίθου μὲν πρόσωπον καὶ ἄκραι χεῖρες καὶ πόδες, ξύλου δὲ τὰ λοιπὰ εἴργασται. ἔστι δέ σφισι καὶ ἄλσος ἐπὶ θαλάσσῃ, δρόμους τε ἐπιτηδειοτάτους καὶ ἐς τὰ ἄλλα δίαιταν ἡδεῖαν ὥρᾳ παρεχόμενον θερινῇ. ἐν τούτῳ τῷ ἄλσει καὶ ναοὶ θεῶν Ἀπόλλωνος, ὁ δὲ Ἀφροδίτης· πεποίηται λίθου καὶ τούτοις τὰ ἀγάλματα. τοῦ δὲ ἄλσους ἱερὸν ἔχεται Δήμητρος· αὕτη μὲν καὶ ἡ παῖς ἑστᾶσι, τὸ δὲ ἄγαλμα τῆς Γῆς ἐστι καθήμενον. (5) Πρὸ δὲ τοῦ ἱεροῦ

Pamphus vero, vetustissimorum apud Athenienses hymnorum auctor, Neptunum appellat equorum ac turritarum velatarumque navium largitorem. Satis itaque probabile, non aliunde eum, quam ab equitatione nomen adeptum. (4) Patris quidem non procul a Neptuni, Veneris templa sunt. Deae signum e duobus, *quae ibi dedicata sunt*, alterum e mari piscatores funda extraxerunt una ante me aetate. Sunt et ante portum ex aere Martis signa. Est sacra etiam Apollini et Veneri *communis* area, cum ipso fere portu coniuncta. Simulacris os, manus, et imi pedes e marmore; reliquae partes e ligno sunt. Est etiam in ipsa maritima ora lucus, in quo curricula luculenta, et aestivae stationes valde elegantes. In eodem luco Apollinis et Veneris delubra spectantur cum signis marmoreis. Proximum luco est Cereris fanum: dea ipsa et Proserpina stant, Telluris effigies *in solio* sedet. (5) Pro Cereris aede fons est, is, qua

τῆς Δήμητρός ἐστι πηγή. ταύτης τὰ μὲν πρὸ τοῦ ναοῦ, λίθων ἀνέστηκεν αἱμασιά· κατὰ δὲ τὸ ἐκτὸς κάθοδος ἐς
578 αὐτὴν πεποίηται. μαντεῖον δὲ ἐνταῦθά ἐστιν ἀψευδὲς, οὐ μὴν ἐπὶ παντί γε πράγματι, ἀλλὰ ἐπὶ τῶν καμνόντων. κάτοπτρον καλωδίῳ τῶν λεπτῶν δήσαντες καθιᾶσι, σταθμώμενοι μὴ πρόσω καθικέσθαι τῆς πηγῆς, ἀλλ' ὅσον ἐπιψαῦσαι τοῦ ὕδατος τῷ κύκλῳ τοῦ κατόπτρου. τὸ δὲ ἐντεῦθεν εὐξάμενοι τῇ θεῷ καὶ θυμιάσαντες ἐς τὸ κάτοπτρον βλέπουσι· τὸ δέ σφισι τὸν νοσοῦντα ἤτοι ζῶντα ἢ καὶ τεθνεῶτα ἐπιδείκνυσι. τούτῳ μὲν τῷ ὕδατι ἐς τοσοῦτο μέτεστιν ἀληθείας. (6) Κυανέων δὲ τῶν πρὸς Λυκίαν πλησιαίτατα χρηστήριον Ἀπόλλωνός ἐστι Θυρξέως. παρέχεται δὲ ὕδωρ τὸ πρὸς ταῖς Κυανέαις, εἰς ὃ ἐνιδόντα ἐς τὴν πηγὴν, ὁμοίως πάντα ὁρᾷ ὁπόσα θέλει θεάσασθαι. ἐν Πάτραις δὲ πρὸς τῷ ἄλσει καὶ ἱερὰ δύο ἐστὶ Σαράπιδος· ἐν δὲ τῷ ἑτέρῳ πεποίηται μνῆμα Αἰγύπτου τοῦ Βήλου. φυγεῖν δὲ ἐς τὴν Ἀρόην οἱ Πατρεῖς φασιν αὐτὸν, τοῖς τε ἐς τοὺς παῖδας παθήμασι καὶ τὸ ὄνομα

parte templum spectat, lapideum habet sepimentum; ab exteriori vero parte descensus ad eum structus est. Ibi oraculum maxime veridicum est. Cognoscuntur ex eo non rerum omnium, sed morborum duntaxat eventa. Speculum tenui suspensum funiculo demittunt, ita librantes, ut in fonte omnino non mergatur, sed *imo* ambitu summam aquam contingat. Exinde ubi odores adoleverint, et rite deam precati fuerint, inspiciunt in speculum; et ex eius imaginibus, periturusne an victurus is aeger sit, *de quo consuluerunt*, divinant. Neque latius omnino huius aquae divinatio patet. (6) Proxime Cyaneas Lyciae finitimas oraculum est Apollinis Thyrxei: hoc vero est in aqua, quae est iuxta Cyaneas; in quam si quis introspiciat, similiter omnia ei quae vult, videre licet. Sunt etiam Patris iuxta lucum duo Serapidis templa; in quorum altero Aegypti Beli filii monumentum. Aegyptum Aroen venisse tradunt Patrenses, filiorum luctu confectum, quum ipsum Argo-

αὐτὸ πεφρικότα τοῦ Ἄργους, καὶ ἐς πλέον τοῦ Δαναοῦ δείματι. ἔστι δὲ καὶ ἱερὸν Πατρεῦσιν Ἀσκληπιοῦ· τοῦτο τὸ ἱερὸν ὑπὲρ τὴν ἀκρόπολιν τῶν πυλῶν ἐστιν ἐγγύς, αἳ ἐπὶ Μεσάτιν ἄγουσιν. (7) Αἱ δὲ γυναῖκές εἰσιν ἐν ταῖς Πάτραις ἀριθμὸν μὲν καὶ ἐς δὶς τῶν ἀνδρῶν· Ἀφροδίτης δὲ, εἴπερ ἄλλαις γυναιξὶ, μέτεστι καὶ ταύταις· βίος δὲ αὐτῶν ταῖς πολλαῖς ἐστιν ἀπὸ τῆς βύσσου τῆς ἐν τῇ Ἤλιδι φυομένης· κεκρυφάλους τε γὰρ ἀπ' αὐτῆς καὶ ἐσθῆτα ὑφαίνουσι τὴν ἄλλην.

CAPUT XXII.

De Pharis urbe, fluvio Piero et platanis mirae magnitudinis — Mercurio Agoraeo eiusque oraculo — lapidibus quadrangulis a Pharensibus cultis et Pharorum conditore. — Tritaea urbe et monumento picturis Niciae exornato. — Tritaeae conditore — summorum deorum templo — itinere Aegium versus — mira amnis Charadri vi.

Φαραὶ δ', Ἀχαιῶν πόλις, τελοῦσι μὲν ἐς Πάτρας δόντος Αὐγούστου. ὁδὸς δὲ ἐς Φαρὰς Πατρέων μὲν ἐκ τοῦ ἄστεως στάδιοι πεντήκοντά εἰσι καὶ ἑκατὸν, ἀπὸ θαλάσσης δὲ ἄνω πρὸς ἤπειρον περὶ ἑβδομήκοντα. ποταμὸς δὲ

rum nomen exhorresceret, et in primis a Danao sibi plurimum metueret. Est etiam apud Patrenses supra arcem, ad eam portam, per quam exeunt, qui Messatin iter habent, Aesculapii templum. (7) Foeminarum Patris quam virorum duplo fere maior est numerus; et hae quidem, si quae aliae, ad Venerem pronae. Texendis e bysso Eliaca reticulis et alia veste, earum complures victum quaeritant.

Cap. XXII. Pharae Achaeorum oppidum Patrensibus est ab Augusto attributum. Via interest stadium centum et quinquaginta; a mari vero ad continentem superiorem oram, *stadium intervallum* circiter LXX. Praeterfluit Pha-

ῥεῖ πλησίον Φαρῶν Πίερος, ὁ αὐτὸς, (ἐμοὶ δοκεῖν) ὃς καὶ τὰ Ὠλένου παρέξεισιν ἐρείπια, ὑπὸ ἀνθρώπων τῶν
579 πρὸς θαλάσσῃ καλούμενος Πεῖρος. πρὸς δὲ τῷ ποταμῷ πλατάνων ἐστὶν ἄλσος, κοῖλαί τε ὑπὸ παλαιότητος αἱ πολλαὶ, καὶ ἥκουσαι μεγέθους ἐς τοσοῦτον, ὥστε καὶ ἑστιῶνται τῶν χηραμῶν ἐντὸς, καὶ ὁπόσοις ἂν κατὰ γνώμην ᾖ, καὶ ἐγκαθεύδουσι. (2) Περίβολος δὲ ἀγορᾶς μέγας κατὰ τρόπον τὸν ἀρχαιότερόν ἐστιν ἐν Φαραῖς, Ἑρμοῦ τε ἐν μέσῃ τῇ ἀγορᾷ λίθου πεποιημένον ἄγαλμα, ἔχον καὶ γένεια· ἑστηκὼς δὲ πρὸς αὐτῇ τῇ γῇ, παρέχεται μὲν τὸ τετράγωνον σχῆμα, μεγέθει δέ ἐστιν οὐ μέγας. καὶ αὐτῷ καὶ ἐπίγραμμα ἔπεστιν, ἀναθεῖναι αὐτὸ Μεσσήνιον Σίμυλον. καλεῖται μὲν δὴ Ἀγοραῖος· παρὰ δὲ αὐτῷ καὶ χρηστήριον καθέστηκε. κεῖται δὲ πρὸ τοῦ ἀγάλματος ἑστία λίθου καὶ αὐτή· μολίβδῳ δὲ πρὸς τὴν ἑστίαν προσέχοντες λύχνοι χαλκοῖ. ἀφικόμενος οὖν περὶ ἑσπέραν ὁ τῷ θεῷ χρώμενος, λιβανωτόν τε ἐπὶ τῆς ἑστίας θυμιᾷ, καὶ ἐμπλήσας τοὺς λύχνους ἐλαίου καὶ ἐξάψας, τίθησιν ἐπὶ τὸν βωμὸν τοῦ ἀγάλματος ἐν δεξιᾷ νόμισμα ἐπιχώ-

rensium agrum fluvius Pierus, idem (opinor), qui et Oleni ruinas praeterlabitur, quem maris accolae Pirum nominant. In eius ripis platanorum lucus est, tanta arborum magnitudine ex ipsa vetustate, ut intra cavernas (multae enim concavae sunt) qui velint, et epulari et recumbere possint. Fori area magno et late patenti ambitu est; quo scilicet spatio esse consueverant priscorum fora. (2) In medio Mercurii marmoreum signum, cum barba, ipsi terrae insistit, forma quadrangula, modica magnitudine. Testatur inscriptio a Messenio Simulo dedicatum. Cognomen ei est Agoraeo, *quod idem omnino est ac si Forensem dicas.* Proximo loco oraculum est. Ante *Mercurii* signum situs est focus, et ipse lapideus: ad eum focum plumbo agglutinatae sunt aeneae lucernulae. Qui Deum consulit, accedit sub vesperam, et thus super foco adolet, deinde oleo infuso lucernas accendit: tum vero in ara ad simulacri dextram nummum

ριον, (καλεῖται δὲ χαλκοῦς τὸ νόμισμα) καὶ ἐρωτᾷ πρὸς τὸ οὖς τὸν θεὸν, ὁποῖόν τι καὶ ἑκάστῳ τὸ ἐρώτημά ἐστι. τὸ ἀπὸ τούτου δὲ ἄπεισιν ἐκ τῆς ἀγορᾶς ἐπιφραξάμενος τὰ ὦτα. προελθὼν δὲ ἐς τὸ ἐκτὸς, τὰς χεῖρας ἀπέσχεν ἀπὸ τῶν ὤτων, καὶ ἥστινος ἂν ἐπακούσῃ φωνῆς, μάντευμα ἡγεῖται. τοιαύτη καὶ Αἰγυπτίοις ἑτέρα περὶ τοῦ Ἄπιδος τὸ ἱερὸν μαντεία καθέστηκεν. ἐν Φαραῖς δὲ καὶ ὕδωρ ἱερόν ἐστι τοῦ Ἑρμοῦ· Ἅμα μὲν τῇ πηγῇ τὸ ὄνομα· τοὺς δὲ ἰχθῦς οὐχ αἱροῦσιν ἐξ αὐτῆς, ἀνάθημα εἶναι τοῦ θεοῦ νομίζοντες. (3) Ἑστήκασι δὲ ἐγγύτατα τοῦ ἀγάλματος τετράγωνοι λίθοι τριάκοντα μάλιστα ἀριθμόν. τούτους σέβουσιν οἱ Φαρεῖς, ἑκάστῳ θεοῦ τινὸς ὄνομα ἐπιλέγοντες. τὰ δὲ ἔτι παλαιότερα καὶ τοῖς πᾶσιν Ἕλλησι τιμὰς θεῶν ἀντὶ ἀγαλμάτων εἶχον ἀργοὶ λίθοι. Φαρεῦσι δὲ ὅσον πέντε σταδίους καὶ δέκα ἀπωτέρω τῆς πόλεώς ἐστιν ἄλσος Διοσκούρων. δάφναι μάλιστα ἐν αὐτῷ πεφύκασι, ναὸς δὲ οὐκ ἦν ἐν αὐτῷ, οὔτε ἀγάλματα· κομισθῆναι δὲ οἱ ἐπιχώριοί φασιν ἐς Ῥώμην τὰ ἀγάλματα. ἐν Φαραῖς δὲ ἐν τῷ ἄλσει βωμὸς λίθων λογάδων ἐστί. 580

patria nota signatum (appellant Aereum) dedicat; deumque ad aurem rogat quodcunque placuerit; inde e foro abiens manibus aures premit. Ubi e foro excessit, amota manu quam primum excepit vocem, eam sibi oraculi loco ducit. Talis etiam apud Aegyptios in Serapidis fano celebratur oraculi religio. Est item Pharis aqua Mercurio sacra: Hama fonti nomen. Piscibus parcunt, quod sacros Deo putant. (3) Prope ipsum Dei signum lapides fere triginta erecti sunt quadrangula figura: singulos certis deorum nominibus appellantes venerantur. Atque adeo olim apud universos Graecos rudes lapides pro simulacris divinos honores obtinebant. Est procul oppido stadia ferme quindecim, Castoris et Pollucis lucus, lauris consitus plurimis: aedes vero aut signa in eo omnino nulla: aiunt incolae, Romam, quae fuerant, fuisse deportata: ara *tantum* extat lapidibus vilibus exstructa. Oppidani pro certo non habent, Pharesne

πυθέσθαι δὲ οὐκ εἶχον, εἰ ὁ Φάρης ὁ Φιλοδαμείας τῆς Δαναοῦ Φαρῶν ἢ ὁμώνυμος ἐκείνῳ τις ἐγένετο οἰκιστής. (4) Τρίταια δὲ, Ἀχαιῶν αὕτη πόλις, ἐν μεσογαίῳ μὲν ᾤκισται, νέμουσι δὲ ἐς Πάτρας καὶ αὐτοὶ, βασιλέως δόντος. στάδιοι δὲ ἐς Τρίταιαν εἴκοσί τε καὶ ἑκατόν εἰσιν ἐκ Φαρῶν. πρὶν δὲ ἢ ἐς τὴν πόλιν εἰσελθεῖν, μνῆμά ἐστι λευκοῦ λίθου θέας καὶ ἐς τὰ ἄλλα ἄξιον, καὶ οὐχ ἥκιστα ἐπὶ ταῖς γραφαῖς, αἵ εἰσιν ἐπὶ τοῦ τάφου, τέχνη Νικίου· θρόνος τε ἐλέφαντος, καὶ γυνὴ νέα καὶ εἶδους εὖ ἔχουσα ἐπὶ τῷ θρόνῳ, θεράπαινα δὲ αὐτῇ παρέστηκε σκιάδιον φέρουσα· καὶ νεανίσκος ὀρθὸς οὐκ ἔχων πω γένειά ἐστι χιτῶνα ἐνδεδυκὼς καὶ χλαμύδα ἐπὶ τῷ χιτῶνι φοινικῆν, παρὰ δὲ αὐτὸν οἰκέτης ἀκόντια ἔχων ἐστὶ, καὶ ἄγει κύνας ἐπιτηδείας θηρεύουσιν ἀνθρώποις. πυθέσθαι μὲν ἤδη τὰ ὀνόματα αὐτῶν οὐκ εἴχομεν· ταφῆναι δὲ ἄνδρα καὶ γυναῖκα ἐν κοινῷ παρίστατο ἅπασιν εἰκάζειν. (5) Τριταίας δὲ οἰκιστὴν οἱ μὲν Κέλβιδαν γενέσθαι λέγουσιν, ἀφικόμενον δὲ ἐκ Κύμης τῆς ἐν Ὀπικοῖς· οἱ δὲ, ὡς Ἄρης συγγένοιτο Τριταίᾳ θυγατρὶ Τρίτωνος· ἱερᾶσθαι δὲ τῆς

Philodamia Danai filia natus, an alius quis illi cognominis, eam urbem condiderit. (4) Tritia quidem Achaeorum et ipsa urbs a litore interior; Patrensibus haec quoque attributa Caesaris voluntate. Abest a Pharis stadia centum et viginti. In suburbano agro sepulcrum visitur candido lapide exstructum, insigne illud quidem tum reliquo opere, tum maxime quod in eo Niciae relucent picturae. In eburnea sella sedet eximia specie puella: adsistit puellae ancillula cum umbraculo; et adolescentulus plane impuber tunica amictus, et supra tunicam punicea chlamyde. Adstat ei servulus cum iaculis, venaticos canes ducens. Nomina certe cognoscere non potuimus; sed facile fuit conicere, illud esse viri et uxoris monumentum. (5) Tritiae quidem conditorem Celbidan sunt qui dicant fuisse: venisse vero illum e Cumis Opicae terrae. Alii a Marte tradidere Tritiam Tritonis filiam compressam: fuisse eam Minervae sa-

Ἀθηνᾶς τὴν παρθένον· Μελάνιππον δὲ παῖδα Ἄρεως καὶ Τριταίας οἰκίσαι τε καὶ αὐξῆσαι τὴν πόλιν, καὶ θέσθαι τὸ ὄνομα ἀπὸ τῆς μητρός. (6) Ἐν Τριταίᾳ δὲ ἔστι μὲν ἱερὸν καλουμένων μεγίστων θεῶν· ἀγάλματα δέ σφισι πηλοῦ πεποιημένα, τούτοις κατὰ ἔτος ἑορτὴν ἄγουσιν, οὐδέ τι ἀλλοίως ἢ καὶ τῷ Διονύσῳ δρῶσιν Ἕλληνες. ἔστι δὲ καὶ Ἀθηνᾶς ναός· τὸ δὲ ἄγαλμα λίθου τὸ ἐφ' ἡμῶν· τὸ δὲ ἀρχαῖον ἐς Ῥώμην, καθὰ οἱ Τριταιεῖς λέγουσιν, ἐκομίσθη. θύειν δὲ οἱ ἐνταῦθα καὶ Ἄρει καὶ τῇ Τριταίᾳ νομίζουσιν. αἵδε μὲν οὖν θαλάσσης τέ εἰσιν ἀπωτέρω πόλεις, καὶ ἠπειρώτιδες βεβαίως. (7) Πλέοντι δὲ ἐς Αἴγιον ἐκ Πατρῶν, ἄκρα πρῶτόν ἐστιν ὀνομαζομένη Ῥίον, 581
σταδίους δὲ Πατρῶν πεντήκοντα ἀπέχουσα· λιμὴν δὲ ὁ Πάνορμος σταδίοις πέντε καὶ δέκα ἀπωτέρω τῆς ἄκρας. τοσούτους δὲ ἀφέστηκεν ἑτέρους ἀπὸ Πανόρμου τὸ Ἀθηνᾶς καλούμενον τεῖχος. ἐς δὲ λιμένα Ἐρινεὸν ἐξ Ἀθηνᾶς τείχους παράπλους ἐνενήκοντά εἰσι στάδιοι· ἑξήκοντα δὲ ἐς Αἴγιον ἀπὸ τοῦ Ἐρινεοῦ. ὁδὸς δὲ ἡ πεζὴ σταδίους

cerdotem, dum virgo esset: Melanippum Marte et Tritia natum, urbem condidisse, et a se auctam de matris nomine appellasse. (6) Est Tritiae fanum quod Maximorum deorum vocatur. Simulacra fictilia sunt. Sacra his annua non alio ritu fiunt, quam Libero Patri apud *cunctos fere* Graecos. Minervae etiam aedes extat: deae signum marmoreum hac aetate cernitur: priscum Romam fuisse deportatum Tritaeenses ipsi memorant. Iidem Marti etiam et Tritiae solenne habent rem divinam facere. Atque hae quidem procul a mari, et plane interiores in continenti terra urbes sunt. (7) Navigantibus Aegium a Patris distat stadia quinquaginta promontorium, cui nomen Rhion. Portus *ab opportunitate* Panormus, longe abest a promontorio stadia quindecim. Totidem a Panormo distant, qui Minervae muri dicuntur: a quibus ad portum, cui Caprifici nomen, oram legentibus intervallum stadium nonaginta. Inde ad Aegium sexaginta: at pedestre iter e Patrensi urbe usque in Aegien-

τεσσαράκοντα μάλιστα ἐς τὸν ἀριθμὸν ἀποδεῖ τὸν εἰρημένον. οὐ πόῤῥω δὲ τοῦ Πατρέων ἄστεως ποταμός τε ὁ Μείλιχος καὶ τὸ ἱερὸν τῆς Τρικλαρίας ἐστὶν, ἄγαλμα οὐδὲν ἔτι ἔχον· τοῦτο μὲν δή ἐστιν ἐν δεξιᾷ. (8) Προελθόντι δὲ ἀπὸ τοῦ Μειλίχου, ποταμός ἐστιν ἄλλος· ὄνομα μὲν τῷ ποταμῷ Χάραδρος. ὥρᾳ δὲ ἦρος πίνοντα ἐξ αὐτοῦ τὰ βοσκήματα ὀφείλει τίκτειν ἄῤῥενα, ὡς τὰ πλείω συμβαίνει· καὶ τοῦδε εἵνεκα οἱ νομεῖς ἑτέρωσε αὐτὰ τῆς χώρας μεθιστᾶσι, πλήν γε δὴ τὰς βοῦς. ταύτας δὲ αὐτοῦ καταλείπουσιν ἐπὶ τῷ ποταμῷ, διότι καὶ πρὸς θυσίας οἱ ταῦροί σφισι καὶ ἐς τὰ ἔργα ἐπιτηδειότεροι θηλειῶν βοῶν εἰσιν· ἐπὶ δὲ τοῖς ἄλλοις κτήνεσι τὸ θῆλυ ἐπιπλέον τετίμηται.

sem quadraginta potissimum stadiis brevius est eo marinae profectionis numero quem modo exposui. Paululum abest ab ipso Patrensium oppido Milichus amnis, et Triclariae templum, in quo signum omnino nullum reliquum est. Situm hoc ad viae dexteram. (8) Paulo longius progressis alius est amnis, cui Charadrus nomen: e quo quae verno tempore potarint pecudes, mares gignere creduntur foetuum partem maximam: eaque de causa pastores aliorsum greges agunt, praeter bovillum tamen pecus. Id ab eo flumine idcirco non reiiciunt, quod mares et ad usum sacrorum, et ad agrorum cultum magis idoneos esse arbitrantur. Ceteri pecoris foeminas maiore multo aestimatione dignantur.

CAPUT XXIII.

Reliquiae urbis Argyrae — de Selemno amne et Argyra fonte narratio — de Bolinaeo amne et urbe Bolina — promontorio Drepano et reliquiis urbis Rhypum — Aegio urbe, Lucinae (Ilithyiae) templo ac signo — de Aesculapio disputatio — Aegii urbis memoranda.

Μετὰ δὲ τὸν Χάραδρον ἐρείπια οὐκ ἐπιφανῆ πόλεώς ἐστιν Ἀργυρᾶς, καὶ πηγή τε Ἀργυρᾶ ἐν δεξιᾷ τῆς λεωφόρου, καὶ Σέλεμνος ποταμὸς κατιὼν ἐς θάλασσαν. (2) Λόγος δὲ τῶν ἐπιχωρίων ἐς αὐτόν ἐστι, Σέλεμνον, μειράκιον ὡραῖον, ποιμαίνειν ἐνταῦθα, Ἀργυρᾶν δὲ εἶναι μὲν τῶν ἐν θαλάσσῃ νυμφῶν, ἐρασθεῖσαν δὲ αὐτὴν Σελέμνου φοιτᾶν τε ὡς αὐτόν φασιν ἐκ θαλάσσης ἀνιοῦσαν, καὶ καθεύδειν παρὰ τῷ ποταμῷ. μετὰ δὲ οὐ πολὺν χρόνον οὔτε ὡραῖος ἔτι ἐφαίνετο Σέλεμνος, οὔτε ὡς αὐτὸν φοιτήσειν ἔμελλεν ἡ νύμφη. Σέλεμνον δὲ μονωθέντα Ἀργυρᾶς, καὶ τελευτήσαντα ὑπὸ τοῦ ἔρωτος, ἐποίησεν Ἀφροδίτη ποταμόν. λέγω δὲ τὰ ὑπὸ Πατρέων λεγόμενα. καί, ἦρα γὰρ καὶ ὕδωρ γενόμενος Ἀργυρᾶς, καθότι ἔχει καὶ ἐπὶ τῷ Ἀλφειῷ λόγος, Ἀρεθούσης ἔτι 582

Cap. XXIII. Post Charadrum ruinae sunt non magnopere insignes Argyrae urbis; et ad dexteram viae popularis, fons Argyra: et Selemnus fluvius in mare *ea parte* exit. (2) De eo indigenarum est *pervulgata* fabula, Selemnum egregia forma puerum, pecus ibi pascentem, amatum ab Argyra Nympha: illam e mari subnatantem, in fluminis alveo cum puero cubare solitam: non longo post temporis intervallo, quum pueri forma defloruisset, ad eum ventitare Nympham desisse: desertum ab Argyra puerum, amorisque ardore consumtum, esse a Venere in amnem mutatum. Verum quum in aquam etiam versus Argyrae amore teneretur (haec enim ipsi Patrenses memorant) ad eam (uti de Alpheo et Arethusa proditum est) aquas subiens pene-

ἐρᾶν αὐτὸν, δωρεῖται καὶ τόδε Ἀφροδίτη Σέλεμνον, ἐς λήθην ἄγει τὸν ποταμὸν Ἀργυρᾶς. ἤκουσα δὲ καὶ ἄλλον ἐπ' αὐτῷ λόγον· τὸ ὕδωρ τὸ Σελέμνου σύμφορον καὶ ἀνδράσιν εἶναι καὶ γυναιξὶν ἐς ἔρωτος ἴαμα, λουομένοις ἐν τῷ ποταμῷ λήθην ἔρωτος γίνεσθαι. εἰ δὲ μέτεστιν ἀληθείας τῷ λόγῳ, τιμιώτερον χρημάτων πολλῶν ἐστιν ἀνθρώποις τὸ ὕδωρ τοῦ Σελέμνου. (3) Ἀπωτέρω δὲ Ἀργυρᾶς ποταμός ἐστιν ὀνομαζόμενος Βολιναῖος, καὶ πόλις ποτὲ ᾤκητο πρὸς αὐτῷ Βολίνα. παρθένου δὲ ἐρασθῆναι Βολίνης Ἀπόλλωνα, τὴν δὲ φυγοῦσαν ἐς τὴν ταύτῃ φασὶν ἀφεῖναι θάλατταν αὑτὴν, καὶ ἀθάνατον γενέσθαι χάριτι τοῦ Ἀπόλλωνος. (4) Ἐφεξῆς δὲ ἄκρα τε ἐς αὐτὴν ἔχει τὴν θάλασσαν, καὶ ἐπ' αὐτῇ λέγεται λόγος, ὡς Κρόνος τῆς θαλάσσης ἐνταῦθα ἔῤῥιψε τὸ δρέπανον, ᾧ τὸν πατέρα Οὐρανὸν ἐλυμήνατο· ἐπὶ τούτῳ δὲ καὶ τὴν ἄκραν Δρέπανον ὀνομάζουσιν. ὀλίγον δὲ ὑπὲρ τὴν λεωφόρον Ῥυπῶν ἐστι τὰ ἐρείπια. (5) Σταδίους δὲ Αἴγιον περὶ τοὺς τριάκοντα ἀπέχει Ῥυπῶν. Αἰγίου δὲ τὴν χώραν διέξεισι μὲν ποταμὸς Φοίνιξ, διέξεισι δὲ καὶ ἕτε-

trabat; donec Veneris munere Nymphae puerum cepit oblivio. Inde eam vim Selemnum habere creditum, ut qui viri, quaeve foeminae se in eo abluerint, amorum suorum obliviscantur. Quod nisi commentitium esset, quantavis pecunia videri posset ea Selemni aqua preciosior. (3) Ac Argyra modico intervallo fluvius abest Bolinaeus. Fuit ei proxima olim Bolina urbs. Virginem, cui Bolina nomen, ab Apolline amatam tradunt; quae fugiens in mare se proximum abiecerit, ac postea Apollinis miseratione immortalitatem sit adepta. (4) Promontorium inde mari imminet. In hoc ipsum mare, fabula vulgavit, Saturnum falcem abiecisse, Coelum patrem quum execuisset: et ex eo promontorium Drepanum vocatum. Paululum supra militarem viam cernuntur Rhypum ruinae: (5) ab illis distat Aegium stadia circiter XXX. Aegiensem agrum perlabitur fluvius Phoenix, et item Meganitas: ambo in mare influunt. Porticus

ϱος Μεγανίτας, ἐς θάλασσαν ῥέοντες. στοὰ δὲ τῆς πό-
λεως πλησίον ἐποιήθη Στράτωνι ἀθλητῇ, Ὀλυμπίασιν
ἐπὶ ἡμέρας τῆς αὐτῆς παγκρατίου καὶ πάλης ἀνελομένῳ
νίκας· αὕτη μὲν ἐγγυμνάζεσθαι τούτῳ τῷ ἀνδρὶ ἐποιήθη.
Αἰγιεῦσι δὲ Εἰλειθυίας ἱερόν ἐστιν ἀρχαῖον, καὶ ἡ Εἰλεί-
θυια ἐς ἄκρους ἐκ κεφαλῆς τοὺς πόδας ὑφάσματι κεκά-
λυπται λεπτῷ, ξόανον, πλὴν προσώπου τε καὶ χειρῶν
ἄκρων καὶ ποδῶν· ταῦτα δὲ τοῦ Πεντελησίου λίθου πε-
ποίηται· καὶ ταῖς χερσὶ τῇ μὲν ἐς εὐθὺ ἐκτέταται, τῇ δὲ
ἀνέχει δᾷδα. Εἰλειθυίᾳ δὲ εἰκάσαι τις ἂν εἶναι δᾷδας,
ὅτι γυναιξὶν ἐν ἴσῳ καὶ πῦρ εἰσιν αἱ ὠδῖνες. ἔχοιεν δ'
ἂν λόγον καὶ ἐπὶ τοιῷδε αἱ δᾷδες, ὅτι Εἰλείθυιά ἐστιν
ἡ ἐς φῶς ἄγουσα τοὺς παῖδας. ἔργον δὲ τοῦ Μεσσηνίου
Δαμοφῶντός ἐστι τὸ ἄγαλμα. τῆς Εἰλειθυίας οὐ μακρὰν
Ἀσκληπιοῦ τέ ἐστι τέμενος, καὶ ἀγάλματα Ὑγιείας καὶ
Ἀσκληπιοῦ. ἰαμβεῖον δὲ ἐπὶ τῷ βάθρῳ τὸν Μεσσήνιον
Δαμοφῶντα εἶναι τὸν εἰργασμένον φησίν. (6) Ἐν τούτῳ 583
τοῦ Ἀσκληπιοῦ τῷ ἱερῷ ἐς ἀντιλογίαν ἀφίκετο ἀνήρ μοι
Σιδόνιος, ὃς ἐγνωκέναι τὰ ἐς τὸ θεῖον ἔφασκε Φοίνικας

suburbana Stratoni athletae erecta, (qui Olympiae eodem die pancratii et luctae coronas capit) quo certum ubi se exerceret locum haberet. Habent Aegienses vetustum Lucinae fanum. Deae signum a vertice ad calcem tenui carbaso velatum, ligneum est praeter os, summas manus, et pedes. Sunt enim hae *quae non teguntur* partes e marmore Pentelico. Alteram manum porrigit, altera facem praefert. Attributas ei faces ex eo suspicari possis, quod parturientes dolores haud secus atque ignis urere videantur; vel quod ipsa in lucem foetus profert. Simulacrum illud fecit Damophon Messenius. Non longe a Lucinae est sacra Aesculapio area, in qua Hygiae sunt et Aesculapii ipsius signa. In basi incisi iambi indicant Messenii Damophontis opus esse. (6) In hoc Aesculapii templo altercatio mihi fuit cum Sidonio homine, qui et rerum omnium divinarum peritiores esse Phoenicas quam Graecos contendebat: tum

καὶ τά τε ἄλλα Ἑλλήνων βέλτιον, καὶ δὴ καὶ Ἀσκληπιῷ πατέρα μὲν σφᾶς Ἀπόλλωνα ἐπιφημίζειν, θνητὴν δὲ γυναῖκα οὐδεμίαν μητέρα· Ἀσκληπιὸν μὲν γὰρ ἀέρα γένει τε ἀνθρώπων εἶναι καὶ πᾶσιν ὁμοίως ζώοις ἐπιτήδειον πρὸς ὑγίειαν, Ἀπόλλωνα δὲ ἥλιον, καὶ αὐτὸν ὀρθότατα Ἀσκληπιῷ πατέρα ἐπονομάζεσθαι, ὅτι ἐς τὸ ἁρμόζον ταῖς ὥραις ποιούμενος ὁ ἥλιος τὸν δρόμον μεταδίδωσι τῷ ἀέρι ὑγιείας. ἐγὼ δὲ ἀποδέχεσθαι μὲν τὰ εἰρημένα, οὐδὲν δέ τι Φοινίκων μᾶλλον ἢ καὶ Ἑλλήνων εἶναι τὸν λόγον ἔφην· ἐπεὶ καὶ ἐν Τιτάνῃ τῆς Σικυωνίων τὸ αὐτὸ ἄγαλμα Ὑγίειάν τε ὀνομάζεσθαι, καὶ παιδὶ εἶναι δῆλα, ὡς τὸν ἡλιακὸν δρόμον ἐπὶ γῆς ὑγίειαν ποιοῦντα ἀνθρώποις. (7) Αἰγιεῦσι δὲ Ἀθηνᾶς τε ναὸς, καὶ Ἥρας ἐστὶν ἄλσος. Ἀθηνᾶς μὲν δὴ δύο ἀγάλματα λευκοῦ λίθου· τῆς δὲ Ἥρας τὸ ἄγαλμα, ὅτι μὴ γυναιξὶν, ἣ ἂν τὴν ἱερωσύνην ἔχει, ἄλλῳ γε οὐδενὶ ἔστι θεάσασθαι. Διονύσου δὲ πρὸς τῷ θεάτρῳ πεποίηταί σφισιν ἱερὸν, καὶ ἄγαλμα οὐκ ἔχον

vero et inter ipsos aiebat Aesculapii patrem Apollinem celebrari, matrem vero ei mortalem fuisse negabat. Aesculapium enim *aliud nihil quam* aërem esse, ex quo bona valetudo *(quam Graeci ὑγίειαν appellant)* tam homini, quam cunctis aliis animantibus, existeret. Apollinem, qui Sol ipse est, iure patrem Aesculapii perhiberi, quod accommodatum anni temporibus cursum peragens, aëri salubritatem impertiat. Haec ego illi facile assentiebar, sed non esse magis Phoenicum eam opinionem, quam Graecorum ostendebam; quum Titane etiam (quod est Sicyoniorum oppidum) Aesculapii signum, Salubritatis dicatur. Esse vero vel puero manifestum aiebam, corporum in terra salubritatem Solis cursu effici. (7) Est item apud Aegienses Minervae delubrum; et Iunonis lucus. Minervae ipsius duo sunt e candido lapide signa. Ad Iunonis nemini, praeter eam mulierem, cui sacerdotium obtigit, fas aspicere. Liberi etiam aedes proxima theatro; signum impuberi ore est. In foro

πω γένεια. ἔστι δὲ καὶ Διὸς ἐπίκλησιν Σωτῆρος ἐν τῇ ἀγορᾷ τέμενος, καὶ ἀγάλματα ἐσελθόντων ἐν ἀριστερᾷ χαλκοῦ μὲν ἀμφότερα· τὸ δὲ οὐκ ἔχον πω γένεια ἐφαίνετο ἀρχαιότερον εἶναί μοι. ἐν δὲ οἰκήματι κατευθὺ τῆς ὁδοῦ χαλκοῦ καὶ ταῦτα ἔστι μὲν Ποσειδῶν καὶ Ἡρακλῆς, ἔστι δὲ Ζεὺς καὶ Ἀθηνᾶ. θεοὺς δὲ σφᾶς καλοῦσιν ἐς αὐτούς, ὡς μὲν ὁ Ἀργείων ἔχει λόγος, ὅτι ἐποιήθησαν ἐν τῇ πόλει τῇ Ἀργείων· ὡς δὲ αὐτοὶ λέγουσιν οἱ Αἰγιεῖς, παρακαταθήκη σφίσιν ὑπὸ Ἀργείων ἐδόθη τὰ ἀγάλματα· καὶ αὐτοῖς καὶ τάδε ἔτι προσταχθῆναί φασιν, ἑκάστῃ τοῖς ἀγάλμασιν ἡμέρᾳ θύειν· αὐτοὶ δὲ σόφισμα εὑ- 584
ρόντες, θύειν μὲν πλεῖστα ὅσα, κατευωχουμένοις δὲ τὰ ἱερεῖα ἐν κοινῷ, ἀνάλωμα οὐδὲν ἐς αὐτὰ γίγνεσθαι· τέλος δὲ ἀπαιτεῖσθαι ὑπὸ τῶν Ἀργείων, καὶ αὐτοὶ τὰ ἐς τὰς θυσίας ἀναλούμενα ἀπαιτεῖν· τοὺς δὲ (οὐ γὰρ ἔχειν ἐκτῖσαι) καταλιπεῖν σφισιν αὐτοὺς τὰ ἀγάλματα. Αἰγιεῦσι δὲ ἔστι μὲν πρὸς τῇ ἀγορᾷ ναὸς Ἀπόλλωνι καὶ Ἀρτέμιδι ἐν κοινῷ· ἔστι δὲ ἐν τῇ ἀγορᾷ ἱερὸν Ἀρτέμιδος·

etiam Iovis est area, cognomento Servatoris: et in primo sane fori aditu ad laevam simulacra aenea duo, quorum alterum imberbis effigiem prae se ferens, multo esse videbatur antiquius. At aenea signa, quae recta per *militarem* viam progressis, in cella quadam Neptuno et Herculi, Iovi item et Minervae dicata sunt, Argivos nuncupant, vel quod (ut Argivi dicunt) Argis fabricata fuerint; vel quod Aegienses (ut ipsi quidem narrant) deposita illa apud se ab Argivis, asservarint: quibus quum iussi essent quotidie sacra facere, quo id sine publica impensa fieret, excogitasse, ut ea ipsa, quibus postea in epulationibus vescerentur, disque rem divinam facerent, consecrarent. Sedenim quum *depositum* aliquando repetissent Argivi, se quoque repetisse quam in sacra erogassent pecuniam; illos, quum solvendo non essent, signa reliquisse. Prope forum communis Apollini et Dianae aedes dedicata est. In foro etiam est Dianae templum: sagittas dea eiaculantis effigiem prae se fert. Est

τοξευούσῃ δὲ εἴκασται. καὶ Ταλθυβίου τοῦ κήρυκος τάφος· κέχωσται δὲ τῷ Ταλθυβίῳ καὶ ἄλλο μνῆμα ἐν Σπάρτῃ, καὶ αὐτῷ αἱ πόλεις ἐναγίζουσιν ἀμφότεραι.

CAPUT XXIV.

Aegii urbis memoranda porro enumerantur — Iovis Homagyrii signum et Cereris Panachaeae — synedrium Achaeorum in urbe Aegio — de Helice urbe et Neptuno Heliconio — Helice terrae motu funditus eversa — de variis signis, quae terrae motus praecedunt, et horum varia ratione — Sipyli eversio.

Πρὸς θαλάσσῃ δὲ Ἀφροδίτης ἱερὸν ἐν Αἰγίῳ, καὶ μετ' αὐτὸ Ποσειδῶνος, Κόρῃ τε πεποίηται τῇ Δήμητρος, καὶ τέταρτον Ὁμαγυρίῳ Διΐ. ἐνταῦθα Διὸς καὶ Ἀφροδίτης ἐστὶ καὶ Ἀθηνᾶς ἀγάλματα. (2) Ὁμαγύριος δὲ ἐγένετο τῷ Διΐ ἐπίκλησις, ὅτι Ἀγαμέμνων ἤθροισεν ἐς τοῦτο τὸ χωρίον τοὺς λόγου μάλιστα ἐν τῇ Ἑλλάδι ἀξίους, μεθέξοντας ἐν κοινῷ βουλῆς, καθ' ὅντινα χρὴ τρόπον ἐπὶ ἀρχὴν τὴν Πριάμου στρατεύεσθαι. Ἀγαμέμνονι δὲ καὶ ἄλλα ἐστὶν ἐς ἔπαινον, καὶ ὅτι τοῖς ἐξ ἀρχῆς ἀκολουθήσασι, καὶ οὐδεμιᾶς ἐπελθούσης ὕστερον στρατιᾶς, τὴν

etiam Talthybii caduceatoris sepulcrum; cui Spartae quoque tumulus est aggesta terra exstructus: et utraque civitas Talthybio parentat.

CAP. XXIV. In maritima Aegii parte Veneris delubrum est: Neptuno deinde, Proserpinae etiam, et Iovi Homagyrio *(quod est ac si Congregatori dicas)* templa dedicata fuere. In Iovis, dei ipsius, Veneris, et Minervae signa exstant. (2) Homagyrium cognomine appellarunt, quod in hunc locum Graeciae principes Agamemnon coegit, quo de illorum sententia consilium caperet, quae foret Priami regnum bello adoriendi optima ratio. Agamemnoni ipsi et aliae potuerunt laudes attribui, et ea *summa fuit omnium*, quod *semel habito dilectu*, cum iis tantum, qui nomina dederant,

τε Ἴλιον ἐπόρθησε, καὶ ὅσαι περίοικοι πόλεις ἦσαν. ἐφεξῆς δὲ τῷ Ὁμαγυρίῳ Διὶ Παναχαιᾶς ἐστι Δήμητρος. παρέχεται δὲ ὁ αἰγιαλὸς, ἐν ᾧ καὶ τὰ ἱερὰ Αἰγιεῦσιν ἐστι τὰ εἰρημένα, ὕδωρ ἄφθονον, θεάσασθαί τε καὶ πιεῖν ἐκ πηγῆς ἡδύ. ἔστι δέ σφισι καὶ Σωτηρίας ἱερόν· ἰδεῖν μὲν δὴ τὸ ἄγαλμα οὐδενὶ πλὴν τῶν ἱερουμένων ἐστί· δρῶσι δὲ ἄλλα τε καὶ τοιαῦτα· λαμβάνοντες παρὰ τῆς θεοῦ πέμματα ἐπιχώρια, ἀφιᾶσιν ἐς θάλασσαν, πέμπειν δὲ τῇ ἐν Συρακούσαις Ἀρεθούσῃ φασὶν αὐτά. ἔστι δὲ καὶ ἄλλα Αἰγιεῦσιν ἀγάλματα χαλκοῦ πεποιημένα, Ζεύς τε ἡλικίαν παῖς, καὶ Ἡρακλῆς, οὐδὲ οὗτος ἔχων πω γένεια, Ἀγελάδα τέχνη τοῦ Ἀργείου. τούτοις κατὰ ἔτος ἱερεῖς αἱρετοὶ γίνονται, καὶ ἑκάτερα τῶν ἀγαλμάτων ἐπὶ ταῖς οἰκίαις μένει τοῦ ἱερωμένου. τὰ δὲ ἔτι παλαιότερα 585
προεκέκριτο ἐκ τῶν παίδων ἱερᾶσθαι τῷ Διὶ ὁ νικῶν κάλλει· ἀρχομένων δὲ αὐτῷ γενείων, ἐς ἄλλον παῖδα ἡ ἐπὶ τῷ κάλλει μετῄει τιμή. ταῦτα μὲν οὕτως ἐνομίζετο. (3) Ἐς δὲ Αἴγιον καὶ ἐφ' ἡμῶν ἔτι συνέδριον τῶν Ἀχαιῶν ἀθροίζεται, καθότι ἐς Θερμοπύλας τε καὶ ἐς Δελφοὺς οἱ

nullo evocato *e Graecia* supplemento, et Ilium et finitimas urbes expugnarit. Proximum est Homagyrii, Panachaeae Cereris fanum. Sunt in Aegiensium litore eodem, in quo templa, *haec memoratu digna.* Aqua perennis, quae ab ipso usque fonte quum adspectu tum potu est iucunda. Salutis fanum: in quo signum cernere fas nemini, praeter eos, qui sacerdotio funguntur. Ibi sacra, et alia rite peragunt, et ex ara deae sumta liba in mare porriciunt, mittere se illa Arethusae Syracusas testantes. Sunt et alia apud Aegienses ex aere fabricata signa, Iupiter puerili aetate, et Hercules impuber, Ageladae Argivi opera. His deliguntur quotannis sacerdotes, quorum in aedibus asservantur signa. Priscis quidem temporibus decernebatur Iovis sacerdotium puero, qui primas pulchritudinis tulisset: cui iam pubescenti alius succedebat. Hae patriae Aegiensibus religiones. (3) Conventus autem apud eos Achaeorum, hac etiam aetate cele-

Ἀμφικτύονες. Ἰόντι δὲ ἐς τὸ πρόσω, Σελινοῦς τε ποταμός, καὶ ἀπωτέρω τεσσαράκοντα Αἰγίου σταδίοις ἐπὶ θαλάσσῃ χωρίον ἐστὶν Ἑλίκη. (4) Ἐνταῦθα ᾤκητο Ἑλίκη πόλις, καὶ Ἴωσιν ἱερὸν ἁγιώτατον Ποσειδῶνος ἦν Ἑλικωνίου: διαμεμενηκέναι δέ σφισι, καὶ ὡς ὑπὸ Ἀχαιῶν ἐκπεσόντες ἐς Ἀθήνας, καὶ ὕστερον ἐξ Ἀθηνῶν ἐς τὰ παραθαλάσσια ἀφίκοντο τῆς Ἀσίας, σέβεσθαι Ποσειδῶνα Ἑλικώνιον. καὶ Μιλησίοις τε ἰόντι ἐπὶ τὴν πηγὴν τὴν Βιβλίδα Ποσειδῶνος πρὸ τῆς πόλεώς ἐστιν Ἑλικωνίου βωμός· καὶ ὡσαύτως ἐν Τέῳ περίβολός τε καὶ βωμός ἐστι τῷ Ἑλικωνίῳ θέας ἄξιος. ἔστι δὲ καὶ Ὁμήρῳ πεποιημένα ἐς Ἑλίκην καὶ τὸν Ἑλικώνιον Ποσειδῶνα. (5) Χρόνῳ δὲ ὕστερον Ἀχαιοῖς τοῖς ἐνταῦθα, ἱκέτας ἄνδρας ἀποστήσασιν ἐκ τοῦ ἱεροῦ καὶ ἀποκτείνασιν, οὐκ ἐμέλλησε τὸ μήνιμα ἐκ τοῦ Ποσειδῶνος, ἀλλὰ σεισμὸς ἐς τὴν χώραν σφίσιν αὐτίκα κατασκήψας, τῶν τε οἰκοδομημάτων τὴν κατασκευὴν, καὶ ὁμοῦ τῇ κατασκευῇ καὶ αὐτὸ τῆς πόλεως τὸ ἔδαφος ἀφανὲς ἐς τοὺς ἔπειτα ἐποίησεν.

bratur: uti ad Thermopylas et Delphos, Amphictyonum. Hinc progressis, amnis Selinus; et ab Aegio stadium intervallo XL, ad mare vicus est Helice, frequentis olim urbis nomen. (4) In ea fuit Ionibus religiosissimum Neptuni Heliconii templum. Mansisse apud se cultum eius dei memorant, etiam tum quum ab Achaeis eiecti, Athenas primum, atque inde postea ad maritimam Asiae oram confugere. In Milesiis etiam, qua ad Bibliadem fontem iter est, ante ipsam urbem ara monstratur Neptuni Heliconii. Et item apud Teios ambitus est et ara Heliconii plane opere spectando. Quin et Homerus Helices et Heliconii Neptuni mentionem versibus inseruit suis. (5) Interiecto dein tempore, quum habitantes ibi Achaei supplices e templo abstractos trucidassent, non fuit lenta *aut segnis* Dei *ad poenam reposcendam* ira. Vehemens enim terrae ac repentinus motus non ipsa tantum moenia, et aedificiorum superficiem subvertit; sed urbis etiam totius aream ita obruit, ut ne

(ϛ) Τὰ μὲν οὖν ἄλλα ἐπὶ τοῖς σεισμοῖς, ὅσοι μεγέθει τε ὑπερήρκασι καὶ ἐπὶ μήκιστον διϊκνοῦνται τῆς γῆς, προσημαίνειν ὁ θεὸς κατὰ τὰ αὐτὰ ὡς ἐπίπαν εἴωθεν· ἢ γὰρ ἐπομβρίαι συνεχεῖς ἢ αὐχμοὶ πρὸ τῶν σεισμῶν συμβαίνουσιν ἐπὶ χρόνον πλείονα· καὶ ὁ ἀὴρ παρὰ τὴν ἑκάστοτε τοῦ ἔτους ὥραν, χειμῶνός τε γίνεται καυματωδέστερος, καὶ ἐν θέρει μετὰ ἀχλύος μᾶλλον ὁ κύκλος παρέχεται τοῦ ἡλίου τὴν χρόαν παρὰ τὸ εἰωθός, ἤτοι ἐς τὸ ἐρυθρότερον, ἢ καὶ ἡσυχῇ τρέπουσαν ἐς τὸ μελάντε- 586
ρον· τῶν τε ὑδάτων ὡς τὸ πολὺ ἐπιλείπουσιν αἱ πηγαί, καὶ ἀνέμων ἔστιν οἷς ἐνέπεσον ἐς τὴν χώραν ἐμβολαί, περιτρέπουσαι τὰ δένδρα· καί που καὶ ἐν τῷ οὐρανῷ διαδρομαὶ σὺν πολλῇ τῇ φλογί· τὰ δὲ καὶ ἀστέρων ὤφθη σχήματα, οὔτε ἐγνωσμένα ὑπὸ τῶν πρότερον, καὶ μεγάλην τοῖς ὁρῶσιν ἐμποιοῦντα ἔκπληξιν· ἔστι δὲ καὶ ἐκ τῆς γῆς κάτω πνευμάτων ὑπήχησις ἰσχυρά· ἄλλα τε πολλὰ ὁ θεὸς ἐπὶ τοῖς βιαίοις τῶν σεισμῶν ἐθέλει προδείκνυσθαι. Τῆς δὲ κινήσεως αὐτῆς καθέστηκεν οὐχ εἷς τρό-

vestigia quidem ulla posteris agnoscenda relinquerentur. (6) Et alias quidem quoties labes huiusmodi aliqua insignior facta est, quae terram longe lateque concusserit, praecesserunt certa quaedam divinitus rerum miracula, perpetui imbres, diuturnae siccitates, tepidae hyemes; aestate anni, solis orbis vel caligine obductus, vel incensus rutilo, vel subatro lividus fuit colore: fontes exsiccati: ventorum turbines, quocunque *vehementius* irrupissent, *praevalidas* arbores *radicitus* convellerunt. Iam vero ignes longo flammarum tractu per coelum discurrere. Siderum etiam non ante conspectae formae, magnum hominibus pavorem incussere. Densiores praeterea ab ima terra halitus erupere. His et aliis multis prodigiis, antequam terrae tam violenti motus evenirent, homines praemonitos Deus vult. Sed huius tantae motionis non unam nobis quasi formam, aut simplex genus, ii quibus haec iam pridem investigare curae fuit, et eorum discipuli ac sectatores, prodidere. Pluribus enim

πος· ἀλλ' οἱ φροντίσαντες τὰ τοιαῦτα ἐξαρχῆς, καὶ οἱ παρ' ἐκείνων διδαχθέντες, ἰδέας καταμαθεῖν ἐδυνήθησαν τοσάσδε ἐπὶ τοῖς σεισμοῖς. ἠπιώτατος μέν ἐστιν αὐτῶν, (ἣν δὴ ἐν κακῷ γε τοσούτῳ ῥᾳστώνην ἐκεῖναί τινα ἡγησώμεθα) ἐπειδὰν ὁμοῦ τῇ κινήσει τῇ ἀρξαμένῃ τὸ πρῶτον καὶ τῇ ἐς τὸ ἔδαφος τροπῇ τῶν οἰκοδομημάτων ἀντιστᾶσα ἐναντία κίνησις ἐξεγείρῃ τὰ ἤδη τραπέντα· καὶ ἐν τῇ τοιᾷδε ἰδέᾳ τοῦ σεισμοῦ κίονας ὁρᾷν ἔστιν ἀνορθουμένους, οἳ ὀλίγου ἐδέησαν ἐς ἅπαν ἐκριφῆναι, καὶ ὁπόσα διέστη τοίχων, συνερχόμενα ἐς τὸ ἐξαρχῆς· δοκοὶ δὲ, ὅσας ἐκτὸς ὀλισθεῖν ἐποίησεν ἡ κίνησις, ἐπανίασιν αὖθις ἐς τὰς ἕδρας· ὡσαύτως δὲ καὶ ὀχετῶν κατασκευῆς, καὶ εἰ δή τι ἄλλο ἐπὶ ὕδατος ῥοαῖς προάγει, καὶ τούτων συνδεῖ τὰ διεσπασμένα μᾶλλον ἢ ἀνθρώπων τεκτόνων. ὁ δὲ δὴ δεύτερος τῶν σεισμῶν ἀπώλειάν τε τῶν ἑτοιμοτέρων φέρει, καὶ, ἐφ' ὅ τι ἂν βάλῃ τὴν ὁρμὴν, ἀνέκλινεν αὐτίκα τοῖς ἐς πολιορκίαν μηχανήμασιν ὁμοίως. τὸν δὲ αὐτῶν ὀλεθριώτατον τοιῷδέ τινι ἐθέλουσιν εἰκάζειν,

modis, tremente terra, affici, quae moveantur, animadvertere. Levissima est omnium motio (si quid tamen leve esse possit in tam atroci malo), quoties quae in partem unam impulsa fuerint, et prope iam solo aequata, obnitens ab imo contrarius quidam motus surrigat et restituat. Videre itaque est quum terra in hunc modum moverit, columnas e recto statu iam pene humi deiectas, erigi: et distractas parietum partes denuo coagmentari; trabes etiam loco dimotas in pristinam sedem reponi: ad haec fistulas et qui fastigio ducendis aquis defodiuntur, tubulos, si forte convulsi discesserint, ad unguem rursus compingi, ut non aptius fabrorum arte cohaerere posse videantur. Diversus est ab hoc impetus, quo irruente, nulla est *tectorum aut moenium* tam firma superficies, quae non corruat ac sternatur, aeque ac si fuisset bellicis obsidionum tormentis labefactata. Eum vero qui omnium est perniciosissimus, non absimili modo fieri volunt quam si spiritus qui in intimis

τὸ ἐντὸς τοῦ ἀνθρώπου πνεῦμα εἰ συνεχεῖ πυρετῷ πυκ- 587
νότερόν τε καὶ ὑπὸ πολλῆς ἄνω τῆς βίας ὠθοῖτο· τοῦτο δὲ ἀλλαχοῦ τε τοῦ σώματος ἐπισημαίνει, καὶ ἐν ταῖς χερσὶν ὑπὸ ἑκάτερον μάλιστα τὸν καρπόν· κατὰ ταὐτὰ οὖν καὶ τὸν σεισμὸν [εἶν'] εὐθὺ ὑποδύεσθαι τῶν οἰκοδομημάτων, καὶ θεμέλια ἀνακάλλειν φασὶν αὐτὸν, καθότι καὶ τὰ ἔργα τῶν ἀσπαλάκων ἐκ μυχοῦ τῆς γῆς ἀνακέμπτεται. μόνη τε ἡ τοιαύτη κίνησις οὐδὲ τοῦ οἰκισθῆναί ποτε ὑπολείπει σημεῖα ἐν τῇ γῇ. τότε ἰδέαν μὲν ταύτην ἐπὶ τῇ Ἑλίκῃ τοῦ σεισμοῦ τὴν ἐς τὸ ἔδαφος ἀνακινοῦσαν, σὺν δὲ αὐτῇ καὶ ἄλλο πῆμα τοιόνδε οἱ ἐπιγενέσθαι φασὶν ὥρᾳ χειμῶνος. ἐπῆλθε γάρ σφισιν ἐπὶ πολὺ τῆς χώρας ἡ θάλασσα, καὶ τὴν Ἑλίκην περιέλαβεν ἐν κύκλῳ πᾶσαν· καὶ δὴ καὶ τὸ ἄλσος τοῦ Ποσειδῶνος ἐπὶ τοσοῦτον ἐπέσχεν ὁ κλύδων, ὡς τὰ ἄκρα τῶν δένδρων σύνοπτα εἶναι μόνον. σείσαντος δὲ ἐξαίφνης τοῦ θεοῦ, καὶ ὁμοῦ τῷ σεισμῷ τῆς θαλάσσης ἀναδραμούσης, καθείλκυσεν αὔτανδρον τὸ κῦμα τὴν Ἑλίκην. (7) Τοιοῦτό γε δὴ κατέλα-

humani corporis penetralibus sedem habet, continua febri densior magnaque cum vi sursum trudatur; eiusque rei se quum in aliis corporis partibus indicia ostendant, tum sub utriusque manus eam iuncturam, quae cubitum cum manu extrema committit. Eodem plane modo istum terrae motum rectà subire aedificia, et fundamenta evibrare non alio ferme modo, quam terram talpae suppellentes egerunt. Solus hic motus ita vehemens est, ut aedificiorum ne vestigia quidem ulla in solo relinquat. Hoc vastitatis genere perculsam ab imo solo Helicen memorant. Accessisse vero et alteram huiuscemodi cladem; Maris eluvione hyeme anni Helicen totam circunquaque incinctam; ipsumque Neptuni lucum ita inundatione ea obrutum, ut vix summa extarent arborum cacumina. Quo factum ut repente tum terrae motione violentissima, tum vero maris aestu effusius stagnante, urbs tota cum omni civium numero pessum ierit. (7) Talis

βεν ἕτερον τὴν Ἰδέαν ἐν Σιπύλῳ πόλιν ἐς χάσμα ἀφανισθῆναι· ἐξ ὅτου δὲ ἡ Ἰδέα κατεάγη, τοῦ ὄρους ὕδωρ αὐτόθεν ἐῤῥύη, καὶ λίμνη τε ὀνομαζομένη Σαλόη τὸ χάσμα ἐγένετο· καὶ ἐρείπια πόλεως δῆλα ἦν ἐν τῇ λίμνῃ, πρὶν ἢ τὸ ὕδωρ ἀπέκρυψεν αὐτὰ τοῦ χειμάῤῥου. σύνοπτα δὲ καὶ Ἑλίκης ἐστὶ τὰ ἐρείπια, οὐ μὴν ἔτι γε ὁμοίως, ἅτε ὑπὸ τῆς ἅλμης λελυμασμένα.

CAPUT XXV.

Pietatis in supplices exhibitae et laesae exempla memorantur — de tempore Helices excidii — oppido Cerynea — memorandis Ceryneae — oppido Bura — Herculis Buraïci oraculo, quod talis editur — amne Crathide et Aegis oppido — Gaeo, Telluris templo.

588 Τὸ δὲ τοῦ Ἱκεσίου μήνιμα, πάρεστι μὲν τοῖς ἐς τὴν Ἑλίκην, πάρεστι δὲ καὶ ἄλλοις διδαχθῆναι πολλοῖς, ὡς ἐστιν ἀπαραίτητον. φαίνεται δὲ καὶ ὁ θεὸς παραινῶν ὁ ἐν Δωδώνῃ, νέμειν ἐς ἱκέτας αἰδῶ. Ἀθηναίοις γὰρ ἐπὶ ἡλικίᾳ μάλιστα τῇ Ἀφείδαντος ἀφίκετο παρὰ τοῦ ἐν Δωδώνῃ Διὸς τὰ ἔπη τάδε·

et Ideam urbem, quae fuit olim in Sipylo monte, casus delevit: etsi fuit ille aperientis se terrae hiatus: ac montis quidem ipsius labe facta, defluentes aquae portum effecere in extremis eius voraginis faucibus, cui nunc Saloe nomen. Et sane in portu cernebantur eius urbis ruinae, priusquam omnia torrentium limo obducerentur. Helices etiam ruinae quaedam eminent, ea facie, qua esse consueverunt, quae marinis exesa sunt aquis.

Cap. XXV. Ob violatos quidem supplices implacabilem esse numinis iram, non Helices modo exitium, sed alia etiam talium eventorum exempla documento esse possunt. Exstat enim Dodonaei Iovis oraculum Atheniensibus Aphidantis aetate redditum, *quo supplices sacrosanctos esse debere* his versibus *monentur:*

Φράζεο δ' Ἄρειόν τε πάγον, βωμούς τε θυώδεις
Εὐμενίδων, ἔθι χρὴ Λακεδαιμονίους σ' ἱκετεῦσαι
Δουρὶ πιεζομένους· τοὺς μὴ σὺ κτεῖνε σιδήρῳ,
Μηδ' ἱκέτας ἀδικεῖν· ἱκέται δ' ἱεροί τε καὶ ἁγνοί.

ταῦτα Ἕλλησιν ἦλθεν ἐς μνήμην, ὅτε ἀφίκοντο ἐπὶ Ἀθήνας Πελοποννήσιοι, τότε Κόδρου τοῖς Ἀθηναίοις τοῦ Μελάνθου βασιλεύοντος. ὁ μὲν δὴ ἄλλος στρατὸς τῶν Πελοποννησίων ἀπεχώρησεν ἐκ τῆς Ἀττικῆς, ἐπειδὴ ἐπύθοντο τοῦ Κόδρου τὴν τελευτὴν, καὶ ὅντινα ἐγένετο αὐτῷ τρόπον· οὐ γὰρ εἶναι νίκην ἔτι σφίσι κατὰ τὸ ἐκ Δελφῶν μάντευμα ἤλπιζον. Λακεδαιμονίων δὲ ἄνδρες γενόμενοι μὲν ἐντὸς τείχους λανθάνουσιν ἐν τῇ νυκτὶ, ἅμα δὲ ἡμέρᾳ τούς τε ἑαυτῶν ἀπεληλυθότας αἰσθάνονται, καὶ ἀθροιζομένων ἐπ' αὐτοὺς τῶν Ἀθηναίων καταφεύγουσιν ἐς τὸν Ἄρειον πάγον καὶ ἐπὶ τῶν θεῶν, αἳ Σεμναὶ καλοῦνται, τοὺς βωμούς. Ἀθηναῖοι δὲ τότε μὲν διδόασι τοῖς ἱκέταις ἀπελθεῖν ἀζημίοις. χρόνῳ δὲ ὕστερον αὐτοὶ οἱ ἔχοντες τὰς ἀρχὰς διέφθειραν τῆς Ἀθηνᾶς ἱκέτας τῶν

Ara tibi Eumenidum fumans, et curia Martis
Sint cordi. Huc bello domiti nam forte Lacones
Suppliciter tristes venient. Ne confice ferro
Nec viola. Supplex sacer est et crimine purus.

Haec redierunt in memoriam Graecis, quum essent Peloponnesii Athenas adorti, regnante Codro Melanthi filio. Tunc enim ex Attica reliquae Peloponnesiorum copiae retrocesserunt, audita Codri morte, cognitoque mortis genere. Neque enim ulla fuit victoriae reliqua spes, *quum* ex Delphici Apollinis responso *se Codrus devovisset*. Pars autem Lacedaemoniorum noctu clam ingressi erant in urbem; quum vero orta luce se a suis destitutos animadverterent, et in eos Atheniensium *ex omni urbis parte* concursus fierent, ad aras dearum, quae Severae appellantur, in Areopagum se receperunt: et tunc quidem incolumes dimissi sunt. Post aliquot deinde annos quum ipsi magistratus Minervae supplices occidissent, ex ea nimirum factione quae cum Cy-

Κύλωνι ὁμοῦ τὴν ἀκρόπολιν κατειληφότων· καὶ αὐτοί τε οἱ ἀποκτείναντες ἐνομίσθησαν καὶ οἱ ἐξ ἐκείνων ἐναγεῖς τῆς θεοῦ. Λακεδαιμονίοις δὲ ἀποκτείνασι καὶ τούτοις ἄνδρας εἰς τὸ ἱερὸν καταπεφευγότας τὸ ἐπὶ Ταινάρῳ τοῦ Ποσειδῶνος, οὐ μετὰ πολὺ ἐσείσθη σφίσιν ἡ πόλις συνεχεῖ τε ὁμοῦ καὶ ἰσχυρῷ τῷ σεισμῷ, ὥστε οἰκίαν μηδεμίαν τῶν ἐν Λακεδαίμονι ἀντισχεῖν. (2) Ἐγένετο δὲ
589 τῆς Ἑλίκης ἀπώλεια Ἀστείου μὲν Ἀθήνησιν ἔτι ἄρχοντος, τετάρτῳ δὲ ἔτει τῆς πρώτης Ὀλυμπιάδος ἐπὶ ταῖς ἑκατὸν, ἣν Δάμων Θούριος ἐνίκα τὸ πρῶτον. Ἑλικαίων δὲ οὐκ ἔτι ὄντων νέμονται τὴν χώραν οἱ Αἰγιεῖς.

(3) Μετὰ δὲ Ἑλίκην ἀποτραπήσῃ τε ἀπὸ θαλάσσης ἐς δεξιὰν, καὶ ἥξεις ἐς πόλισμα Κερύνειαν· ᾤκισται δὲ ὑπὲρ τὴν λεωφόρον ἐν ὄρει, καὶ οἱ τὸ ὄνομα ἢ δυνάστης ἐπιχώριος, ἢ ὁ Κερυνίτης ποταμὸς πεποίηκεν, ὃς ἐξ Ἀρκαδίας καὶ ὄρους Κερυνείας ῥέων Ἀχαιοὺς τοὺς ταύτῃ παρέξεισι. παρὰ τούτους σύνοικοι Μυκηναῖοι κατὰ

lone arcem occupaverat, et ipsi interfectores, et omnes eorum posteri violatae per caedem religionis damnati, obnoxii deae fuere. Lacedaemonii etiam quum in eos viros saevissent, qui supplices in templum Neptuni, quod ad Taenarum est, evaserant, Sparta non multo post tam crebris, tamque vehementibus terrae impulsibus concussa est, ut nulla prope domus ruinae expers fuerit. (2) Deleta est ad internecionem Helice, Asteo Athenis summum magistratum gerente, Olympiadis primae et centesimae anno quarto, qua Damon Thurius victor primum renunciatus est. Agrum Helicensem, quum nemo ex incolis superstes manserit, tenent Aegienses. (3) Ab Helice et eius maritima ora divertens dextrorsum, ad oppidum pervenias in monte conditum supra militarem viam, cui Cerynea nomen, sive ab eorum locorum regulo, sive ab amne *proximo, qui* Cerynites *dicitur*. Profluit is e Cerynea Arcadiae monte, et Achaeorum finitimos agros praeterlabitur. Huc aliquando commigrarunt

συμφορὰν ἀφίκοντο ἐκ τῆς Ἀργολίδος. Μυκηναίοις μὲν γὰρ τὸ μὲν τεῖχος ἁλῶναι κατὰ τὸ ἰσχυρὸν οὐκ ἐδύνατο ὑπὸ Ἀργείων, (ἐτετείχιστο γὰρ κατὰ ταὐτὰ τῷ ἐν Τίρυνθι ὑπὸ τῶν Κυκλώπων καλουμένων) κατὰ ἀνάγκην δὲ ἐκλείπουσι Μυκηναῖοι τὴν πόλιν, ἐπιλειπόντων σφᾶς τῶν σιτίων· καὶ ἄλλοι μέν τινες ἐς Κλεωνὰς ἀποχωροῦσιν ἐξ αὐτῶν· τοῦ δήμου δὲ πλέον μὲν ἢ ἥμισυ ἐς Μακεδονίαν καταφεύγουσι παρὰ Ἀλέξανδρον, ᾧ Μαρδόνιος ὁ Γωβρύου τὴν ἀγγελίαν ἐπίστευσεν ἐς Ἀθηναίους ἀπαγγεῖλαι· ὁ δὲ ἄλλος δῆμος ἀφίκοντο ἐς τὴν Κερύνειαν. καὶ δυνατωτέρα τε ἡ Κερύνεια οἰκητόρων πλήθει, καὶ ἐς τὸ ἔπειτα ἐγένετο ἐπιφανεστέρα διὰ τὴν συνοίκησιν τῶν Μυκηναίων. (4) Ἐν Κερυνείᾳ δέ ἐστιν ἱερὸν Εὐμενίδων· ἱδρύσασθαι δὲ αὐτὸ Ὀρέστην λέγουσιν. ὃς δ' ἂν ἐνταῦθα ἢ αἵματι ἢ ἄλλῳ τῳ μιάσματι ἔνοχος, ἢ καὶ ἀσεβὴς, ἐσέλθῃ θέλων θεάσασθαι, αὐτίκα λέγεται δείμασιν ἐκτὸς τῶν φρενῶν γίνεσθαι· καὶ τοῦδε εἵνεκα οὐ τοῖς πᾶσιν ἡ ἔσοδος, οὔτε ἐξ ἐπιδρομῆς ἐστι. τοῖς μὲν δὴ ἀγάλμασι ξύλων εἰργασμένοις μέγεθός εἰσιν οὐ μεγάλαι, κατὰ δὲ τὴν

Micenaei ex Argivorum finibus profugi. Quum Mycenas enim muros Argivi deiicere non potuissent, quod validissimi essent, atque adeo, ut a Cyclopibus (sicuti Tirynthis etiam muri) exstructi dicerentur, postremo fame victi urbem deserere Micenaei coacti sunt. Eorum alii Cleonas: sed maior dimidia fere populi pars in Macedoniam ad Alexandrum regem, eum nempe, cui Mardonius Gobryae filius mandata ad Athenienses dedit: reliqua multitudo Cerynean confugit. Ea inquilinorum accessio, opulentiorem multo et clariorem Cerynean reddidit. (4) In eo oppido Eumenidum fanum est: dedicatum ab Oreste tradunt. Huc si quis vel caede, vel quovis incesti aut impietatis genere pollutus, intrarit spectandi causa, statim eum mente capi diris terroribus exagitatum credidere. Quare non omnes neque ut quisque accurrit illico intrare potest. Dearum signa e ligno, modica

ἔσοδον ἐς τὸ ἱερὸν γυναικῶν εἰκόνες λίθου τέ εἰσιν εἰργασμέναι, καὶ ἔχουσαι τέχνης εὖ· ἐλέγοντο δὲ ὑπὸ τῶν ἐπιχωρίων ἱέρειαι ταῖς Εὐμενίσιν αἱ γυναῖκες γενέσθαι. (5) Ἐκ Κερυνείας δὲ ἐπανελθόντι ἐς τὴν λεωφόρον καὶ ὁδεύσαντι οὐκ ἐπὶ πολὺ, δευτέρα ἐστὶν ἐς Βοῦραν ἀποτραπέσθαι· θαλάσσης δὲ ἐν δεξιᾷ καὶ ἡ Βοῦρα ἐν ὄρει κεῖται. τεθῆναι δέ φασι τῇ πόλει τὸ ὄνομα ἀπὸ γυναικὸς Βούρας, θυγατέρα δὲ αὐτὴν Ἴωνος τοῦ Ξούθου καὶ Ἑλίκης εἶναι. ὅτε δὲ Ἑλίκην ἐποίησεν ἄδηλον ἐξ ἀνθρώπων ὁ θεὸς, τότε καὶ τὴν Βοῦραν σεισμὸς ἐπέλαβεν ἰσχυρὸς, ὡς μηδὲ τὰ ἀγάλματα ἐν τοῖς ἱεροῖς ὑπολειφθῆναι τὰ ἀρχαῖα. ὁπόσοι δὲ τηνικαῦτα ἀποδημοῦντες ἢ στρατείας ἕνεκα ἔτυχον, ἢ κατὰ πρόφασιν ἄλλοιαν, μόνοι τε οὗτοι Βουρικίων ἐλείφθησαν, καὶ αὐτοὶ τῆς Βούρας ἐγένοντο οἰκισταί. ναὸς δὲ ἐνταῦθα Δήμητρος· ὁ δὲ Ἀφροδίτης, Διονύσου τέ ἐστι, καὶ ἄλλος Εἰλειθυίας. λίθου τοῦ Πεντελησίου τὰ ἀγάλματα, Ἀθηναίου δὲ ἔργα Εὐκλείδου· καὶ τῇ Δήμητρί ἐστιν ἐσθής. πεποίηται δὲ καὶ Ἴσιδι ἱερόν. (6) Καταβάντων δὲ ἐκ Βούρας ὡς ἐπὶ θάλασσαν, ποτα-

magnitudine, elaborata. Intra templi vestibulum positae sunt muliebres imagines marmoreae exquisitae artis. Sacerdotes eas fuisse Eumenidum putant incolae. (5) E Cerynea reversos in militarem viam, atque illinc aliquantum progressos, devius trames Buram ducit, quae in dextera maris in monte ipsa etiam sita fuit: appellatam vero aiunt a Bura Ionis et Helices filia. Oppidum hoc idem terrae, qui Helicen delevit, motus tam vehementer perculit, ut in templis prisca omnia deorum signa fuerint abolita. Civium ii duntaxat reliqui fuere, qui forte vel militiae, vel negotii cuiuspiam obeundi causa domo abfuissent: atque ii quidem *lapsam et pene excisam* civitatem restituere. Burae aedes est Cereris, Veneris, Liberi Patris, et Lucinae. *Horum numinum* simulacra e Pentelico lapide sunt, Atheniensis Euclidae opera. Ceres veste velatur. Habet etiam Isis templum. (6) Qua ad mare descenditur, amnis est Buraicus

μός τε Βουραϊκὸς ὀνομαζόμενος, καὶ Ἡρακλῆς οὐ μέγας ἐστὶν ἐν σπηλαίῳ· ἐπίκλησις μὲν καὶ τούτου Βουραϊκός. μαντείας δὲ ὑπὸ πίνακί τε καὶ ἀστραγάλοις ἔστι λαβεῖν. εὔχεται μὲν γὰρ πρὸ τοῦ ἀγάλματος ὁ τῷ θεῷ χρώμενος, ἐπὶ δὲ τῇ εὐχῇ λαβὼν ἀστραγάλους (οἱ δὲ ἄφθονοι παρὰ τῷ Ἡρακλεῖ κεῖνται) τέσσαρας ἀφίησιν ἐπὶ τῆς τραπέζης. ἐπὶ δὲ παντὶ ἀστραγάλῳ σχήματα γεγραμμένα ἐν πίνακι ἐπίτηδες ἐξήγησιν ἔχει τοῦ σχήματος. σταδίων δὲ ἐπὶ τὸν Ἡρακλέα ὡς τριάκοντα ἐξ Ἑλίκης ὁδὸς ἡ εὐθεῖά ἐστιν. (7) Προελθοῦσι δὲ ἀπὸ τοῦ Ἡρακλέους, ποταμὸς ἐς θάλασσαν ἐκδίδωσιν ἀέναος, ἐξ ὄρους Ἀρκαδικοῦ κατερχόμενος· ὄνομα δὲ αὐτῷ καὶ τῷ ποταμῷ Κρᾶθις, [ἔνθα αἱ πηγαὶ τοῦ ποταμοῦ τῷ ὄρει]· ἀπὸ ταύτης τῆς Κράθιδος καὶ πρὸς Κρότωνι τῇ ἐν Ἰταλίᾳ ποταμὸς ὄνομα ἔσχηκε. πρὸς δὲ τῇ Ἀχαϊκῇ Κράθιδι Ἀχαιῶν ποτε ᾤκητο Αἰγαὶ πόλις· ἐκλειφθῆναι δὲ αὐτὴν ἀνὰ χρόνον ὑπὸ ἀσθενείας λέγουσι. τούτων δὲ καὶ Ὅμηρος τῶν Αἰγῶν ἐν Ἥρας λόγοις ἐποιήσατο μνήμην·

Οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσι.

nomine. In *proxima* spelunca non utique magnum Herculis signum; Buraico et ipsi cognomen. Oraculi sortes capiuntur ex tabula per talos. Qui consultum venere, precatione ad signum peracta, votisque nuncupatis, talos ex ea, quae in promptu est, copia iaciunt quatuor super mensam. Inscripti sunt certis notis tali singuli: earum illi notarum interpretationem in tabula *similitudinem secuti* requirunt. Ab Helice ad Herculis, via ducit recta stadium ferme XXX. (7) Ab Hercule discedentes perennis aquae fluvius excipit, ex Arcadiae monte in mare defluens, nomen et monti, in quo fons, et flumini, Crathis; a quo Italiae fluvius Crathis nomen accepit. Ad hunc Achaicum Crathidem *celebris* olim fuit urbs Aegae; quam postea desertam, quum pristinis fuisset spoliata opibus, ferunt. Huius urbis mentionem etiam Homerus fecit, eo quem Iunoni tribuit sermone:

Ast hi grata ferent Helicen tibi munera et Aegas.

591 δῆλον ὡς γέρα τοῦ Ποσειδῶνος ἐπίσης ἔν τε Ἑλίκῃ καὶ ἐν ταῖς Αἰγαῖς ἔχοντος. οὐ πολὺ δὲ ἀπωτέρω Κράθιδος σῆμά τε ἐν δεξιᾷ τῆς ὁδοῦ, καὶ ἄνδρα εὑρήσεις ἐπὶ τῷ μνήματι, ἵππῳ παρεστῶτα, ἀμυδρὰν γραφήν. (8) Ὁδὸς δὲ ἀπὸ τοῦ τάφου σταδίων ὅσον τριάκοντα ἐπὶ τὸν καλούμενον Γαῖον· Γῆς δὲ ἱερόν ἐστιν ὁ Γαῖος ἐπίκλησιν Εὐρυστέρνου· ξόανον δὲ ἐν τοῖς μάλιστα ὁμοίως ἐστὶν ἀρχαῖον. γυνὴ δὲ ἡ ἀεὶ τὴν ἱερωσύνην λαμβάνουσα ἁγιστεύει μὲν τὸ ἀπὸ τούτου, οὐ μὴν οὐδὲ τὰ πρότερά ἐστι πλέον ἢ ἑνὸς ἀνδρὸς ἐς πεῖραν ἀφιγμένη· πίνουσαι δὲ αἷμα ταύρου δοκιμάζονται· ἣ δ' ἂν αὐτῶν τύχῃ μὴ ἀληθεύουσα, αὐτίκα ἐκ τούτου τὴν δίκην ἔσχεν. ἢν δὲ ὑπὲρ τῆς ἱερωσύνης ἀφίκωνται γυναῖκες εἰς ἀμφισβήτησιν πλέονες, ἡ τῷ κλήρῳ λαχοῦσα προτετίμηται.

Quod scilicet aeque Helice atque Aegis Neptunus coleretur. Non ita procul a Crathide, ad dexteram viae monumentum offendas, cum equestris viri iam pene abolita pictura. (8) Ab eo tumulo triginta circiter stadium via ad Gaeum ducit. Telluris id fanum est, quam Eurysternon *(id est, lati deam pectoris)* cognomento nuncupant. Signum deae vetustissimum. Sacerdotium mulieri decernitur: quo statim suscepto, vitam illa agit coelibem omne aetatis reliquum tempus: quanquam et ante eam oportuit unum tantummodo virum expertam esse. Taurini sanguinis haustu periculum faciunt: quo illa epoto, si falsum dixerit, extemplo poenam luit. Quod si plures forte sacerdotium petant, sorti creatio committitur.

CAPUT XXVI.

De urbe Aegira eiusque navali — prisco urbis nomine Hyperesia et recentioris origine — templis et signis Aegirae memorandis — Phelloë oppido eiusque memorandis — Pellene urbe — Donusa (Gonusa) oppido — Aristonautis, Pelleneorum navali.

Ἐς δὲ τὸ ἐπίνειον τὸ Αἰγειρατῶν, (ὄνομα τὸ αὐτὸ ἥ τε πόλις καὶ τὸ ἐπίνειον ἔχει) ἐς οὖν τὸ ἐπίνειον Αἰγειρῶν δύο καὶ ἑβδομήκοντα ἀπὸ τοῦ κατὰ τὴν ὁδὸν τὴν Βουραϊκὴν εἰσιν Ἡρακλέους στάδιοι. ἐπὶ θαλάσσῃ μὲν δὴ Αἰγειράταις οὐδέν ἐστιν ἐς μνήμην· ὁδὸς δ' ἐκ τοῦ ἐπινείου δύο σταδίων καὶ δέκα ἐς τὴν ἄνω πόλιν. (2) Ὁμήρου δὲ ἐν τοῖς ἔπεσιν Ὑπερησία ὠνόμασται· τὸ δὲ ὄνομα τὸ νῦν ἐγένετο Ἰώνων ἐποικούντων, ἐγένετο δὲ ἐπ' αἰτίᾳ τοιᾷδε. Σικυωνίων ἀφίξεσθαι στρατὸς ἔμελλεν αὐτοῖς πολέμιος ἐς τὴν γῆν. οἱ δὲ (οὐ γὰρ ἐδόκουν ἀξιόμαχοι τοῖς Σικυωνίοις εἶναι) ἀθροίζουσιν αἶγας, ὁπόσαι σφίσιν ἦσαν ἐν τῇ χώρᾳ. συλλέξαντες δὲ ἔδησαν πρὸς τοῖς κέρασιν αὐτῶν δᾷδας, καὶ, ὡς πρόσω νυκτὸς ἦν, ἐξάπτουσι τὰς δᾷδας. Σικυώνιοι δὲ (ἰέναι γὰρ συμμάχους τοῖς Ὑπερησιεῦσιν ἤλπιζον, καὶ εἶναι τὴν φλόγα ἐκ

Cap. XXVI. Ad Aegiratarum navale (cui idem quod Aegiris urbi nomen est) stadia intersunt LXXII ab Hercule Buraico. Nihil vero in maritima ora habent Aegiratae memoratu dignum. A navali superior urbs stadia abest XII: (2) appellata ab Homero est Hyperesia. Nomen quod nunc usurpat, obtinuit quum Iones eam tenerent coloniam, obtinuit autem ex huiuscemodi causa. Quum Sicyonii comparato exercitu agrum invasuri essent, intelligerentque Hyperesienses nullo se pacto pares illis numero et viribus futuros, capras omnes, quae intra fines erant, in unum coegerunt; adligatasque ad cornua faces, intempesta nocte accendere. Hostes ignes eos esse ab auxiliaribus Aegiratarum suspicati, retro agmen egere. A capris itaque, (αἶγας Graeci

τοῦ ἐπικουρικοῦ ἀνδρός) οἱ μὲν οἴκαδε ἀπεχώρησαν, Ὑπερησίας δὲ τῇ πόλει τὸ ὄνομα τὸ νῦν μετέθεντο ἀπὸ τῶν αἰγῶν· καὶ καθότι αὐτῶν ἡ καλλίστη καὶ ἡγουμένη τῶν ἄλλων ὤκλασεν, Ἀρτέμιδος Ἀγροτέρας ἐποιήσαντο ἱερὸν, τὸ σόφισμα ἐς τοὺς Σικυωνίους οὐκ ἄνευ τῆς Ἀρτέμιδός
591 σφίσιν ἐπελθεῖν νομίζοντες. οὐ μὴν καὶ αὐτίκα γε ἐξενίκησεν Αἴγειραν ἀντὶ Ὑπερησίας καλεῖσθαι· ἐπεὶ κατ' ἐμὲ ἦσαν ἔτι, οἳ Ὠρεὸν τὴν ἐν Εὐβοίᾳ τῷ ὀνόματι Ἑστίαιαν ἐκάλουν τῷ ἀρχαίῳ. (3) Παρείχετο δὲ ἡ Αἴγειρα ἐς συγγραφὴν ἱερὸν Διὸς καὶ ἄγαλμα καθήμενον, λίθου μὲν Πεντελησίου, Ἀθηναίου δὲ ἔργον Εὐκλείδου. ἐν τούτῳ τῷ ἱερῷ καὶ Ἀθηνᾶς ἄγαλμα ἕστηκε· πρόσωπόν τε καὶ ἄκραι χεῖρες ἐλέφαντος καὶ οἱ πόδες, τὸ δὲ ἄλλο ξόανον χρυσοῦ τε ἐπιπολῆς διηνθισμένον ἐστὶ καὶ φαρμάκοις. Ἀρτέμιδός τε ναὸς καὶ ἄγαλμα τέχνης τῆς ἐφ' ἡμῶν· ἱερᾶται δὲ παρθένος, ἔστ' ἂν ἐς ὥραν ἀφίκηται γάμου. ἕστηκε δὲ καὶ ἄγαλμα ἐνταῦθα ἀρχαῖον, Ἰφιγένεια ἡ Ἀγαμέμνονος, ὡς οἱ Αἰγειρᾶται φασιν· εἰ δὲ ἀληθῆ λέ-

vocant) mutato veteri nomine, urbs Aegira est appellata: quoque loco ex illis una eximia specie, quaeque ceteris dux erat, procubuerat, ibi templum Dianae Agrestis erexere, quod illius propitio numine in mentem sibi venisse interpretati sunt, eo dolo hostem eludere. Neque vero continuo novum nomen inolevit. *Nam sic propemodum Hyperesiae nomen mansit*, ut Oreum in Euboea non desunt, qui hac ipsa aetate veteri nomine Hestiaean appellant. (3) Habet Aegira quae literis mandentur digna, Iovis templum, et in eo signum dei sedens, e Pentelico lapide, Euclidae Atheniensis opus. Ligneum ibidem stat Minervae signum, facie, summis manibus ac pedibus eburneis; reliquum corpus inauratum, et coloribus distinctum est. Habet et Dianae aedem cum simulacro, quod temporis nostri artem prae se fert. Sacerdotio fungitur puella ad nubilem usque aetatem. Extat ibidem priscum signum, quod Iphigeniae esse dictitant Aegiratae, Agamemnonis filiae. Id si ita est, credi facile

γουσιν οὗτοι, δῆλός ἐστιν ἐξαρχῆς Ἰφιγενείᾳ ποιηθεὶς ὁ ναός. ἔστι καὶ Ἀπόλλωνος ἱερὸν ἐς τὰ μάλιστα ἀρχαῖον, τό τε ἱερὸν αὐτὸ καὶ ὁπόσα ἐν τοῖς ἀετοῖς· ἀρχαῖον δὲ καὶ τοῦ θεοῦ τὸ ξόανον, γυμνὸς, μεγέθει μέγας· τὸν ποιήσαντα δὲ εἶχεν οὐδεὶς τῶν ἐπιχωρίων εἰπεῖν· ὅστις δὲ ἤδη τὸν Ἡρακλέα τὸν ἐν Σικυῶνι ἐθεάσατο, τεκμαίροιτο ἂν καὶ ἐν Αἰγείρᾳ τὸν Ἀπόλλωνα ἔργον εἶναι τοῦ αὐτοῦ Φλιασίου Λαφάους. Ἀσκληπιοῦ δὲ ἀγάλματα ὀρθά ἐστιν ἐν ναῷ, καὶ Σαράπιδος ἑτέρωθι καὶ Ἴσιδος, λίθου καὶ ταῦτα Πεντελησίου. τὴν δὲ Οὐρανίαν σέβουσι μὲν τὰ μάλιστα· ἐσελθεῖν δὲ ἐς τὸ ἱερὸν οὐκ ἔστιν ἀνθρώποις. Θεοῦ δὲ, ἣν Συρίαν ἐπονομάζουσιν, ἐς ταύτης τὸ ἱερὸν εἰσίασιν ἐν ἡμέραις ῥηταῖς, ἄλλα τε, ὅσα νομίζουσι, προκαθαριεύσαντες καὶ ἐς τὴν δίαιταν. οἶδα καὶ οἴκημα ἐν Αἰγείρᾳ θεασάμενος· ἄγαλμα ἦν ἐν τῷ οἰκήματι Τύχης, τὸ κέρας φέρουσα τὸ Ἀμαλθείας· παρὰ δὲ αὐτὴν Ἔρως πτερὰ ἔχων ἐστίν· ἐθέλει δὲ σημαίνειν, ὅτι ἀν-

potest iam tum ab initio aedem fuisse Iphigeniae dedicatam. Spectandum ipsa maxima antiquitate Apollinis delubrum. Vetera sunt fastigii ornamenta; vetus ipsum Dei *maxime* signum: nudum id est, atque insigni magnitudine: neque quis fecerit opifex, populares habent dicere: qui tamen Sicyone Herculem viderit, facile *ex operum similitudine* coniiciat, utrumque opus fuisse Phliasii Laphais. Sunt praeterea in *eodem* delubro signa *aliquot* Aesculapii stantia; et seorsum Serapidis et Isidis, e lapide omnia Pentelico. *Prae ceteris* quidem *diis* religiosissime Coelestem Venerem colunt; in cuius aedem penetrare viris nefas. In eius vero, quam Syriam nominant, deae, non nisi statis diebus intrant, ubi se et reliquis certo ritu expiationibus, et victus praecipue moderatione lustraverint. Aedicula etiam quaedam Aegirae est, in qua Fortunae signum sum conspicatus, Amaltheae cornu prae se gerens; cui adsistit volucer Cupido. Significat haec nimirum Amoris cum Fortuna coniunctio, plus

θρώποις καὶ τὰ ἐς ἔρωτα τύχῃ μᾶλλον ἢ ὑπὸ κάλλους
κατορθοῦται. ἐγὼ μὲν οὖν Πινδάρου τά τε ἄλλα πείθο-
μαι τῇ ᾠδῇ, καὶ Μοιρῶν τε εἶναι μίαν τὴν Τύχην, καὶ
ὑπὲρ τὰς ἀδελφάς τι ἰσχύειν. ἐν Αἰγείρᾳ δὲ, ἐν τούτῳ
593 τῷ οἰκήματι, ἀνήρ τε ἤδη γέρων ἴσα καὶ ὀδυρόμενος,
καὶ γυναῖκες αἱ τρεῖς ἀφαιρούμεναι ψέλιά εἰσι, καὶ ἴσοι
νεανίσκοι ταῖς γυναιξὶν, ὁ δὲ ἐνδεδυκὼς θώρακα. εἰς
τοῦτόν φασιν, Ἀχαιοῖς γενομένου πολέμου μαχεσάμενον
ἀνδρειότατα Αἰγειρατῶν τελευτῆσαι, καὶ αὐτοῦ τὸν θά-
νατον οἱ λοιποὶ τῶν ἀδελφῶν οἴκαδε ἀπήγγειλαν· καὶ
τοῦδε εἵνεκα αἵ τε ἀδελφαὶ διὰ τὸ ἐπ' αὐτῷ πένθος ἀπο-
κοσμοῦνται, καὶ τὸν πατέρα ἐπονομάζουσιν οἱ ἐπιχώριοι
Συμπαθῆ, ἅτε ἐλεεινὸν καὶ ἐν τῇ εἰκόνι. (4) Ὁδὸς δὲ
ἐξ Αἰγείρας εὐθεῖα ἀπὸ τοῦ ἱεροῦ τοῦ Διὸς διά τε ὀρῶν
καὶ ἀνάντης [ἐστῶσά] ἐστι· μῆκος μὲν οὖν τῆς ὁδοῦ
τεσσαράκοντά εἰσι στάδιοι, ἄγει δὲ ἐς Φελλόην, πόλισμα
οὐκ ἐπιφανές· οὐδὲ ἀεὶ ᾠκεῖτο καὶ Ἰώνων ἔτι ἐχόντων
τὴν γῆν. τὰ δὲ περὶ τὴν Φελλόην ἐς φυτείαν ἀμπέλων

fere in amore homines ope Fortunae, quam pulchritudine proficere. Facile autem mihi Pindarus in suis canticis quum alia multa persuadet, tum vero unam esse Parcarum Fortunam, et eam quidem potestate sororibus antecellere. Est in eadem aedicula vir senex iam, propemodum eiulantis facie: mulieres tres armillas sibi detrahunt, et adolescentes totidem: ipse lorica est indutus. Hunc Achaei bellica virtute omnibus Aegiratis praestitisse tradunt; qui quum fortissime pugnans cecidisset, fratres eius mortem domum nunciarunt. Sorores itaque luctus causa, usitati cultus ornamenta abiiciunt. Patrem ipsum populares commiserabundum nuncupant, quod ipsa etiam effigies miserationem sibi conciliat. (4) Recta sane ab Aegira discedentes a Iovis templo, et per montes ardua, stadium XL nihilo brevior, Phelloen via ducit. Castellum id est minime clari nominis. Nam neque Ionibus quidem ea loca tenentibus perpetuo incolebatur. Ager vites feliciter educat. Ea qua maxime

ἐστὶν ἐπιτήδεια· καὶ ὅσα πετρώδη τῆς χώρας, δρῦς τέ εἰσι καὶ θηρία, ἔλαφοι καὶ ὗς ἄγριοι. εἰ δέ τινα τῶν ἐν Ἕλλησι πολισματίων ἀφθόνῳ καταῤῥεῖται τῷ ὕδατι, ἀριθμεῖν καὶ τὴν Φελλόην ἔστιν ἐν τούτοις. Θεῶν δὲ ἱερὰ Διονύσου καὶ Ἀρτέμιδός ἐστιν· ἡ μὲν χαλκοῦ πεποίηται, βέλος δὲ ἐκ φαρέτρας λαμβάνουσα· τῷ Διονύσῳ δὲ ὑπὸ κινναβάρεως τὸ ἄγαλμά ἐστιν ἐπηνθισμένον. ἐς δὲ τὸ ἐπίνειον καταβᾶσιν ἐξ Αἰγείρας, καὶ αὖθις ἐς τὰ πρόσω βαδίζουσιν, ἔστιν ἐν δεξιᾷ τῆς ὁδοῦ τὸ ἱερὸν τῆς Ἀγροτέρας, ἔνθα τὴν αἶγα ὀκλάσαι λέγουσιν. (5) Τῆς δὲ Αἰγειρατῶν ἔχονται Πελληνεῖς· πρὸς Σικυῶνος δὲ οὗτοι καὶ μοίρας τῆς Ἀργολίδος Ἀχαιῶν οἰκοῦσιν ἔσχατοι. τὸ δὲ ὄνομα ἐγένετο τῇ πόλει, λόγῳ μὲν τῷ Πελληνέων, ἀπὸ Πάλλαντος, (τῶν Τιτάνων δὲ καὶ Πάλλαντα εἶναι λέγουσι) δόξῃ δὲ τῇ Ἀργείων, ἀπὸ ἀνδρὸς Ἀργείου Πέλληνος· Φόρβαντος δὲ εἶναι τοῦ Τριόπα παῖδα αὐτὸν λέγουσιν. (6) Αἰγείρας δὲ ἐν τῷ μεταξὺ καὶ Πελλήνης πόλισμα ὑπήκοον Σικυωνίων Δονοῦσα καλουμένη, ἐγένετο μὲν ὑπὸ τῶν Σικυωνίων ἀνάστατος· μνημονεύειν 594

saxosus est parte, *multae passim* quercus, *multae* item ferae, cervi *in primis*, et apri. Ac si ulla Graecorum castella maxime sunt perennibus aquis irrigua, inter ea merito fuerit Phelloe numeranda. Sunt illic deorum templa, Liberi, et Dianae. Diana ex aere fabricata, sagittam e pharetra promens. Liber Pater *e ligno*, cinnabari illitus. Ab Aegira descendentibus ad navale, atque illinc progressis paulo longius, ad viae dexteram est aedes Agrestis *Dianae*, quo loco capellam procubuisse memorant. (5) Aegiratis contigui Pellenenses, Achaeorum postremi inter Sicyonem et Argolicae terrae fines. Appellatos ipsi se praedicant a Pallante: qui fuerit de Titanibus unus: at Argivi a Pellene putant Argivo, Phorbantis filio, Triopae nepote. (6) Inter Aegiram et Pellenem castellum et sub ditione Sicyoniorum, cui Donussa nomen, deleta ab *ipsis olim* Sicyoniis;

δὲ καὶ Ὁμήρου ἐν καταλόγῳ τῶν σὺν Ἀγαμέμνονί φασιν αὐτῆς ποιήσαντα ἔπος·

Οἵ θ' Ὑπερησίην τε καὶ αἰπεινὴν Δονόεσσαν.

Πεισίστρατον δὲ, ἡνίκα ἔπη τὰ Ὁμήρου διεσπασμένα τε καὶ ἄλλα ἀλλαχοῦ μνημονευόμενα ἠθροίζετο, ἢ αὐτὸν Πεισίστρατον, ἢ τῶν τινα ἑταίρων μεταποιῆσαι τὸ ὄνομα ὑπὸ ἀγνοίας. (7) Ἔστι δὲ Ἀριστοναῦται Πελληνεῦσιν ἐπίνειον. ἐς τοῦτο ἐξ Αἰγείρας τῆς ἐπὶ θαλάσσῃ σταδίων ἐστὶν εἴκοσιν ὁδὸς καὶ ἑκατόν· ταύτης δὲ ἡμίσεια ἐς Πελλήνην ἀπὸ τοῦ ἐπινείου. ὄνομα δὲ Ἀριστοναύτας γενέσθαι τῷ ἐπινείῳ λέγουσιν, ὅτι καὶ ἐς τοῦτον τὸν λιμένα ὡρμίσαντο οἱ πλεύσαντες ἐπὶ τῆς Ἀργοῦς. Πελληνεῦσι δὲ ἡ πόλις ἐστὶν ἐπὶ λόφου κατὰ ἄκραν τὴν κορυφὴν ἐς ὀξὺ ἀνεστηκότος. τοῦτο μὲν δὴ ἀπότομον, καὶ δι' αὐτό ἐστιν ἀοίκητον· τῷ δὲ χθαμαλωτέρῳ πεπόλισταί σφισιν οὐ συνεχὴς ἡ πόλις, ἐς δὲ μοίρας νενεμημένη δύο ὑπὸ τῆς ἄκρας μεταξὺ ἀνεχούσης.

et eius mentionem ab Homero factam affirmant in Agamemnonis delectu: eo scilicet versu;

Quique Hyperesiam, atque altam coluere Donussam.

Sed enim Pisistratum, quum dissipata Homeri carmina, et passim per alia literarum monumenta dispersa, in unum colligeret, vel ipsum, vel operis illius adiutorem *loci* ignoratione nomen immutasse. (7) Suum Pelleneorum navale Aristonautae appellatur. Distat ab Aegirae maritima parte stadia CXX: dimidio brevior a navali Pellenen via. Hoc nominis inditum ferunt, quod in eum portum appulerint Argonautae. Est oppidum ipsum in iugo situm. Iugi supremus vertex in acutissimum assurgit fastigium: sed nullae ea in parte, quod maxime ardua et praerupta est, domus. In planiore clivi parte conditum est oppidum, non continuum illud quidem sed in duas partes divisum, sub cacumine scilicet inter utramque urbis partem eminente.

CAPUT XXVII.

Memoranda in via Pellenen versus, Mercurius Dolius — templum et festum Bacchi Lampteris et Apollinis Theoxenii — de Pellenaeorum gymnasio et de Promacho — Posidio, Neptuni templo, et Mysaeo, templo Cereris Mysiae — Cyro, templo Aesculapii.

Ἰόντων δὲ ἐς Πελλήνην, ἄγαλμά ἐστιν Ἑρμοῦ κατὰ τὴν ὁδόν· ἐπίκλησιν μὲν Δόλιος, εὐχὰς δὲ ἀνθρώπων ἕτοιμος τελέσαι· σχῆμα δὲ αὐτῷ τετράγωνον· γένειά τε ἔχει, καὶ ἐπὶ τῇ κεφαλῇ πῖλον εἰργασμένον. κατὰ δὲ τὴν ὁδὸν ἐς αὐτὴν τὴν πόλιν ἐστὶν Ἀθηνᾶς, λίθου μὲν ἐπιχωρίου, ναὸς, ἐλέφαντος δὲ τὸ ἄγαλμα καὶ χρυσοῦ· Φειδίαν δὲ εἶναι τὸν εἰργασμένον φασὶ, πρότερον ἔτι ἢ ἐν τῇ ἀκροπόλει τε αὐτὸν τῇ Ἀθηναίων, καὶ ἐν Πλαταιαῖς ποιῆσαι τῆς Ἀθηνᾶς τὰ ἀγάλματα. λέγουσι δὲ οἱ Πελληνεῖς καὶ ἄδυτον τῆς Ἀθηνᾶς καθήκειν ἐς βάθος τῆς γῆς, εἶναι δὲ τὸ ἄδυτον τοῦτο ὑπὸ τοῦ ἀγάλματος τῷ βάθρῳ, καὶ τὸν ἀέρα ἐκ τοῦ ἀδύτου νότιόν τε εἶναι, καὶ δι' αὐτὸ τῷ ἐλέφαντι ἐπιτήδειον. ὑπὲρ δὲ τὸν ναὸν τῆς Ἀθηνᾶς ἐστιν ἄλσος περιῳκοδομημένον τείχει Σωτείρας ἐπίκλησιν

Cap. XXVII. Qua Pellenen iter, in ipsa via Mercurii signum est, cui cognomen Dolio: hominum vota maxime rata facere creditur: figura est quadrangula barbatus, pileo caput velante. In eadem via propius urbem est Minervae templum, lapide extructum vernaculo: deae signum ex ebore et auro: artificem Phidian fuisse dicunt; atque hanc quidem Minervam elaborasse illum antequam vel Atheniensibus eam, quae in arce collocata est, vel suam Plataeensibus Minervam fecisset. Aiunt Pelenei sub ipsa Minervae basi alte descendere adytum, atque ex eo humidum halitum efflari, qui sit ebori tuendo peridoneus. Supra Minervae delubrum lucus est muro circumseptus, Dianae Sospitae sacer. Per huius numen de rebus maximis iusiurandum conci-

595 Ἀρτέμιδος, καὶ ὀμνύουσιν ἐπὶ μεγίστοις αὐτήν· ἔσοδος δὲ πλὴν τοῖς ἱερεῦσιν, ἄλλῳ γε οὐδενί ἐστιν ἀνθρώπων. ἱερεῖς δὲ ἄνδρες τῶν ἐπιχωρίων εἰσὶ κατὰ δόξαν γένους μάλιστα αἱρούμενοι. τοῦ δὲ ἄλσους τῆς Σωτείρας ἱερὸν ἀπαντικρὺ Διονύσου Λαμπτῆρός ἐστιν ἐπίκλησιν. τούτῳ καὶ Λαμπτηρίαν ἑορτὴν ἄγουσι, καὶ δᾷδάς τε ἐς τὸ ἱερὸν κομίζουσιν ἐν νυκτὶ, καὶ οἴνου κρατῆρας ἱστᾶσιν ἀνὰ τὴν πόλιν πᾶσαν. ἔστι καὶ Ἀπόλλωνος Θεοξενίου Πελληνεῦσιν ἱερόν· τὸ δὲ ἄγαλμα χαλκοῦ πεποίηται· καὶ ἀγῶνα ἐπιτελοῦσι Θεοξένια τῷ Ἀπόλλωνι, τιθέντες ἀργύριον ἆθλα τῆς νίκης· καὶ ἄνδρες ἀγωνίζονται τῶν ἐπιχωρίων. πλησίον δὲ τοῦ Ἀπόλλωνος ναός ἐστιν Ἀρτέμιδος· τοξευούσης δὲ ἡ θεὸς παρέχεται σχῆμα. ᾠκοδόμηται δὲ καὶ ἔλυτρον κρήνης ἐν τῇ ἀγορᾷ, καὶ λουτρά ἐστιν αὐτοῖς τὸ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ, ἐπεί τοι πίνειν πηγαί σφισιν ὑπὸ τὴν πόλιν εἰσὶν οὐ πολλαί· τὸ δὲ χωρίον, ἔνθα αἱ πηγαὶ, Γλυκείας ὀνομάζουσι. (2) Γυμνάσιον δὲ ἀρχαῖον ἐς ἐφήβων μάλιστα τελεῖται μελέτην·

piunt; nulli vero cuiquam hominum praeterquam sacrificulis illuc aditus patet. Praesident sacris indigenae homines, generis dignatione clarissimus quisque. Contra lucum Sospitae, est Liberi Patris templum, quem Lamptera *a luminibus* nuncupant, festumque ei diem Lampteriam celebrant, illatis noctu intra aedem accensis facibus, passimque per urbem dispositis vini crateris. Est etiam apud Pelleneos Apollinis Theoxenii templum; cuius ex aere simulacrum. Ludos faciunt in honorem Apollinis, Theoxenia: argentum victoribus praemium exponitur; descendunt in certamen *soli* cives. Prope Apollinis, aedes Dianae est: iaculatricis ornatum dea prae se fert. In foro erectum videas aquae per occultos meatus ductae conceptaculum. Ad lavacra, ex imbribus collectitia utuntur aqua. Nam poculentae pauci sunt infra urbem fontes, eo loco, quas *(a dulcibus aquis)* Glyceas appellant. (2) Priscum ibi gymnasium, ubi se epheti exercent: neque vero in civitatis

οὐδὲ ἐς τὴν πολιτείαν ἐγγραφῆναι πρότερον καθέστηκεν οὐδενὶ, πρὶν ἂν ἐφηβεύσωσιν. ἐνταῦθα ἀνὴρ Πελληνεὺς ἕστηκε Πρόμαχος ὁ Δρύωνος, ἀνελόμενος παγκρατίου νίκας, τὴν μὲν Ὀλυμπίασι, τρεῖς δ' Ἰσθμίων, καὶ Νέμεα δύο· καὶ αὐτοῦ καὶ εἰκόνας ποιήσαντες οἱ Πελληνεῖς, τὴν μὲν ἐς Ὀλυμπίαν ἀνέθεσαν, τὴν δὲ ἐν γυμνασίῳ, λίθου ταύτην καὶ οὐ χαλκοῦ. λέγεται δὲ καὶ ὡς, Κορινθίου συνεστῶτος πολέμου Πελληνεῦσιν, ἀποκτείνειεν ὁ Πρόμαχος πλείστους τῶν ἀντιτεταγμένων. λέγεται δὲ καὶ ὡς Πουλυδάμαντος τοῦ Σκοτουσσαίου κρατήσειεν ἐν Ὀλυμπίᾳ· τὸν δὲ Πουλυδάμαντα δεύτερα τότε ἐς ἀγῶνα ἀφῖχθαι τὸν Ὀλυμπικὸν παρὰ βασιλέως τοῦ Περσῶν ἀνασωθέντα οἴκαδε. Θεσσαλοὶ δὲ, ἡσσηθῆναι Πουλυδάμαντα οὐχ ὁμολογοῦντες, παρέχονται καὶ ἄλλα ἐς πίστιν, καὶ ἐλεγεῖον ἐπὶ τῷ Πουλυδάμαντι·

Ὦ τροφὲ Πουλυδάμαντος ἀνικάτου Σκοτόεσσα. 596

Πελληνεῖς δ' οὖν Πρόμαχον τὰ μάλιστα ἄγουσιν ἐν τιμῇ.

album quisquam inscribitur, nisi ante puberum exercitationes obierit. Hoc in gymnasio posita statua est Promacho Pelleneo, Dryonis filio, una ex Olympicis, tribus ab Isthmicis, duabus e Nemeis ludis de pancratio palmis reportatis. Unam ei sui cives *ex aere* Olympiae; alteram e marmore, in gymnasio, *de quo modo diximus*, statuam dedicarunt. Hunc Promachum, bello, quod inter Pelleneos et Corinthios gestum est, *unum* hostes quamplurimos pugnantem occidisse memoriae proditum. Ab eodem etiam Olympiae superatum Polydamantem Scotussaeum, quo tempore a Persarum rege in patriam reversus Polydamas, in Olympicum certamen iterum descendit. At Thessali Polydamantem *ex ullo unquam certamine* inferiorem discessisse minime confitentes, et alia eius rei afferunt argumenta, et in primis elegos ad Polydamantis statuam adscriptos:

O Scotoessa altrix invicti Polydamantis.

Pellenenses utique magno Promachum honore prosequuntur,

Χαίρωνα δὲ δύο ἀνελόμενον πάλης νίκας * καὶ ἐν Ὀλυμπίᾳ τέσσαρας, οὐδὲ ἀρχὴν ἐθέλουσιν ὀνομάζειν, ὅτι κατέλυσε πολιτείαν ἐμοὶ δοκεῖν τὴν ἐν Πελλήνῃ, δῶρον τὸ ἐπιφθονώτατον παρὰ Ἀλεξάνδρου τοῦ Φιλίππου λαβὼν, τύραννος πατρίδος τῆς αὑτοῦ καταστῆναι. ἔστι δὲ καὶ Εἰλειθυίας Πελληνεῦσιν ἱερόν· τοῦτο ἐν μοίρᾳ τῆς πόλεως τῇ ἐλάσσονί ἐστιν ἱδρυμένον. (8) Τὸ δὲ ὀνομαζόμενον Ποσείδιον τὰ μὲν ἀρχαιότερα ἦν δῆμος, ἔρημον δὲ ἐφ' ἡμῶν. ἔστι μὲν δὴ τὸ Ποσείδιον τοῦτο ὑπὸ τὸ γυμνάσιον· διαμεμένηκε δὲ καὶ ἐς τόδε ἔτι αὐτῷ Ποσειδῶνος ἱερὸν νομίζεσθαι. Πελλήνης δὲ ὅσον στάδια ἑξήκοντα ἀπέχει τὸ Μύσαιον, ἱερὸν Δήμητρος Μυσίας· ἱδρύσασθαι δὲ αὐτὸ Μύσιόν φασιν ἄνδρα Ἀργεῖον· ἐδέξατο δὲ οἴκῳ Δήμητρα καὶ ὁ Μύσιος λόγῳ τῷ Ἀργείων. ἔστι δὲ ἄλσος ἐν τῷ Μυσαίῳ, δένδρα ὁμοίως τὰ πάντα, καὶ ὕδωρ ἄφθονον ἄνεισιν ἐκ πηγῶν· ἄγουσι δὲ καὶ ἑορτὴν τῇ Δήμητρι ἐνταῦθα ἡμερῶν ἑπτά· τρίτῃ δὲ ἡμέρᾳ τῆς ἑορτῆς ὑπεξίασιν οἱ ἄνδρες ἐκ τοῦ ἱεροῦ, καταλειπόμεναι

duasque eius de lucta ad Chaeroneam, quatuor Olympiae acceptas palmas praedicant. Nominare tamen eum respuunt, ob eam causam credo: quod Pellenensium rempublicam sustulerit. Corruptus enim ab Alexandro Philippi filio invidiosissimo dominationis munere, se patriae suae tyrannum imponi facile passus est. Est Lucinae etiam aedes, a Pellenensibus in parte oppidi minore dedicata. (8) Quod vero Posidion *(id est Neptunium)* dicitur, fuit olim curia, aetate nostra desertus plane locus, infra gymnasium; permansit tamen ei haec usque ad praesens saeculum dignatio, ut Neptuno sacer habeatur. A Pellene stadia circiter sexaginta abest Mysaeum, Mysiae Cereris sacrarium. Dedicatum ferunt a Mysio Argivo homine; et ab eo quidem hospitio Cererem acceptam Argivorum sermo vulgavit. Lucus est in Mysaeo condensus omnis generis arboribus, et perennium fontium aquis irriguus. Festos dies agitant septem: quorum tertio, e templo viri omnes exeunt; mulieres intus

δὲ αἱ γυναῖκες δρῶσιν ἐν τῇ νυκτὶ, ὁπόσα νόμος ἐστὶν αὐταῖς· ἀπελαύνονται δὲ οὐχ οἱ ἄνδρες μόνον, ἀλλὰ καὶ τῶν κυνῶν τὸ ἄῤῥεν. ἐς δὲ τὴν ἐπιοῦσαν ἀφικομένων ἐς τὸ ἱερὸν τῶν ἀνδρῶν, αἱ γυναῖκές τε ἐς αὐτοὺς, καὶ ἀνὰ μέρος ἐς τὰς γυναῖκας οἱ ἄνδρες γέλωτί τε ἐς ἀλλήλους χρῶνται καὶ σκώμμασιν. (4) Ἀπωτέρω δὲ οὐ πολὺ ἀπὸ τοῦ Μυσαίου ἱερόν ἐστιν Ἀσκληπιοῦ, καλούμενον Κῦρος, καὶ ἰάματα ἀνθρώποις παρὰ τοῦ θεοῦ γίνεται. ὕδωρ δὲ καὶ ἐνταῦθα ἀνέδην ἐστὶ, καὶ ἐπὶ τῇ μεγίστῃ τῶν πηγῶν τοῦ Ἀσκληπιοῦ τὸ ἄγαλμα ἵδρυται. Ποταμοὶ δὲ ἐκ τῶν ὀρῶν κατέρχονται ὑπὲρ τὴν Πελλήνην, πρὸς μὲν Αἰγείρας καλούμενος Κρῖος· ἔχειν δὲ αὐτὸν τὸ ὄνομα ἀπὸ Τιτᾶνος Κρίου· * καὶ ἄλλος ὠνόμασται ποταμὸς, ὃς ἀρχόμενος ἐκ Σιπύλου τοῦ ὄρους ἐς τὸν Ἕρμον κάτεισι. 597 καθότι δὲ Πελληνεῦσιν ὅροι τῆς χώρας πρὸς Σικυωνίους εἰσὶ, κατὰ τοῦτο ποταμός σφισι Σύθας, ἔσχατος ποταμῶν τῶν Ἀχαϊκῶν, ἐς τὴν Σικυωνίαν ἐκδίδωσι θάλασσαν.

relictae, ritu a maioribus tradito nocturnum peragunt sacrum. Neque vero viros tantum excludunt, sed canes etiam masculos eiiciunt. Postero die revisunt foeminas in templo viri, multoque cum risu ultro citroque sales et dicta iaciuntur. (4) Modico a Mysaeo intervallo surgit Aesculapii templum: Cyros appellatur. *Multa* hic monstrantur morborum remedia. Aqua hic etiam effusissime scatet, et ad fontium ibi maximum dei ipsius positum signum. Flumina item *aliquot* descendunt e montibus, qui supra Pellenen sunt. Eorum unus manat ab ea parte quae Aegiram spectat; is Crius appellatur, a Crio Titane nomen inditum putant. At Alius nominatur, qui e Sipylo descendens, in Hermum influit. Qua vero parte finitimi sunt Sicyoniis Pellenenses, amnis quidam Achaicorum postremus in Sicyonium mare decurrit.

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

ΑΡΚΑΔΙΚΑ.

ΑΡΚΑΔΙΚΑ SEU LIB. VIII.

CAPUT I.

Arcadas mediterraneam Peloponnesi partem tenere, ex reliquarum civitatum finium summa breviter repetita ostenditur — de Pelasgo.

Ἀρκάδων δὲ τὰ πρὸς τῆς Ἀργείας Τεγεᾶταί τε ἔχουσι 598
καὶ Μαντινεῖς. νέμονται δὲ οὗτοί τε καὶ τὸ ἄλλο Ἀρκαδικὸν τὸ μεσόγαιον τῆς Πελοποννήσου. Κορίνθιοι γὰρ οἰκοῦσιν ἐπὶ τῷ Ἰσθμῷ πρῶτοι· Κορινθίοις δὲ τὰ πρὸς θαλάσσης εἰσὶν Ἐπιδαύριοι γείτονες. τὰ δὲ ἐς Ἐπίδαυρον καὶ Τροιζῆνά τε καὶ Ἑρμιόνα, ὁ κόλπος ἐστὶν ὁ Ἀργολικὸς καὶ ὅσα ἐπιθαλάσσια τῆς Ἀργείας. ταύτης δὲ ἔχονται τῆς χώρας Λακεδαιμονίων περίοικοι. τούτοις δὲ ὅμορος ἡ Μεσσηνία· καταβαίνει γὰρ μέχρι θαλάσσης ἐς Μεθώνην καὶ Πύλον καὶ ἐπὶ Κυπαρισσιάς. τὰ δὲ πρὸς Λεχαίου Κορινθίοις Σικυώνιοι προσοικοῦσιν ἔσχατοι ταύτῃ

Cap. I. Arcadiae partem eam, quae fines Argivorum contingit, Tegeatae et Mantinenses tenent: et Arcadici quidem nominis populi omnes mediterraneum Peloponnesi agrum colunt. Corinthii enim primi Isthmum obtinent. His contigui Epidaurii, qua parte ad Aegeum mare ora est exposita. Quod vero attinet ad Epidaurum, Troezenem et Hermionem, eas excipit sinus Argolicus et quidquid Argolicae terrae ad mare situm est. Adiacent circumquaque Lacedaemoniorum civitates. His finitima Messenia, quae ad mare descendit Methonen usque, Pylon, et Cyparissias. Ad Lechaeum vicini Corinthiis Sicyonii, postremi hi Argolicorum

μοίρας τῆς Ἀργολίδος. μετὰ Σικυῶνα Ἀχαιοὶ τὸ ἐντεῦθέν εἰσιν οἱ παρὰ τὸν αἰγιαλὸν οἰκοῦντες. τὸ δὲ ἕτερον Πελοποννήσου πέρας τὸ ἀπαντικρὺ τῶν Ἐχινάδων οἰκοῦσιν Ἠλεῖοι. τῆς δὲ γῆς τῆς Ἠλείας κατὰ μὲν Ὀλυμπίαν καὶ τοῦ Ἀλφειοῦ τὰς ἐκβολὰς πρὸς τὴν Μεσσηνίαν εἰσὶν ὅροι, τὰ δὲ πρὸς Ἀχαΐαν Δυμαῖοί εἰσιν ὅμοροι. τούτων τῶν κατειλεγμένων καθηκόντων ἐπὶ θάλασσαν, Ἀρκάδες τὸ ἐντὸς οἰκοῦσιν ἀποκλειόμενοι. θαλάσσης πανταχόθεν· ὅθεν σφᾶς καὶ Ὅμηρος ἀφικέσθαι φησὶν ἐς Τροίαν παρ' Ἀγαμέμνονος πλοῖα εἰληφότας, καὶ οὐχὶ ναυσὶν οἰκείαις.
599 (2) Φασὶ δὲ Ἀρκάδες, ὡς Πελασγὸς γένοιτο ἐν τῇ γῇ ταύτῃ πρῶτος. εἰκὸς δὲ ἔχει τοῦ λόγου, καὶ ἄλλους ὁμοῦ τῷ Πελασγῷ, μηδὲ αὐτὸν Πελασγὸν γενέσθαι μόνον· ποίων γὰρ ἂν καὶ ἦρχεν ὁ Πελασγὸς ἀνθρώπων; μεγέθει μέντοι καὶ κατὰ ἀλκὴν καὶ κάλλος προεῖχεν ὁ Πελασγὸς, καὶ γνώμην ὑπὲρ τοὺς ἄλλους ἦν, καὶ τούτων εἵνεκα αἱρεθῆναί μοι δοκεῖ βασιλεύειν ὑπ' αὐτῶν. Πεποίηται δὲ καὶ Ἀσίῳ τοιάδε ἐς αὐτόν·

hac in parte finium. Sicyonem excipiunt Achaei litoris accolae. Ad alterum Peloponnesi latus, quod Echinadibus insulis ex adverso est, habitant Elei. Elei agri fines cum Messenia iunguntur, qua parte Olympia est, et Alphei ostium: et inter Eleam terram et Achaiam, medii Dymaei sunt. Pertinent populi, quos enumeravi, ad mare omnes. Interiores Arcades a mari undecunque seclusi. Quare Homerus profectos ad Troiam dicit, non suis ipsorum, sed acceptis ab Agamemnone navibus. (2) Ac primum quidem omnium Pelasgum memorant Arcades in hac terra extitisse: sed consentaneum certe est non solum illum, sed alios etiam *in iisdem locis* una cum eo fuisse. Nam quibus omnino imperasset hominibus? Crediderim ego Pelasgum magnitudine, robore, ac forma, quin et animi dotibus, ceteros superasse: eamque ob rem ei a suis regnum decretum: cuiusmodi ei testimonium suis versibus Asius etiam dedit:

'Αντίθεον δὲ Πελασγὸν ἐν ὑψικόμοισιν ὄρεσσι
Γαῖα μέλαιν' ἀνέδωκεν, ἵνα θνητῶν γένος εἴη.

Πελασγὸς δὲ βασιλεύσας, τοῦτο μὲν ποιήσασθαι καλύβας ἐπενόησεν, ὡς μὴ ῥιγοῦν τε καὶ ὕεσθαι τοὺς ἀνθρώπους, μηδὲ ὑπὸ τοῦ καύματος ταλαιπωρεῖν· τοῦτο δὲ τοὺς χιτῶνας τοὺς ἐκ τῶν δερμάτων τῶν ὑῶν, οἷς καὶ νῦν περί τε Εὔβοιαν ἔτι χρῶνται καὶ ἐν τῇ Φωκίδι, ὁπόσοι βίου σπανίζουσιν, οὗτός ἐστιν ὁ ἐξευρών. καὶ δὴ καὶ τῶν φύλλων τὰ ἔτι χλωρὰ, καὶ πόας τε καὶ ῥίζας οὐδὲ ἐδωδίμους, ἀλλὰ ὀλεθρίους ἐνίας, σιτουμένους τοὺς ἀνθρώπους, τούτων μὲν ἔπαυσεν ὁ Πελασγός· ὁ δὲ τὸν καρπὸν τῶν δρυῶν οὔτι που πασῶν, ἀλλὰ τὰς βαλάνους τῆς φηγοῦ τροφὴν ἐξεῦρεν εἶναι. παρέμεινέ τε ἐνίοις ἐς τοσοῦτον ἀπὸ Πελασγοῦ τούτου ἡ δίαιτα, ὡς καὶ τὴν Πυθίαν, ἡνίκα Λακεδαιμονίοις γῆς τῆς 'Αρκάδων ἀπηγόρευεν ἅπτεσθαι, καὶ τάδε εἰπεῖν τὰ ἔπη·

Πολλοὶ ἐν 'Αρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν,
Οἵ σ' ἀποκωλύσουσιν. ἐγὼ δέ τοι οὔ τι μεγαίρω.

Montibus alticomis peperit nigra terra Pelasgum
Dis similem, et generi tribuit nova regna futuro.

Pelasgus igitur quum regnare coepisset, primum quidem rudes homines docuit tuguria, ad frigoris, imbrium, et aestus incommoda arcenda, aedificare. Idem tunicas facere instituit e suillis coriis; qualibus his ipsis temporibus in Euboea et Phocide tenuiores homines utuntur. Ad haec quum vulgo virente adhuc fronte, herbisque ac radicibus non modo non cibariis, sed plerumque perniciosis *incautius* vescerentur, salubriores multo glandes esse; neque omnes, sed quae e sola fago legerentur, persuasit. Fuit vero tam frequens ac diuturnus hic glandium cibus Arcadibus, ut quo tempore monuit Apollo Lacedaemonios, ne Arcades bello lacesserent, hunc illis victum e glandibus hisce versibus attribuerit:

Haud equidem invideo tibi ego: sed plurimus Arcas
Glande alitus dura coepto prohibebit inani.

Πελασγοῦ δὲ βασιλεύοντος γενέσθαι καὶ τῇ χώρᾳ Πελασγίαν φασὶν ὄνομα.

CAPUT II.

De Lycaone, Iove Lycaeo, ludis Lycaeis et Panathenaeis — hominibus deorum hospitibus et convivis — hominibus in deos relatis — fabulis vero superstructis.

600 *Λυκάων δὲ ὁ Πελασγοῦ τοσάδε εὗρεν ἢ ὁ πατὴρ οἱ σοφώτερα. Λυκόσουραν τε γὰρ πόλιν ᾤκισεν ἐν τῷ ὄρει τῷ Λυκαίῳ, καὶ Δία ὠνόμασε Λυκαῖον, καὶ ἀγῶνα ἔθηκε Λύκαια. οὐκ ἔτι δὲ τὰ παρ' Ἀθηναίοις Παναθήναια τεθῆναι πρότερα ἀποφαίνομαι· τούτῳ γὰρ τῷ ἀγῶνι Ἀθήναια ὄνομα ἦν, Παναθήναια δὲ κληθῆναί φασιν ἐπὶ Θησέως, ὅτι ὑπὸ Ἀθηναίων ἐτέθη συνειλεγμένων εἰς μίαν ἁπάντων πόλιν. ὁ δὲ ἀγὼν ὁ Ὀλυμπιακὸς (ἐπανάγουσι γὰρ δὴ αὐτὸν ἐς τὰ ἀνωτέρω τοῦ ἀνθρώπων γένους, Κρόνον καὶ Δία αὐτόθι παλαῖσαι λέγοντες, καὶ ὡς Κου-*

Ab hoc rege totam regionem eam Pelasgiam appellatam ferunt.

Cap. II. Huius filius Lycaon nonnulla vel sapientius quam pater suus excogitavit. Lycosuram enim urbem in monte Lycaeo condidit, Iovem Lycaeum appellavit, ludosque *in eius honorem* Lupercalia instituit. Facile ut credam adducor, nondum apud Athenienses Panathenaea celebrari coepta: siquidem quum *antea* ludi isti Athenaea dicerentur, auctore vero Theseo Atheniensis populus, *qui ante dispersus vicatim habitabat*, in unam fuisset civitatem *atque intra una moenia* congregatus *apparatius facti, (ab Atheniensium communione)* Panathenaea *insequentibus dehinc temporibus* nuncupata. Nam Olympici ludi, in quibus Iovem cum Saturno luctatum, et Curetas primos cursu certasse memoriae proditum, quum ultra hominum aetatem a nonnullis transferantur (i. e. ante homines natos exstitisse

ρητες δράμοιεν πρῶτοι) τούτων εἵνεκα ἐκτὸς ἔστω μοι τοῦ παρόντος λόγου. δοκῶ δὲ ἔγωγε, Κέκροπι ἡλικίαν τῷ βασιλεύσαντι Ἀθηναίων καὶ Λυκάονι εἶναι τὴν αὐτὴν, σοφίᾳ δὲ οὐχ ὁμοίως σφᾶς ἐς τὸ θεῖον χρήσασθαι. ὁ μὲν γὰρ Δία τε ὠνόμασεν Ὕπατον πρῶτος, καὶ ὁπόσα ἔχει ψυχὴν, τούτων μὲν ἠξίωσεν οὐδὲν θῦσαι, πέμματα δὲ ἐπιχώρια ἐπὶ τοῦ βωμοῦ καθήγισεν, ἃ πελάνους καλοῦσιν ἔτι καὶ ἐς ἡμᾶς Ἀθηναῖοι. Λυκάων δὲ ἐπὶ τὸν βωμὸν τοῦ Λυκαίου Διὸς βρέφος ἤνεγκεν ἀνθρώπου, καὶ ἔθυσε τὸ βρέφος, καὶ ἔσπεισεν ἐπὶ τοῦ βωμοῦ τὸ αἷμα· καὶ αὐτὸν αὐτίκα ἐπὶ τῇ θυσίᾳ γενέσθαι λύκον φασὶν ἀντὶ ἀνθρώπου· καὶ ἐμέ γε ὁ λόγος οὗτος πείθει, λέγεται δὲ ὑπὸ Ἀρκάδων ἐκ παλαιοῦ, καὶ τὸ εἰκὸς αὐτῷ πρόσεστιν. (2) Οἱ γὰρ δὴ τότε ἄνθρωποι ξένοι καὶ ὁμοτράπεζοι θεοῖς ἦσαν ὑπὸ δικαιοσύνης καὶ εὐσεβείας· καὶ σφισιν ἐναργῶς ἀπήντα παρὰ τῶν θεῶν τιμή τε οὖσιν ἀγαθοῖς, καὶ ἀδικήσασιν ὡσαύτως ὀργή· ἐπεί τοι καὶ θεοὶ τότε ἐγίνοντο ἐξ ἀνθρώπων, οἳ γέρα καὶ ἐς τόδε

dicantur) propterea in instituto orationis cursu a me non attingentur. Eadem vero aetate et Cecropem Athenis, et Lycaonem *in Arcadia* regnasse arbitror: prudentia tamen rerum divinarum multo Lycaonem inferiorem fuisse censeo. Ille enim quum primus Iovem cognomine Supremum appellasset, nihil vita praeditum ei immolandum duxit, sed liba tantum patria (Pelanos etiamnum Attici vocant) ut ad aram porricerentur sanxit. At hic ad Iovis Lycaei aram infante mactato, humanum sanguinem libavit; quare inter ipsa sacra in lupum mutatum tradunt. Cui certe famae facile possum assentiri. Nam praeterquam quod Arcadum sermonibus iam tum ab initio vulgatis prodita posteris est, a ratione etiam non abhorret. (2) Erant enim prisci illi homines dis ipsis hospites et convivae, pro iustitiae et pietatis merito. Et sane bonis *et piis* praemia certissima, sontibus ex deorum ira supplicia erant exposita. Quin etiam recepti coelo multi ex hominibus, quibus adhuc sui permanent

ἔτι ἔχουσιν, ὡς Ἀρισταῖος, καὶ Βριτόμαρτις ἡ Κρητική,
601 καὶ Ἡρακλῆς ὁ Ἀλκμήνης, καὶ Ἀμφιάραος ὁ Ὀϊκλέους, ἐπὶ δὲ αὐτοῖς Πολυδεύκης τε καὶ Κάστωρ. οὕτω πείθοιτο ἄν τις, καὶ Λυκάονα θηρίον, καὶ τὴν Ταντάλου Νιόβην γενέσθαι λίθον. ἐπ' ἐμοῦ δὲ (κακία γὰρ δὴ ἐπὶ πλεῖστον ηὔξετο, καὶ γῆν τε ἐπενέμετο πᾶσαν καὶ πόλεις πάσας) οὔτε θεὸς ἐγίνετο οὐδεὶς ἔτι ἐξ ἀνθρώπου, πλὴν ὅσον λόγῳ καὶ κολακείᾳ πρὸς τὸ ὑπερέχον· καὶ ἀδίκοις μὲν τὸ μήνιμα τὸ ἐκ τῶν θεῶν ὀψέ τε καὶ ἀπελθοῦσιν ἐντεῦθεν ἀπόκειται. (3) Ἐν δὲ τῷ παντὶ αἰῶνι πολλὰ μὲν πάλαι συμβάντα * δὲ καὶ ἔτι γινόμενα, ἄπιστα εἶναι πεποιήκασιν ἐς τοὺς πολλοὺς οἱ τοῖς ἀληθέσιν ἐποικοδομοῦντες ἐψευσμένα. λέγουσι γὰρ δή, ὡς Λυκάονος ὕστερον δή τις ἐξ ἀνθρώπου λύκος γένοιτο ἐπὶ τῇ θυσίᾳ τοῦ Λυκαίου Διός, γίγνοιτο δὲ οὐκ εἰς ἅπαντα τὸν βίον· ὁπότε δὲ εἴη λύκος, εἰ μὲν κρεῶν ἀπόσχοιτο ἀνθρωπίνων, ὕστερον ἔτει δεκάτῳ φασὶν αὐτὸν αὖθις ἄνθρωπον

honores: in quo numero fuere Aristaeus, Britomartis Cretica, Alcmenae filius Hercules, et Oiclis Amphiaraus: ac praeter hos Pollux et Castor. Quare neque absurdum dictu videri possit, Lycaonem in feram, et Nioben Tantali filiam in saxum conversam. Atenim aetate nostra, qua gliscens fraus et audacia omnes prope orbis terrae partes urbesque occupavit, nulli iam homines in deorum numerum veniunt, nisi forte per inanes titulos, et eminentioris dignitatis adulationem: et noxam commeritis, quum demum e vita excesserint, serae deorum iudicio poenae irrogantur. (3) Ac omnibus quidem seculis, veteribus et obsoletis iam rerum eventis, fides eorum culpa in vulgus est abrogata, qui veritatis tanquam fundamenta superstructis fabulis obruerunt. Nam et post Lycaonem in iisdem Lycaei Iovis sacris alium quendam fuisse ex homine lupum factum tradunt: non tamen in *reliquum* omne vitae tempus: sed decimo tandem anno, si interea humana carne abstinuisset, pristinam hominis figuram recepisse: sin hominis carnes gustasset, lu-

ἐκ λύκου γενέσθαι, γευσάμενον δὲ, ἐσαεὶ μένειν θηρίον. ὡσαύτως δὲ καὶ Νιόβην λέγουσιν ἐν Σιπύλῳ τῷ ὄρει θέρους ὥρᾳ κλαίειν. ἤδη δὲ καὶ ἄλλα ἤκουσα, τοῖς γρυψὶ στίγματα ὁποῖα καὶ τοῖς παρδάλεσιν εἶναι, καὶ ὡς οἱ Τρίτωνες ἀνθρώπου φωνῇ φθέγγοιντο· οἱ δὲ καὶ φυσᾶν διὰ κόχλου τετρυπημένης φασὶν αὐτούς. ὁπόσοι δὲ μυθολογήμασιν ἀκούοντες ἥδονται, πεφύκασι καὶ αὐτοὶ ἐπιτερατεύεσθαι· καὶ οὕτω τοῖς ἀληθέσιν ἐλυμήναντο συγκεραννύντες αὐτὰ ἐψευσμένοις.

CAPUT III.

De Nyctimo ac reliquis Lycaonis filiis, urbibusque ab iis conditis — Oenotrus natu minimus in Italiam traiicit — de Callisto, Lycaonis filia.

Τρίτῃ δὲ ὕστερον γενεᾷ μετὰ Πελασγὸν ἔς τε πόλεων καὶ ἐς ἀνθρώπων πλῆθος ἐπέδωκεν ἡ χώρα. Νύκτιμος μὲν γὰρ πρεσβύτατός τε ἦν καὶ εἶχε τὸ πᾶν κράτος· οἱ δὲ ἄλλοι παῖδες τοῦ Λυκάονος πόλεις ἐνταῦθα ἔκτιζον, ἔνθα ἑκάστῳ ἦν μάλιστα κατὰ γνώμην. Πάλλας μὲν καὶ

pum esse nunquam desiisse. Eadem *vanitate* Nioben illacrymari aestate anni fabulantur. Audivi etiam *quosdam quum narrarent et* alia quaedam *rerum miracula, et* gryphibus uti pardis *segmentatam et* maculis distinctam esse pellem. Iam vero Tritones voce humana praeditos, et eosdem perforatam concham inflantes canere. Ita vero comparatum est, ut qui huiusmodi figmentorum portentis aures praebent, et ipsi mox aliquid adfingant, quo fit ut mendaciorum quasi colluvie veritas vitiata, suam prorsus auctoritatem perdat.

Cap. III. Tertia post Pelasgum aetate, regio tota et urbium et hominum numero magnos habuit processus. Nam quum Nyctimus Lycaonis liberum natu maximus, paternum imperium adiisset, reliqui sibi diversis, arbitrio quisque suo, agri partibus occupatis, oppida muniere: Pallantium Pallas,

Ὀρεσθεὺς καὶ Φίγαλος Παλλάντιον, Ὀρεσθεὺς δὲ Ὀρε-
602 σθάσιον, Φιγαλίαν δὲ οἰκίζει Φίγαλος. Παλλαντίου μὲν
δὴ καὶ Στησίχορος ὁ Ἱμεραῖος ἐν Γηρυονίδι ἐποιήσατο
μνήμην. Φιγαλία δὲ καὶ Ὀρεσθάσιον χρόνῳ μεταβάλ-
λουσι τὰ ὀνόματα, Ὀρέστειόν τε ἀπὸ Ὀρέστου κληθεῖσα
τοῦ Ἀγαμέμνονος, καὶ Φιαλία ἀπὸ τοῦ Βουκολίωνος παι-
δὸς, Φιάλου. Τραπεζεὺς δὲ καὶ Ἐλεάτας, καὶ Μακαρεὺς,
καὶ Ἑλισσὼν, καὶ Ἄκακός τε καὶ Θῶκνος, Θωκνίαν πό-
λιν, ὁ δὲ Ἀκακήσιον ἔκτισεν. ἀπὸ τούτου δὲ τοῦ Ἀκάκου
καὶ Ὅμηρος λόγῳ τῷ Ἀρκάδων ἐς Ἑρμῆν ἐποίησεν ἐπί-
κλησιν. ἀπὸ δὲ Ἑλισσόντος ἥ τε πόλις καὶ ὁ ποταμὸς
Ἑλισσὼν τὰ ὀνόματα ἐσχήκασιν. ὡσαύτως καὶ Μακαρία
τε καὶ Δασέα, καὶ Τραπεζοῦς, ἀπὸ τῶν Λυκάονος ἐκλή-
θησαν καὶ αὗται παίδων. Ὀρχομενὸς δὲ ἐγένετο οἰκιστὴς
Μεθυδρίου τε καλουμένης, καὶ Ὀρχομενίων, οὓς ἐν τοῖς
ἔπεσι πολυμήλους ὠνόμασεν Ὅμηρος. ὑπὸ δὲ *, καὶ Ὑψοῦν-
τος, καὶ * * Μελαινεαί τε ἐκτίσθησαν καὶ Ὑψοῦς, ἔτι δὲ
Θύραιόν τε καὶ Αἱμονιαί· δόξῃ δὲ τῇ Ἀρκάδων, καὶ ἡ

Orestheus Oresthasium, Phigaliam Phigalus excitarant. Ac Pallantii quidem etiam Stesichorus Himeraeus in Geryone Iove mentionem fecit: sed Oresthasii nomen vetustate immutatum; et ab Oreste Agamemnonis filio, Oresteum est oppidum illud appellatum. Quin et Phigalia, a Bucolionis filio Phialo *minore*, mutato nomine, Phialia est vocitata. *Reliqui fuere Lycaonis filii*, Trapezeus, Eleatas, Macareus, Helisson, Acacus, Thocnus. Horum postremus urbem Thocniam condidit, Acacus Acacesium. Ab eodem sane Acaco cognomen Mercurio ab Homero datum Arcadum sermo asseverat. A ceteris Helisson urbs, et eodem nomine fluvius; tum Macaria, Elea, Trapezus nomina nactae. Sed et alii Lycaonis liberi numerantur, singuli urbium conditores. Orchomeno Methydrion, et Orchomenii, quos Polymelos *(hoc est, pecudum divites)* Homerus nominavit: Hypsunti Melaeneae, et Hypsus: adhaec Thyraeum, quod hac etiamnum aetate exstat: quin et Arcadum opinione Thyraea in Argi-

Θυρέαι ἐν τῇ Ἀργολίδι γῇ, καὶ ὁ Θυρεάτης καλούμενος κόλπος, ἀπὸ τοῦ Θυραίου τούτου τὰ ὀνόματα ἐσχήκασι. 608
Μαντινεὺς δὲ καὶ Τεγεάτης καὶ Μαίναλος, ὁ μὲν τῶν ἐν Ἀρκαδίᾳ πόλεων ὀνομαστοτάτην τὸ ἀρχαῖον Μαίναλον, Τεγεάτης δὲ καὶ Μαντινεὺς Τεγέαν κτίζουσι καὶ Μαντίνειαν. ὠνομάσθησαν δὲ ἀπὸ Κρώμου Κρῶμοι· καὶ Χαρίσια Χαρίσιον ἔχουσα οἰκιστήν· Τρικόλωνοι δὲ ἀπὸ Τρικολώνου· καὶ ἀπὸ μὲν Περαίθου Περαιθεῖς, Ἀσαία δὲ ἀπὸ Ἀσαιάτα· καὶ ἀπὸ Λυκέως Λυκοᾶται· Σουματία ἀπὸ Σουματέως. Ἀλίφηρος δὲ καὶ Ἡραιεὺς ἐπώνυμοι καὶ οὗτοι πόλεσίν εἰσιν ἀμφότεροι. (2) Οἴνωτρος δὲ ὁ τῶν παίδων νεώτατος Λυκάονι τῶν ἀρσένων, Νύκτιμον τὸν ἀδελφὸν χρήματα καὶ ἄνδρας αἰτήσας, ἐπεραιώθη ναυσὶν ἐς Ἰταλίαν, καὶ ἡ Οἰνωτρία χώρα τὸ ὄνομα ἔσχεν ἀπὸ Οἰνώτρου βασιλεύοντος. οὗτος ἐκ τῆς Ἑλλάδος ἐς ἀποικίαν στόλος πρῶτος ἐστάλη· ἀναριθμουμένῳ δὲ ἐς τὸ ἀκριβέστατον, οὐδὲ ἐκ τῶν βαρβάρων οὐδένες πρότερον ἢ Οἴνωτρος ἀφίκοντο ἐς τὴν ἀλλοδαπήν. (3) Ἐπὶ δὲ τῷ γένει παντὶ τῷ ἄρσενι θυγάτηρ Λυκάονι ἐγένετο

vorum finibus, et Thyreates sinus a Thyreata isto sua obtinuerunt nomina. Iam vero celebri olim nomine urbem Maenalum, Tegean, et Mantineam, Maenalus, Tegeates, et Mantineus constituere. Cromi a Cromo nomen habuere. Charisia Charisium auctorem perhibet. Tricoloni a Tricolono, Peraethenses a Peraetho, Asaea ab Asaeate, a Lyceo Lyceatae, a Sumateo Sumatia: postremo ab Aliphiro et Heraeeo urbes nomina et origines accepere. (2) At natu minimus Oenotrus, pecunia et viris a fratre Nyctimo acceptis, classe in Italiam transmisit; a quo fuit ea, *in qua consedit*, terra, de regis nomine Oenotria vocitata. Atque haec prima a Graecis colonia deducta. Sed neque Barbarae gentes ante Oenotrum (ut accuratissime *omnis antiquitatis memoria* revolvatur) ad exteras gentes commigrasse reperiuntur. (3) In liberum tanto sobolis virilis numero *unica* Lycaoni filia fuit, Callisto nomine: eam (quae inter Grae-

Καλλιστώ· ταύτῃ τῇ Καλλιστοῖ (λέγω δὲ τὰ λεγόμενα ὑπὸ Ἑλλήνων) συνεγένετο ἐρασθεὶς Ζεύς. Ἥρα δὲ ὡς ἐφώρασεν, ἐποίησεν ἄρκτον τὴν Καλλιστώ, Ἄρτεμις δὲ ἐς χάριν τῆς Ἥρας κατετόξευσεν αὐτήν. καὶ ὁ Ζεὺς Ἑρμῆν πέμπει σῶσαι τὸν παῖδά οἱ προστάξας, ὃν ἐν τῇ γαστρὶ εἶχεν ἡ Καλλιστώ· Καλλιστὼ δὲ αὐτὴν ἐποίησεν ἀστέρας, καλουμένην ἄρκτον μεγάλην, ἧς καὶ Ὅμηρος ἐν Ὀδυσσέως ἀνάπλῳ παρὰ Καλυψοῦς μνήμην ἔσχε·

Πληϊάδας τ' ἐσορῶντι, καὶ ὀψὲ δύοντα Βοώτην,
Ἄρκτον θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν.

604 ἔχοιεν δ' ἂν καὶ ἄλλως τὸ ὄνομα οἱ ἀστέρες ἐπὶ τιμῇ τῇ Καλλιστοῦς, ἐπεὶ τάφον γε αὐτῆς ἀποφαίνουσιν οἱ Ἀρκάδες.

CAPUT IV.

De Arcade et regione inde dicta — eius uxore Erato, filiis et regno iis diviso — eorum posteris — Aepyto a serpente sepe confecto — Aleo rege — Auge, Alei filia, Lycurgo rege eiusque prole.

Μετὰ δὲ Νύκτιμον ἀποθανόντα Ἀρκὰς ἐξεδέξατο ὁ Καλλιστοῦς τὴν ἀρχήν· καὶ τόν τε ἥμερον καρπὸν ἐσηγά-

cos decantata sunt, memoro) vitiavit amore captus Iupiter: deprehensam Iuno in ursam vertit; ac deinde in gratiam Iunonis, puellam sagittis confixit Diana. Iupiter, quem illa ferebat utero puerum, Mercurio servandum mandavit, matre in siderum numerum relata, quae Ursa maior dicitur: cuius Homerus, quo loco Ulyssis a Calypsoe navigationem exponit, *his versibus* meminit:

Pleiadasque aspectantem, tardumque Booten,
Atque Ursam, quam Plaustrum etiam cognomine dicunt.

Sed probabilius fortasse fuerit, quo honos puellae haberetur, sidus illi dicatum; praesertim quum sepulcrum eius ostendant Arcades.

Cap. IV. Mortuo Nyctimo Arcas Callistus filius regnum suscepit. Hic et frumentum a Triptolemo acceptum popu-

γετο οὗτος παρὰ Τριπτολέμου, καὶ τὴν ποίησιν ἐδίδαξε τοῦ ἄρτου, καὶ ἐσθῆτα ὑφαίνεσθαι, καὶ ἄλλα τὰ ἐς ταλασίαν μαθὼν παρ' Ἀδρίστα. ἀπὸ τούτου δὲ βασιλεύσαντος Ἀρκαδία τε ἀντὶ Πελασγίας ἡ χώρα, καὶ ἀντὶ Πελασγῶν Ἀρκάδες ἐκλήθησαν οἱ ἄνθρωποι. (2) Συνοικῆσαι δὲ οὐ θνητῇ γυναικὶ αὐτὸν, ἀλλὰ νύμφῃ Δρυάδι ἔλεγον· Δρυάδας γὰρ δὴ καὶ Ἐπιμηλιάδας τὰς ἑαυτῶν ἐκάλουν * Ναΐδας· καὶ Ὁμήρῳ γε ἐν τοῖς ἔπεσι Ναΐδων Νυμφῶν μάλιστά ἐστι μνήμη. τὴν δὲ νύμφην ταύτην καλοῦσιν Ἐρατὼ, καὶ ἐκ ταύτης φασὶν Ἀρκάδι Ἀζᾶνα καὶ Ἀφείδαντα γενέσθαι καὶ Ἔλατον· ἐγεγόνει δὲ αὐτῷ πρότερον ἔτι Αὐτόλαος νόθος. τοῖς δὲ παισὶν, ὡς ηὐξήθησαν, διένειμεν Ἀρκὰς τριχῇ τὴν χώραν· καὶ ἀπὸ μὲν Ἀζᾶνος ἡ Ἀζανία μοῖρα ὠνομάσθη· παρὰ τούτων δὲ ἀποικισθῆναι λέγουσιν, ὅσοι περὶ τὸ ἄντρον ἐν Φρυγίᾳ τὸ καλούμενον Στεῦνος καὶ Πέγκαλαν ποταμὸν οἰκοῦσιν. Ἀφείδας δὲ Τεγέαν καὶ τὴν προσεχῆ ταύτῃ ἔλαχεν· ἐπὶ τούτῳ δὲ καὶ ποιηταὶ καλοῦσιν Ἀφειδάντειον κλῆρον

laribus suis tradidit, panem facere docuit; vestium texturam, totamque lanificium, quod ab Adrista didicerat, monstravit. Ab hoc rege et ipsa, quae ante Pelasgia dicebatur, Arcadia terra; et gens Pelasgi qui fuerant, Arcades nominati. (2) Habuisse vero illum uxorem non mortalem foeminam, sed unam e Dryadibus Nymphis tradunt. Dryadas enim ipsi suas, et Epimeliadas, quae ab aliis Naiades dicuntur, patria voce appellitant: Homerus quidem Naiadas crebro nominat. Eius vero Nymphae, *quae cum Arcade nupta fuit*, Erato nomen fuisse memoriae prodiderunt. Ex ea genitos Arcadi, Azana, Aphidanta, Elatum: nam ante nuptias Autolaum suscepisse, nothum. Ac filiis quidem adultis regnum trifariam divisit. Ab Azane itaque Azania, quae ei evenit pars, appellata: ex qua deducti colonia ii omnes *populi*, qui circa Phrygiae antrum, cui Steunos nomen et amnem Pencalam habitant. Aphidas Tegeam, et quae adiacent, sortitus est. Hinc poetae Tegeam solent Aphi-

τὴν Τεγέαν. Ἔλατος δὲ ἔσχε τὸ ὄρος τὴν Κυλλήνην, ἔτι τότε οὖσαν ἀνώνυμον· χρόνῳ δὲ ὕστερον μετῴκησεν ὁ Ἔλατος ἐς τὴν νῦν καλουμένην Φωκίδα, καὶ τοῖς τε Φωκεῦσιν ἤμυνεν ὑπὸ Φλεγυῶν πολέμῳ πιεζομένοις, καὶ
605 Ἐλατείας πόλεως ἐγένετο οἰκιστής. (3) Παῖδα δὲ Ἀζᾶνι μὲν Κλείτορα, Ἀφείδαντι δὲ Ἀλεόν, Ἐλάτῳ δέ φασιν εἶναι πέντε, Αἴπυτον, Περέα, Κυλλῆνα, Ἴσχυν, Στύμφηλον. ἐπὶ δὲ Ἀζᾶνι τῷ Ἀρκάδος τελευτήσαντι ἆθλα ἐτέθη πρῶτον· εἰ μὲν καὶ ἄλλα, οὐκ οἶδα, ἱπποδρομίας δὲ ἐτέθη. Κλείτωρ μὲν δὴ ὁ Ἀζᾶνος ἐν Λυκοσώρᾳ τε ᾤκει, καὶ ἦν τῶν βασιλέων δυνατώτατος. καὶ Κλείτορα ᾤκισεν ἀφ' αὐτοῦ πόλιν. Ἀλεὸς δὲ εἶχε τὴν πατρῴαν λῆξιν. ἀπὸ δὲ Ἐλάτου τῶν παίδων, Κυλλήνην τὸ ὄρος καλοῦσιν ἀπὸ Κυλλῆνος· καὶ ἀπὸ Στυμφήλου πηγή τε ὀνομάζεται καὶ πόλις Στύμφηλος ἐπὶ τῇ πηγῇ. τὰ δὲ ἐς τὸν θάνατον Ἴσχυος τοῦ Ἐλάτου πρότερον ἔτι ἐν τῇ συγγραφῇ τῇ Ἀργολίδι ἐδήλωσα. παῖδα δὲ Περεῖ ἄρρενα

danteam sortem nuncupare. At Elatus montem, quae Cyllene nunc vocatur, obtinuit: tunc nondum ei nomen inditum fuerat. Is postea in eam terram inde abiit, cui Phocis nunc nomen est: quumque Phocenses cum Phlegyis minus aequo certamine bellantes armis iuvisset, *in eorum finibus de suo nomine* oppidum Elateam munivit. (3) Filium Azani fuisse Clitorem, Aphidanti Aleum; quinque Elato genitos memorant, Aepytum, Pereum, Cyllena, Ischyn, Stymphalum. Azani vitae muneribus perfuncto, ludi funebres primum facti; haud scio an et alii ludi, de equiriis certe affirmare possum. Clitor Lycosurae regiam constituit, et sane fuit regum *(ut illis temporibus) omnium* potentissimus, urbemque Clitora de suo nomine condidit. Aleus paternam obtinuit sortem. Quod vero ad Elati filios pertinet, a Cyllene mons nomen accepit: a Stymphalo fons, et urbs ad fontem sita Stymphalus. De Ischyis vero Elati filii morte egimus, dum res Argolicas exponeremus. At Pereo nullam

μὲν φασιν οὐδένα, Νέαιραν δὲ γενέσθαι θυγατέρα· ταύτην γυναῖκα ἔσχεν Αὐτόλυκος, οἰκῶν μὲν ἐν τῷ ὄρει τῷ Παρνασσῷ, λεγόμενος δὲ Ἑρμοῦ παῖς εἶναι, Δαιδαλίωνος δὲ ὢν τῷ ἀληθεῖ λόγῳ. (4) Κλείτορι δὲ τῷ Ἀζᾶνος οὐ γενομένων παίδων, ἐς Αἴπυτον Ἐλάτου περιεχώρησεν ἡ Ἀρκάδων βασιλεία. τὸν δὲ Αἴπυτον ἐξελθόντα ἐς ἄγραν, θηρίων μὲν τῶν ἀλκιμωτέρων οὐδὲν, σὴψ δὲ οὐ προϊδόμενον ἀποκτίννυσι. τὸν δὲ ὄφιν τοῦτον καὶ αὐτός ποτε εἶδον· κατὰ ἔχιν ἐστὶ τὸν μικρότατον, τέφρᾳ ἐμφερὴς, στίγμασιν οὐ συνεχέσι πεποικιλμένος· κεφαλὴ δέ ἐστιν αὐτῷ πλατεῖα, καὶ τράχηλος στενὸς, γαστέρα δὲ ἔχει μείζονα, καὶ οὐρὰν βραχεῖαν· βαδίζει δὲ οὗτός τε καὶ ὄφις 606
ἕτερος ὁ κεράστης καλούμενος, ἐνδιδόντες ἐς τὰ πλάγια, ὥσπερ οἱ καρκίνοι. (5) Μετὰ δὲ Αἴπυτον ἔσχεν Ἀλεὸς τὴν ἀρχήν. Ἀγαμήδης μὲν γὰρ καὶ Γόρτυς οἱ Στυμφήλου τέταρτον γένος ἦσαν ἀπὸ Ἀρκάδος· Ἀλεὸς δὲ τρίτον ὁ Ἀφείδαντος. Ἀλεὸς δὲ τῇ τε Ἀθηνᾷ τῇ Ἀλέᾳ τὸ ἱερὸν ᾠκοδόμησεν ἐν Τεγέᾳ τὸ ἀρχαῖον, καὶ αὐτῷ κατεσκεύα-

fuisse virilem prolem aiunt; filiam habuisse Neaeram, quam Autolycus Parnassi montis incola uxorem duxerit. Mercurii is filius dicebatur, quum re ipsa Daedalionis esset. (4) Atenim quum Clitor Azanis filius nullos reliquisset liberos, ad Aepytum Elati filium Arcadum regnum pervenit. Hunc venatum egressum, non ferocior aliqua bellua, sed incautum seps confecit. Vidi et ipse aliquando serpentem hanc: magnitudine est minimae viperae, cineris colore, notis interpuncta variis, capite lato, gracili collo, alvo obesiore, perbrevi cauda. In serpentum genere seps et cerastes, quo ferme modo gradiuntur cancri, in obliquum repunt. (5) Aepyto in imperium succedit Aleus. Nam Agamedes et Gortys filii Stymphali quarto posteritatis gradu ab Arcade aberant, a quo Aleus Aphidantis filius tertius duntaxat numerabatur. Exaedificavit Aleus vetustum illud, quod Tegeae visitur, Aleae Minervae fanum; ibidemque regiam suam con-

σεο αὐτόθι ἡ βασιλεία. Γόρτυς δὲ ὁ Στυμφήλου πόλιν Γόρτυνα ᾤκισεν ἐπὶ ποταμῷ· καλεῖται δὲ Γορτύνιος καὶ ὁ ποταμός. (6) Ἀλεῷ δὲ ἄρσενες μὲν παῖδες Λυκοῦργός τε καὶ Ἀμφιδάμας καὶ Κηφεύς, θυγάτηρ δὲ ἐγένετο Αὔγη. ταύτῃ τῇ Αὔγῃ τῷ Ἑκαταίου λόγῳ συνεγένετο Ἡρακλῆς, ὁπότε ἀφίκοιτο ἐς Τεγέαν· τέλος δὲ καὶ ἐφωράθη τετοκυῖα ἐκ τοῦ Ἡρακλέους· καὶ αὐτὴν ὁ Ἀλεὸς ἐσθέμενος ὁμοῦ τῷ παιδὶ ἐς λάρνακα ἀφίησιν ἐς θάλασσαν· καὶ ἡ μὲν ἀφίκετο ἐς Τεύθραντα, δυνάστην ἄνδρα ἐν Καΐκου πεδίῳ, καὶ συνῴκησεν ἐρασθέντι τῷ Τεύθραντι· καὶ νῦν ἔστι μὲν Αὔγης μνῆμα ἐν Περγάμῳ τῇ ὑπὲρ τοῦ Καΐκου, γῆς χῶμα, λίθου περιεχόμενον κρηπῖδι· ἔστι δὲ ἐν τῷ μνήματι ἐπίθημα χαλκοῦ πεποιημένον, γυνὴ γυμνή. (7) Μετὰ δὲ Ἀλεὸν τελευτήσαντα Λυκοῦργος ὁ Ἀλεοῦ τὴν βασιλείαν πρεσβείᾳ ἔσχε· παρέσχετο δὲ ἐς μνήμην, Ἀρηΐθοον, ἄνδρα πολεμικόν, δόλῳ καὶ οὐ σὺν τῷ δικαίῳ κτείνας. γενομένων δὲ αὐτῷ παίδων Ἀγκαίου τε καὶ Ἐπόχου, τὸν μὲν νοσήσαντα ἐπιλαμβάνει τὸ χρεών· Ἀγ-

stituit. Gortys vero Stymphali, Gortyna urbem ad *proximum* amnem condidit: amni etiam ipsi fuit Gortynius nomen. (6) Mares habuit liberos Aleus Lycurgum, Amphidamantum, et Cepheum: filiam Augen. Cum hac (quod scriptum Hecataeus reliquit) Hercules concubuit, quum forte Tegeam venisset. Id ubi ex puerperio filiae rescivit Aleus, puerum cum matre in arcam conclusos in mare abiecit. Delata *aestu* arca est ad Teuthrantem pollentem dominatu hominem in campis ad Caicum amnem. Is puellae forma alectus, sibi matrimonio iunxit. Exstat etiamnum Pergami (quae supra Caicum urbs est) Auges monumentum, terrae tumulus lapidea circumseptus crepidine. Insigne eius tumuli nuda mulier ex aere fabricata. (7) Aleo mortuo regnat Lycurgus, eius liberum natu maximus. Is nihil ad memoriam aliud edidit facinus, quam quod Arethum, hominem bellica virtute clarum, non aequo marte, sed dolo perculit. Filios habuit duos, Ancaeum et Epochum. Epochus

καῖος δὲ μετέσχε τοῦ πλοῦ μετέσχεν ἐς Κόλχους, καὶ ὕστερον ὁμοῦ Μελεάγρῳ τὸ ἐν Καλυδῶνι κατεργαζόμενος θηρίον, ἀπέθανεν ὑπὸ τοῦ ὑός. Λυκοῦργος μὲν δὴ πορρωτάτω γήρως ἀφίκετο ἐπιδὼν τοὺς παῖδας ἀμφοτέρους τελευτήσαντας· Λυκούργου δὲ ἀποθανόντος, Ἔχεμος ὁ Ἀερόπου τοῦ Κηφέως τοῦ Ἀλεοῦ τὴν Ἀρκάδων ἔσχεν ἀρχήν.

CAPUT V.

Echemo Arcadiae regnum obtinente Dorienses Peloponnesum ingrediuntur et fugantur — Agapenor rex Arcadas ad Troiam ducit et Paphum condit — de Hippothoo et Aepyto, Arcadiae regibus — Cypselo regnante Dorienses Peloponnesum navibus invadunt — de Cypseli posteris — Polymestore regnante Lacedaemonii Tegeatarum fines invadunt — Aechmide regnante bellum Messenicum geritur — Aristocratis regis nefandum facinus — de Aristocrate, prioris Aristocratis nepote.

Ἐπὶ τούτου Δωριεῖς κατιόντας ἐς Πελοπόννησον ὑπὸ 607 ἡγεμόνι Ὕλλῳ τῷ Ἡρακλέους Ἀχαιοὶ περὶ Ἰσθμὸν τῶν Κορινθίων κρατοῦσι μάχῃ, καὶ Ἔχεμος ἀποκτίννυσιν Ὕλλον μονομαχήσαντά οἱ κατὰ πρόκλησιν. τάδε γὰρ ἐφαίνετο εἰκότα εἶναί μοι μᾶλλον ἢ ὁ πρότερος λόγος, ἐν ᾧ

morbo est absumtus: Ancaeus quum expeditionis Colchicae particeps fuisset, ac deinde Meleagro in oppugnatione Calydonii apri operam navaret suam, ab eadem stratus bellua occubuit. Lycurgus quidem ipse exacta iam aetate, utroque orbatus filio, diem suum obiit: post quem Arcadum regnum ad Echemum pervenit Aeropi filium, Cephei nepotem, Alei pronepotem.

Cap. V. Hoc regnante Achaei Dorienses ad Isthmum Corinthiorum praelio fuderunt, reditum sibi in Peloponnesum, Hyllo Herculis filio duce molientes. In ea pugna Echemus Hyllum occidit: cum eo singulari certamine ex provocatione congressus. Haec mihi propiora vero visa sunt,

βασιλεύειν τε Ἀχαιῶν τηνικαῦτα Ὀρέστην ἔγραψε, καὶ Ὕλλον [καὶ] Ὀρέστου βασιλεύοντος ἀποπειρᾶσαι καθόδου τῆς ἐς Πελοπόννησον. φαίνοιτο δ' ἂν τῷ ὑστέρῳ τῶν λόγων καὶ Τιμάνδρα συνοικήσασα ἡ Τυνδάρεω τῷ ἀποκτείναντι Ὕλλον Ἐχέμῳ. (2) Ἀγαπήνωρ δὲ ὁ Ἀγκαίου τοῦ Λυκούργου μετὰ Ἔχεμον βασιλεύσας, ἐς Τροίαν ἡγήσατο Ἀρκάσιν. Ἰλίου δὲ ἁλούσης, ὁ τοῖς Ἕλλησι κατὰ τὸν πλοῦν τὸν οἴκαδε ἐπιγενόμενος χειμὼν Ἀγαπήνορα καὶ τὸ Ἀρκάδων ναυτικὸν κατήνεγκεν ἐς Κύπρον· καὶ Πάφου τε Ἀγαπήνωρ ἐγένετο οἰκιστὴς, καὶ τῆς Ἀφροδίτης κατεσκευάσατο ἐν Παλαιπάφῳ τὸ ἱερόν· τέως δὲ ἡ θεὸς παρὰ Κυπρίων τιμὰς εἶχεν ἐν Γολγοῖς καλουμένῳ χωρίῳ. χρόνῳ δὲ ὕστερον Λαοδίκη γεγονυῖα ἀπὸ Ἀγαπήνορος ἔπεμψεν ἐς Τεγέαν τῇ Ἀθηνᾷ τῇ Ἀλέᾳ πέπλον· τὸ δὲ ἐπὶ τῷ ἀναθήματι ἐπίγραμμα καὶ αὐτῆς Λαοδίκης ἅμα ἐδήλου τὸ γένος·

Λαοδίκης ὅδε πέπλος· ἑᾷ δ' ἀνέθηκεν Ἀθηνᾷ
Πατρίδ' ἐς εὐρύχορον Κύπρου ἄπο ζαθέας.

quam quod a nonnullis scriptum comperi, penes Orestem tunc Achaeorum regnum fuisse, atque eius maxime temporibus Hyllum *cum Doriensibus* reditum tentasse. Verum si maior habeatur superius expositae rei ratio, credendum illud etiam est apud Echemum, a quo Hyllus occisus, matrimonii causa Timandram fuisse Tyndarei filiam. (2) Agapenor dehinc regnat, Ancaei filius, Lycurgi nepos; quo duce Arcades ad Troianum bellum profecti. Ilio vero everso, quae Graecos domum redeuntes disiecit tempestas, Arcadum classem ab instituto navigationis cursu Cyprum avertit. Ibi Agapenor Paphum urbem coloniam deduxit; et in ea Veneris fanum erexit, quum ante apud Cyprios dea haec in *modico* oppido, cui Golgi nomen, coleretur. Interiecto dein tempore, Laodice ex Agapenoris posteritate Aleae Minervae *donum* Tegeam peplum misit: id ipsius doni inscriptio, et simul unde esset Laodice oriunda, indicabat:

Laodices peplum hoc. Sacrum ut foret illa Minervae,
E Cypro celebrem transtulit in patriam.

(3) Ἀγαπήνορος δὲ οὐκ ἀνασωθέντος οἴκαδ' ἐξ Ἰλίου,
παρέλαβε τὴν ἀρχὴν Ἱππόθους Κερκυόνος τοῦ Ἀγαμή-
δους τοῦ Στυμφήλου. καὶ τῷ μὲν ἐπιφανὲς συμβῆναι
παρὰ τὸν βίον φασὶν οὐδέν, πλὴν ὅσον οὐκ ἐν Τεγέᾳ
τὴν βασιλείαν κατεστήσατο, ἀλλὰ ἐν Τραπεζοῦντι. Αἴπυ-
τος δὲ ὁ Ἱππόθου μετὰ τὸν πατέρα ἔσχε τὴν ἀρχήν· καὶ
Ὀρέστης ὁ Ἀγαμέμνονος κατὰ μαντείαν τοῦ ἐν Δελφοῖς
Ἀπόλλωνος μετῴκησεν ἐς Ἀρκαδίαν ἐκ Μυκηνῶν. Αἰπύτῳ 608
δὲ τῷ Ἱππόθου παρελθεῖν ἐς τὸ ἱερὸν τοῦ Ποσειδῶνος
τὸ ἐν Μαντινείᾳ τολμήσαντι (ἔσοδος δὲ ἀνθρώποις οὔτε
τότε ἐς αὐτὸ ἦν, οὔτε ἄχρι ἡμῶν ἐστιν) ἐς τοῦτο ἐσελ-
θόντι τυφλωθῆναι, καὶ οὐ μετὰ πολὺ τῆς συμφορᾶς τε-
λευτῆσαί οἱ τὸν βίον ἐγένετο. (4) Κυψέλου δὲ τοῦ Αἰ-
πύτου βασιλεύσαντος μετὰ Αἴπυτον, ὁ Δωριέων στόλος
οὐ διὰ τοῦ Κορινθίων ἰσθμοῦ, καθὰ ἐπὶ τρεῖς τὰς πρό-
τερον γενεάς, ναυσὶ δὲ κατὰ τὸ ὀνομαζόμενον Ῥίον κά-
τεισιν ἐς Πελοπόννησον. Πυνθανόμενος τὰ ἐς αὐτοὺς ὁ
Κύψελος, ἕνα τῶν Ἀριστομάχου παίδων οὐκ ἔχοντά πω

Quum ad suos non revertisset Agapenor, suscepit Arcadum imperium Hippothous Cercyone patre, avo Agamede, Stymphalo proavo genitus. Huius vita nullo celebratur insigni rerum eventu, praeter illud unum, quod regni sedem Tegea Trapezuntem transtulit. Hic regnum filio Aepyto per manus tradidit. Et *Aepylo quidem regnante* Orestes Agamemnonis filius Mycenis oraculi Delphici monitu in Arcadiam demigravit. Aepytus quum in templum Neptuni, quod Mantineae est, penetrare esset ausus, quo nulli cuiquam homini hac ipsa etiam aetate fas est accedere, oculis primum captus deinde non ita multo post e vita excessit. (4) Eius filio Cypselo regnum adepto, Dorici nominis *exules* copiis contractis, non ut tribus ante aetatibus per Isthmum, sed classe Rhion promontorium *praetervecti*, in Peloponnesum invaserunt. Forte Cypselus dum studiosius omnia exquirit, cognoscit Cresphontem Aristomachi filium nullis

γυναῖκα εὕρισκε· τούτῳ τὴν θυγατέρα ἐκδοὺς καὶ οἰκειωσάμενος τὸν Κρεσφόντην, αὐτός τε καὶ οἱ Ἀρκάδες ἐκτὸς ἐστήκεσαν δείματος. (6) [Ὁ] Λαίας δὲ ἦν Κυψέλου παῖς, ὃς καὶ τῆς ἀδελφῆς τὸν παῖδα Αἴπυτον, σὺν δὲ αὐτῷ καὶ οἱ ἐκ Λακεδαίμονος καὶ Ἄργους Ἡρακλεῖδαι κατάγουσιν ἐς Μεσσήνην· τοῦ δὲ ἦν Βουκολίων· τοῦ δὲ Φίαλος, ὃς τὸν Λυκάονος Φίγαλον οἰκιστὴν ὄντα ἀφελόμενος τὴν τιμὴν, Φιαλίαν τὸ ὄνομα τῇ πόλει μετέθετο ἀφ' αὑτοῦ· οὐ μὴν καὶ ἐς ἅπαν γε ἐξενίκησεν. ἐπὶ δὲ Σίμου τοῦ Φιάλου βασιλεύοντος ἠφανίσθη Φιγαλεῦσιν ὑπὸ πυρὸς τῆς Μελαίνης Δήμητρος τὸ ἀρχαῖον ξόανον· ἐσήμαινε δ' ἄρα, οὐ μετὰ πολὺ ἔσεσθαι καὶ αὐτῷ Σίμῳ τοῦ βίου τὴν τελευτήν. Πόμπου δὲ ἐκδεξαμένου τοῦ Σίμου τὴν ἀρχὴν, Αἰγινῆται κατὰ ἐμπορίαν ἐσέπλεον κατασὶν ἐς Κυλλήνην· ἐκεῖθεν δὲ ὑποζυγίοις τὰ φορτία ἀνῆγον παρὰ τοὺς Ἀρκάδας. ἀντὶ τούτου ἐτίμησεν ὁ Πόμπος μεγάλως, καὶ δὴ καὶ ὄνομα Αἰγινήτην τῷ παιδὶ

etiamnum nuptiis illigatum: quare desponsa ei filia, se, omnemque regni partem nova affinitate contra eius belli terrorem facile tutatus est. (6) Cypselo successit Olaeas. Is Aepytum sororis filium cum Herculis posteris, qui Lacedaemone et Argis in auxilium venerant, Messenen reduxit. Bucolion dehinc patris regnum excipit; idemque filio relinquit Phialo. Hic Phigaliam urbem, erepto suae laudis monumento conditori Phigalo, Phialiam de suo nomine voluit appellari: quod tamen non est omnino constanter usurpatum. Iam regnabat Simus Phiali filius, quum Cereris *cognomento* Nigrae pervetustum signum, quod *religione* venerabantur Phigalenses, est igni consumtum: quae res Simo vitae finem, qui brevi consecutus est, facile videri potuit portendisse. Paternum regnum adiit Pompus. Eo regnante Aeginetae navibus primum Cyllenen appellere commercii causa instituere. Inde vero ad Arcades iumentis *impositas* merces pervehebant. Ea *erga se populareque suos* Aeginetarum studia tam illustri gratia Pompus excepit, ut filio

ἔθετο ἐπὶ τῶν Αἰγινητῶν τῇ φιλίᾳ. (6) Μετὰ δὲ Αἰγινήτην Πολυμήστωρ ἐγένετο ὁ Αἰγινήτου βασιλεὺς Ἀρκά- 609
δων. καὶ Λακεδαιμόνιοι καὶ Χάριλλος πρῶτον τότε ἐς τὴν Τεγεατῶν ἐσβάλλουσι στρατιᾷ· καὶ σφᾶς αὐτοί τε οἱ Τεγεᾶται καὶ γυναῖκες ὅπλα ἐνδῦσαι μάχῃ νικῶσι, καὶ τόν τε ἄλλον στρατὸν, καὶ αὐτὸν Χάριλλον ζῶντα αἱροῦσι. Χαρίλλου μὲν δὴ καὶ τῆς σὺν αὐτῷ στρατιᾶς ἐς πλέον μνήμην ποιησόμεθα ἐν τοῖς Τεγεατικοῖς. Πολυμήστορι δὲ οὐ γενομένων παίδων, παρέλαβεν Αἶχμις τὴν ἀρχὴν, Βριάκα μὲν παῖς, Πολυμήστορος δὲ ἀδελφιδοῦς· Αἰγινήτου γὰρ ἦν καὶ Βριάκας, νεώτερος δὲ ἦν Πολυμήστορος. (7) Αἴχμιδος δὲ βασιλεύσαντος, Λακεδαιμονίοις ἐγένετο ὁ πρὸς Μεσσηνίους πόλεμος. τοῖς δὲ Ἀρκάσιν ὑπῆρχε μὲν ἐς τοὺς Μεσσηνίους εὔνοια ἐξ ἀρχῆς, τότε δὲ καὶ ἐκ τοῦ φανεροῦ πρὸς Λακεδαιμονίους ἐμαχέσαντο μετὰ Ἀριστοδήμου βασιλεύοντος ἐν Μεσσήνῃ. (8) Ἀριστοκράτης δὲ ὁ Αἴχμιδος τάχα μέν που καὶ ἄλλα ἐς τοὺς Ἀρκάδας ὕβρισεν· ἃ δὲ ἀνοσιώτατα ἔργων ἐς θεοὺς ἐρ-

etiam Aeginetae nomen imposuerit. (6) Aeginetam consecutus est eius filius Polymestor. Tunc primum Lacedaemonii Charilli ductu Tegeatarum fines cum exercitu adorti sunt. Eos non viri solum, sed foeminae etiam sumtis armis praelio fuderunt, et cum magna hostium manu ipsum quoque ducem vivum cepere. Verum de Charillo, totaque hac eius expeditione plura memorabimus, ubi res Tegeatarum fuerint explicandae. Polymestori quum nulli essent liberi, successit Aechmis, Polymestoris fratre Briaca genitus: fuit enim Aeginetae Briacas etiam filius, Polymestore natu minor. (7) Dum Aechmis regnum obtineret, bellum inter Lacedaemonios et Messenios geri coeptum. Fuerat antiquitus Arcadibus cum Messeniis amicitia; quocirca tunc minime occulte cum Aristodemo Messeniorum rege in acie contra Spartanos stetere. (8) Aechmidis vero filius Aristocrates, et alia fortasse contra suos populares insolenter egit: sed quod in deos *ipsos immortales* eum admisisse nefarium

γασάμενον οἶδα αὐτὸν, ἐπέξεισί μοι ταῦτα ὁ λόγος. ἔστιν Ἀρτέμιδος ἱερὸν Ὑμνίας ἐπίκλησιν· τοῦτο ἐν ὅροις μέν ἐστιν Ὀρχομενίων, πρὸς δὲ τῇ Μαντινικῇ· σέβουσιν ἐκ παλαιοτάτου καὶ οἱ πάντες Ἀρκάδες Ὑμνίαν Ἄρτεμιν. ἐλάμβανε δὲ τὴν ἱερωσύνην τῆς θεοῦ τότε ἔτι κόρη παρθένος. Ἀριστοκράτης δὲ, ὥς οἱ πειρῶντι τὴν παρθένον ἀντέβαινεν ἀεὶ τὰ παρ' αὐτῆς, τέλος καταφεύγουσαν ἐς τὸ ἱερὸν παρὰ τῇ Ἀρτέμιδι ᾔσχυνεν. ὡς δὲ ἐς ἅπαντας ἐξηγγέλθη τὸ τόλμημα, τὸν μὲν καταλιθοῦσιν οἱ Ἀρκάδες· μετεβλήθη δὲ ἐξ ἐκείνου καὶ ὁ νόμος. ἀντὶ γὰρ παρθένου διδόασι τῇ Ἀρτέμιδι ἱέρειαν γυναῖκα, ὁμιλίας ἀνδρῶν ἀποχρώντως ἔχουσαν. Τούτου δὲ υἱὸς ἐγένετο Ἱκέτας, Ἱκέτα δὲ Ἀριστοκράτης ἄλλος ὁμώνυμός τε τῷ προγόνῳ, καὶ δὴ καὶ τοῦ βίου τὴν αὐτὴν ἔσχεν ἐκείνῳ τελευτήν. κατελίθωσαν γὰρ καὶ τοῦτον οἱ Ἀρκάδες, φωράσαντες δῶρα ἐκ Λακεδαίμονος εἰληφότα, καὶ Μεσσηνίοις τὸ ἐπὶ τῇ Μεγάλῃ Τάφρῳ πταῖσμα προδοσίαν τοῦ Ἀριστοκράτους οὖσαν. αὕτη δὲ ἡ ἀδικία καὶ τῷ γένει

facinus compertum habeo, *hoc loco* non praetermiserim. Est in Orchomeniorum finibus Mantinensi agro finitimum Dianae Hymniae cognomento fanum; quam antiquissima religione Arcades venerantur universi. Deae sacris tunc virgo praesidebat: eam quum ad stuprum pellicere Aristocrates non potuisset, postremo ad aram deae confugientem violavit. Scelere patefacto, incestum hominem Arcades lapidibus obruerunt, et a virgine ad mulierem sacerdotii honorem transtulerunt virorum congressibus iam exsatiatam. (9) Huic filius fuit Hicetas; Hicetae, minor Aristocrates, avo tam exitu vitae, quam nomine similis. Nam et hunc lapidum coniectu necarunt Arcades manifestae proditionis damnatum. Constabat enim dona eum a Lacedaemoniis cepisse, eiusque maxime scelere insigni clade Messenios ad Magnam fossam affectos. Effecit hoc flagitium, ut a Cypseli domo Arcadum imperium removeretur. Atque haec quidem, quae de

τῷ ἀπὸ Κυψέλου παντὶ παρέσχεν αἰτίαν καυθῆναι τῆς ὀργῆς. τὰ μὲν δὴ ἐς τοὺς βασιλεῖς πολυπραγμονήσαντί μοι κατὰ ταῦτα ἐγενεαλόγησαν οἱ Ἀρκάδες.

CAPUT VI.

Arcadum res bellis gestae memorantur — de vario ad Arcadiam aditu.

Κοινῇ δὲ Ἀρκάσιν ὑπῆρχεν ἐς μνήμην τὰ μὲν ἀρχαιό- 610
τερα, ὁ πρὸς Ἰλίῳ πόλεμος, δεύτερα δὲ, ὁπόσα ἀμύνοντες Μεσσηνίοις Λακεδαιμονίων ἐναντία ἐμαχέσαντο· μέτεστι δὲ καὶ πρὸς Μήδους σφίσιν ἔργου τοῦ ἐν Πλαταιαῖς. Λακεδαιμονίοις δὲ ἀνάγκῃ πλέον καὶ οὐ μετ' εὐνοίας ἐπί τε Ἀθηναίους συνεστρατεύσαντο, καὶ ἐς τὴν Ἀσίαν μετὰ Ἀγησιλάου διέβησαν· καὶ δὴ καὶ ἐς Λεῦκτρα αὐτοῖς τὰ Βοιωτικὰ ἠκολούθησαν. τὸ δὲ ὕποπτον τὸ ἐς τοὺς Λακεδαιμονίους ἀλλαχοῦ τε ἐπεδείξαντο, καὶ μετὰ τὸ ἀτύχημα Λακεδαιμονίων τὸ ἐν Λεύκτροις παρὰ Θηβαίους αὐτίκα ἁπάντων μάλιστα μετέστησαν. Φιλίππῳ

regum serie ac gentilitate sum *accurate* persecutus, omnia mihi studiose percontanti Arcades *quidam, quibus erant haec cuncta diligentissime explorata*, enarrarunt.

Cap. VI. Quod vero ad res eorum publicis totius gentis auspiciis gestas attinet, antiquissima memoria est Iliacae expeditionis. Alterum obtinet antiquitatis locum Messenici belli societas. Fuerunt et ipsorum partes aliquae in pugna Plataeensi, qua Persae fusi fuere. Spartanis contra Athenienses non partium studio adducti, sed necessitate potius coacti auxilia misere. Transmiserunt etiam in Asiam cum Agesilao: quin et Leuctricae pugnae interfuerunt. Fuisse tamen semper ambiguo se animo in Lacedaemonios, et alias declararunt, et tunc maxime quum post Leuctricam cladem primi statim omnium ad Thebanos desciverunt. Iidem cum *reliquis* Graecis neque contra Philippum Macedonum regem

δὲ καὶ Μακεδόσιν ἐν Χαιρωνείᾳ, καὶ ὕστερον ἐν Θεσσαλίᾳ πρὸς Ἀντίπατρον οὐκ ἐμαχέσαντο μετὰ Ἑλλήνων, οὐ μὴν οὐδὲ τοῖς Ἕλλησιν ἐναντία ἐτάξαντο. πρὸς Γαλάτας δὲ τοῦ ἐν Θερμοπύλαις κινδύνου φασὶ Λακεδαιμονίων εἵνεκα οὐ μετασχεῖν, ἵνα μὴ σφισιν οἱ Λακεδαιμόνιοι κακουργοῖεν τὴν γῆν ἀπόντων τῶν ἐν ἡλικίᾳ. συνεδρίου δὲ τῶν Ἀχαιῶν μετέσχον οἱ Ἀρκάδες προθυμότατα Ἑλλήνων. ὁπόσα δὲ αὐτοῖς οὐχ ἐν κοινῷ, κατὰ πόλεις δὲ ἰδίᾳ συμβεβηκότα εὕρισκον, ἀποδηλώσομεθα αὐτῶν ἕκαστον εἰς τὸ οἰκεῖον τοῦ λόγου.

(2) Εἰσὶν οὖν ἐς Ἀρκαδίαν ἐσβολαὶ κατὰ τὴν Ἀργείαν, πρὸς μὲν Ὑσιῶν, καὶ ὑπὲρ τὸ ὄρος τὸ Παρθένιον ἐς τὴν Τεγεατικήν· δύο δὲ ἄλλαι κατὰ Μαντίνειαν διά τε Πρίνου καλουμένης, καὶ διὰ Κλίμακος. αὕτη δὲ εὐρυτέρα τέ ἐστι, καὶ ἡ κάθοδος εἶχεν αὕτη βαθμίδας ποτὲ ἐμπεποιημένας. ὑπερβαλλόντων δὲ τὴν Κλίμακα, χωρίον ἐστὶν ὀνομαζόμενον Μελαγγεῖα, καὶ τὸ ὕδωρ αὐτόθεν τὸ πότιμον Μαντινεῦσι κάτεισιν ἐς τὴν πόλιν. προελθόντι

ad Chaeroneam, neque contra Antipatrum in Thessalia arma cepere; non tamen hostile quicquam in Graecos admisere. Quod vero ipsi quoque ad Thermopylas contra Gallos non prodierint, eam nempe afferunt causam, veritos, ne interea, dum militaris aetas abesset, Lacedaemonii agrum populationibus vexarent. Ad Achaeorum concilium promptius se, quam ulli Graeciae populi, aggregarunt. Haec in commune ab Arcadibus *diversis temporibus* gesta: quae vero gessisse privatim urbes acceperim, suis illa locis referentur. (2) Ducit in Arcadiam ex Argivorum finibus trames is, qui ab Hysiis iuxta Parthenium montem in agrum Tegeaticum pervadit. Duo vero alii accessus circa Mantineam, per Prinum (*loco ab ilice opinor nomen*) et Scalas: sed posterior hic latior, et *ex eo nomen habet, quod* olim gradus in ea semita, per quos descendebatur, *de industria* facti fuerant. Perveniunt, qui hinc descenderint, ad vicum, cui nomen Melangea; unde poculenta Mantinensibus aqua infra oppi-

δὲ ἐκ τῶν Μελαγγείων, ἀπέχοντι τῆς πόλεως στάδια ὡς
ἑπτά, ἔστι κρήνη Μελιαστῶν· οἱ Μελιασταὶ δὲ αὐτοὶ
δρῶσι τὰ ὄργια τοῦ Διονύσου· καὶ Διονύσου τε μέγα-
ρον πρὸς τῇ κρήνῃ, καὶ Ἀφροδίτης ἐστὶν ἱερὸν Μελαι-
νίδος. ἐπίκλησιν δὲ ἡ θεὸς ταύτην κατ' ἄλλο μὲν ἔσχεν
οὐδέν, ὅτι δὲ ἀνθρώποις μὴ τὰ πάντα αἱ μίξεις ὥσπερ
τοῖς κτήνεσι μεθ' ἡμέραν, τὰ πλείω δέ εἰσιν ἐν νυκτί.
ἡ δὲ ὑπολειπομένη τῶν ὁδῶν στενωτέρα ἐστὶ τῆς προτέ- 611
ρας, καὶ ἄγει διὰ τοῦ Ἀρτεμισίου. τούτου δὲ ἐπεμνή-
σθην καὶ ἔτι πρότερον τοῦ ὄρους, ὡς ἔχοι μὲν ναὸν καὶ
ἄγαλμα Ἀρτέμιδος, ἔχοι δὲ καὶ τοῦ Ἰνάχου τὰς πηγάς.
ὁ δὲ Ἴναχος, ἐφ' ὅσον μὲν πρόεισι κατὰ τὴν ὁδὸν τὴν
διὰ τοῦ ὄρους, τοῦτό ἐστιν Ἀργείοις καὶ Μαντινεῦσιν
ὅρος τῆς χώρας· ἀποστρέψας δὲ ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ,
διὰ τῆς Ἀργείας ἤδη τὸ ἀπὸ τούτου κάτεισι, καὶ ἐπὶ
τούτῳ τὸν Ἴναχον ἄλλοι τε καὶ Αἰσχύλος ποταμὸν κα-
λοῦσιν Ἀργεῖον.

dum defluit. Ubi e Melangeis progressus septem fere stadiis ab urbe abfueris, occurrit fons Meliastarum. Hi Meliastae Bacchi orgia celebrant, cui ad fontem istum sacra est aedes. Est ibidem etiam Veneris *cognomine* Melaenidis *(id est Nigellae)* aedes. Cognominis causam non aliam esse arbitror, quam quod homines noctu maxime liberis operam dent, quum pecudes interdiu fere *sui quaeque* semper *generis* foeminas ineant. Trames alter, qui per Artemisium ducit, longe est angustior. Huius montis et ante mentionem feci, in quo esse dixi Dianae templum, et simulacrum. Fons etiam in eo Inachi amnis. Is qua per montem decurrit, inter Argivos et Mantinenses terminus est; ubi vero ex illâ via se averterit, reliquum deinceps cursum per Argivam regionem absolvit: quare et alii, et Aeschylus poeta, Argivum fluvium, appellant.

CAPUT VII.

De campo Argo dicto — Dine, aqua maris dulci — aquis ferventibus — Philippo, Macedonum rege — Olympiadis crudelitate et Cassandri stirpe exstincta.

Υπερβάλλοντα δὲ ἐς τὴν Μαντινικὴν διὰ τοῦ Ἀρτεμισίου, πεδίον ἐκδέξεταί σε Ἀργὸν καλούμενον, καθάπερ γε καὶ ἔστι· τὸ γὰρ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ κατερχόμενον ἐς αὐτὸ ἐκ τῶν ὀρῶν ἀργὸν εἶναι τὸ πεδίον ποιεῖ, ἐκώλυέ τε οὐδὲν αὐτὸ πεδίον τοῦτο εἶναι λίμνην, εἰ μὴ τὸ ὕδωρ ἠφανίζετο ἐς χάσμα γῆς· ἀφανισθὲν δὲ ἐνταῦθα ἄνεισι κατὰ τὴν Δεινήν. (2) Ἔστι δὲ ἡ Δεινὴ κατὰ τὸ Γενέθλιον καλούμενον τῆς Ἀργολίδος, ὕδωρ γλυκὺ ἐκ θαλάσσης ἀνερχόμενον. τὸ δὲ ἀρχαῖον καθίεσαν ἐς τὴν Δεινὴν τῷ Ποσειδῶνι ἵππους οἱ Ἀργεῖοι, κεκοσμημένους χαλινοῖς. γλυκὺ δὲ ὕδωρ ἐκ θαλάσσης δῆλόν ἐστιν ἐνταῦθά τε ἀνιὸν ἐν τῇ Ἀργολίδι, καὶ ἐν τῇ Θεσπρωτίδι κατὰ τὸ Χειμέριον καλούμενον. (3) Θαύματος δὲ ἔτι πλέονός ἐστιν ἐν Μαιάνδρῳ ζέον ὕδωρ· τὸ μὲν ἐκ πέτρας, περιέχοντος τοῦ ῥεύματος τὴν πέτραν, τὸ δὲ καὶ

Cap. VII. Hinc Artemisio superato in Mantinensium fines descendentes planities excipit, re aeque ac nomine iners: Argum vocant. Cultus immune solum efficit e *proximis* montibus defluens aqua pluvia. Quo minus totus omnino campus stagnum fiat, illud unum obstat, quod aqua hiantem specum nacta se e conspectu eripit; rursus vero circa Dinen erumpit. (2) Est Dine ad Genethlium (in Argolica terra hoc nomine vicus dicitur) dulcis aquae e mari *per subterraneos meatus* erumpentis lacus. In Dinen Argivi olim Neptuno equos porriciebant fraenatos, *et ad speciem phaleris* exornatos. Dulcis vero aquae venas e mari effundi non in Argolicis tantum finibus, sed in Thesprotide etiam prope eum locum, quod vocant Chimerium, satis constat. (3) Mirabilius tamen quod in Maeandro partim e saxo, quod amnis circumfluit, partim etiam e fluviali limo fer-

ἐκ τῆς ἰλύος ἄνεισι τοῦ ποταμοῦ. πρὸ Δικαιαρχίας δὲ τῆς Τυρσηνῶν ὕδωρ τε ἐν θαλάσσῃ ζέον, καὶ νῆσος δι' αὐτό ἐστι χειροποίητος, ὡς μηδὲ τοῦτο τὸ ὕδωρ ἀργὸν εἶναι, ἀλλά σφισι θερμὰ λουτρά. (4) Τοῦ δὲ Ἀργοῦ καλουμένου πεδίου Μαντινεῦσιν ὄρος ἐστὶν ἐν ἀριστερᾷ, σκηνῆς τε Φιλίππου τοῦ Ἀμύντου, καὶ κώμης ἐρείπια ἔχον Νεστάνης· πρὸς ταύτῃ γὰρ στρατοπεδεύσασθαι τῇ Νεστάνῃ Φίλιππον λέγουσι, καὶ τὴν πηγὴν αὐτόθι ὀνομάζουσιν ἔτι ἀπὸ ἐκείνου Φιλίππιον. ἀφίκετο δὲ ἐς Ἀρκαδίαν Φίλιππος, οἰκειωσόμενός τε Ἀρκάδας, καὶ ἀπὸ τοῦ Ἑλληνικοῦ σφᾶς τοῦ ἄλλου διαστήσων. Φίλιππον 612 δὲ βασιλέων μὲν τῶν πρὸ αὐτοῦ, καὶ ὅσοι Μακεδόσι γεγόνασιν ὕστερον, τούτων μὲν πείθοιτο ἄν τις μάλιστα αὐτὸν ἔργα ἐπιδείξασθαι· στρατηγὸν δὲ ἀγαθὸν οὐκ ἄν τις φρονῶν ὀρθὰ καλέσειεν αὐτόν· ὅς γε καὶ ὅρκους θεῶν κατεπάτησεν ἀεὶ, καὶ σπονδὰς ἐπὶ παντὶ ἐψεύσατο, πίστιν τε ἠτίμασε μάλιστα ἀνθρώπων· καί οἱ τὸ ἐκ τοῦ

vens aqua profluit. Siculi et iuxta Dicaearchian Tyrrhenorum *oppidum, qui Puteoli iam recentiore nomine appellantur*, calidae effervescunt in mari aquae: ubi *iactis molibus* de industria exstructa est insula cum balneis aquarum calidarum, ne *plane naturalis* eius muneris nullus esset usus. (4) Ad laevam eorum camporum, quos Argos diximus appellari, mons in Mantinensibus eminet, in quo Philippi Amyntae filii castrorum, et pagi, cui nomen Nestane, reliquiae exstant. Castra enim Philippus ad hanc Nestanen habuisse dicitur: et fontem etiam proximum ex eo Philippeum nominant. Venit in Arcadiam Philippus, ut a reliquis Graecis Arcadas disiungeret suoque eos imperio adiiceret. Et Philippum quidem facile quivis sibi persuadeat, rerum gestarum magnitudine omnes Macedonum reges, qui ante fuerunt, quique ipsum consecuti sunt, superasse: nemo tamen, qui recta sit in rebus existimandis sententia, ei boni imperatoris laudem tribuerit, nempe qui iusiurandum semper contempserit, foedera quamlibet ob causam fefellerit,

θεοῦ. μήνιμα ἀπήντησεν οὐκ ὀψέ. πρῶτα δὲ, ὧν ἴσμεν, Φίλιππος μὲν οὐ πρόσω βιώσας ἓξ τε καὶ τεσσαράκοντα ἐτῶν, τὸ μάντευμα ἐξετέλεσε τὸ ἐκ Δελφῶν, ὃ δὴ χρωμένῳ οἱ περὶ τοῦ Πέρσου γενέσθαι λέγουσιν·

Ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.

τοῦτο μὲν δὴ οὐ μετὰ πολὺ ἐδήλωσεν οὐκ ἐς τὸν Μῆδον, ἀλλὰ ἐς αὐτὸν ἔχον Φίλιππον. (5) Ἐπὶ δὲ Φιλίππῳ τελευτήσαντι Φιλίππου παῖδα νήπιον, γεγονότα δὲ ἐκ Κλεοπάτρας ἀδελφιδῆς Ἀττάλου, τοῦτον τὸν παῖδα ὁμοῦ τῇ μητρὶ Ὀλυμπιὰς ἐπὶ σκεύους χαλκοῦ, πυρὸς ἐπιβεβλημένου, διέφθειρεν ἕλκουσα· χρόνῳ δὲ ὕστερον καὶ Ἀριδαῖον ἀπέκτεινεν. ἔμελλε δ' ἄρα ὁ δαίμων καὶ τὸ γένος τὸ Κασσάνδρου κακῶς ἐξαμήσειν. Κασσάνδρῳ δὲ οἱ παῖδες ἐκ Θεσσαλονίκης γεγόνασι τῆς Φιλίππου· Θεσσαλονίκῃ δὲ ἦσαν καὶ Ἀριδαίῳ μητέρες Θεσσαλαί. τὰ δὲ ἐς Ἀλέξανδρον καὶ τοῖς πᾶσιν ὁμοίως δῆλά ἐστιν [Ἀλεξάν-

unusque omnium in minimis fidem duxerit. Poenas tamen non utique seras Deo, *cuius laesérat maiestatem*, dedit. Neque enim natu grandior annorum XLVI, Delphici oraculi vocem *vitae exitu* comprobavit. Consulenti de Persico bello redditum fuerat responsum:

Serta gerit taurus, finem manet, adstat aruspex.

Quod non ad Persarum regem, sed ad ipsum Philippum referendum fuisse, rei eventus satis perspicue demonstravit. (5) Philippo interempto, parvulum eius filium, quem ille ex Cleopatra, cui pater fuerat Attali frater, susceperat, una cum matre in aeneo vase ignibus circumdatis cruciatum, Olympias enecuit. Eadem paucis post annis Aridaeum etiam de medio sustulit. Delevit autem infensissima fati vis Cassandri etiam sobolem, exstinctis filiis, quos ille ex Thessalonica Philippi filia susceperat: Thessalis quidem matribus Thessalonice et Aridaeus geniti fuerant. Iam qui Alexandro contigerit vitae exitus, vel pueris notissimum. Quod si

ὅρον Φοίνικος]. εἰ δὲ τοῦ ἐς Γλαῦκον τὸν Σπαρτιάτην ἐποιήσατο ὁ Φίλιππος λόγον, καὶ τὸ ἔπος ἐφ' ἑκάστῳ τῶν ἔργων ἀνεμίμνησκεν αὐτόν,

Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀρείων·

οὐκ ἂν οὕτω δίχα λόγου δοκεῖ μοι θεῶν τις Ἀλεξάνδρου τε ὁμοῦ τὸν βίον καὶ ἀκμὴν τὴν Μακεδόνων σβέσαι. τόδε μὲν ἡμῖν ἐγένετο ἐπεισόδιον τῷ λόγῳ.

CAPUT VIII.

Chorus Maerae — de fonte Arne narratio — de Mantineensium urbe eiusque conditore et amne Ophi — Mantineensium rebus bello gestis — Mantinea a Lacedaemoniis capta — reliquis Mantineensium fatis usque ad Adriani imperatoris tempora.

Μετὰ δὲ τὰ ἐρείπια τῆς Νεστάνης ἱερὸν Δήμητρός ἐστιν 613
ἅγιον, καὶ αὐτῇ καὶ ἑορτὴν ἀνὰ πᾶν ἔτος ἄγουσιν οἱ Μαντινεῖς. καὶ κατὰ τὴν Νεστάνην ὑπόκειται μάλιστα μοῖρα μὲν [καὶ αὐτὴ] τοῦ πεδίου τοῦ Ἀργοῦ, Χορὸς δὲ ὀνομάζεται Μαίρας· τοῦ πεδίου δέ ἐστιν ἡ διέξοδος τοῦ Ἀργοῦ σταδίων δέκα. (2) Ὑπερβὰς δὲ οὐ πολύ, ἐς ἕτερον καταβήσῃ πεδίον· ἐν τούτῳ δὲ παρὰ τὴν λεωφόρον

Philippus, quoties aliquid moliretur, elogium illud in Spartanum Glaucum editum in memoria habuisset, eiusque sibi rationem habendam duxisset,

Sancta patris melior sequitur vestigia proles,

causa opinor non fuisset, quamobrem deorum quis Alexandro exstincto, Macedonum etiam opes everteret. Sed fuerit haec nobis non intempestiva digressio.

Cap. VIII. Post Nestanes ruinas, Cereris fanum est multae religionis. In eo Mantinenses festos dies quotannis agitant. Subiacet Nestanae planities, inertium camporum pars: Maeras ei loco nomen. *Ab eo* stadia x patet egressus ex inertibus campis. (2) Ubi paululum hinc processeris, ad alios campos venias. In his fons est prope mili-

ἰοῦσιν Ἄρνη καλουμένη κρήνη. λέγεται δὲ καὶ τοιάδε ὑπὸ Ἀρκάδων· Ῥέα ἡνίκα Ποσειδῶνα ἔτεκε, τὸν μὲν ἐς ποίμνην καταθέσθαι δίαιταν ἐνταῦθα ἕξοντα μετὰ τῶν ἀρνῶν, ἐπὶ τούτῳ δὲ ὀνομασθῆναι καὶ τὴν πηγήν, ὅτι περὶ αὐτὴν ἐποιμαίνοντο οἱ ἄρνες· φάναι δὲ αὐτὴν πρὸς τὸν Κρόνον, τεκεῖν ἵππον, καί οἱ πῶλον ἵππου καταπιεῖν ἀντὶ τοῦ παιδὸς δοῦναι, καθὰ καὶ ὕστερον ἀντὶ τοῦ Διὸς λίθον ἔδωκεν αὐτῷ κατειλημένον σπαργάνοις. τούτοις Ἑλλήνων ἐγὼ τοῖς λόγοις ἀρχόμενος μὲν τῆς συγγραφῆς εὐηθείας ἔνεμον πλέον, ἐς δὲ τὰ Ἀρκάδων προεληλυθὼς, πρόνοιαν περὶ αὐτῶν τοιάνδε ἐλάμβανον· Ἑλλήνων τοὺς νομιζομένους σοφοὺς δι' αἰνιγμάτων πάλαι, καὶ οὐκ ἐξ εὐθέος λέγειν τοὺς λόγους, καὶ τὰ εἰρημένα οὖν ἐς τὸν Κρόνον σοφίαν εἶναί τινα εἴκαζον Ἑλλήνων. τῶν μὲν δὴ ἐς τὸ θεῖον ἡκόντων τοῖς εἰρημένοις χρησόμεθα.

tarem viam, nomine Arne. Causam nominis talem Arcades prodidere. Rhea quum Neptunum peperisset, puerum in ovile abditum, *opilionibus* educandum inter agnos tradidit: pro eo vero equinum pullum, quem se enixam simularat, Saturno vorandum obtulit; sicuti eadem post dicitur pro Iove lapidem fasciis involutum apposuisse. Quia igitur circa hunc fontem agni pascebantur, *in quorum grege Neptunum abdiderat Rhea, ab agnis illis (ἄρνας Graeci vocant)* fonti nomen inditum. Porro in prima ad hos commentarios aggressione Graecorum *poetas*, quibus haec fabulari in mentem venisset, futilitatis plurimae arguebam: sedenim ad Arcadum iam res progressus, huiusmodi figmentorum causa attentius considerata, sic statuo: Qui apud Graecos sapientiae nomen meruerunt, eos de industria quarundam rerum narrationes ambagibus involvere voluisse: a quo sane Graecorum sapientum consilio, id ipsum, quod modo de Saturno memoravi, profectum coniicio. Sed nimirum de rebus divinis non aliter omnia atque a maioribus accepimus, expo-

(3) Μαντινέων δὲ ἡ πόλις σταδίους μάλιστά που δώδεκα ἐστὶν ἀπωτέρω τῆς γῆς ταύτης. Μαντινεὺς μὲν οὖν ὁ Λυκάονος ἑτέρωθι φαίνεται οἰκίσας τὴν πόλιν, ἣν ὀνομάζουσι καὶ ἐς ἡμᾶς ἔτι οἱ Ἀρκάδες· ἐκεῖθεν δὲ Ἀντινόη Κηφέως τοῦ Ἀλέου θυγάτηρ κατὰ μάντευμα ἀναστήσασα τοὺς ἀνθρώπους, ἤγαγεν ἐς τοῦτο τὸ χωρίον, ὄφιν (ὁποῖον, οὐ μνημονεύουσιν) ἡγεμόνα ποιησαμένη τῆς ὁδοῦ· καὶ διὰ τοῦτο ὁ παρὰ τὴν πόλιν ῥέων τὴν νῦν ποταμὸς Ὄφις ὄνομα ἔσχηκεν. εἰ δὲ Ὁμήρου χρὴ τεκμαιρόμενον τοῖς ἔπεσι συμβαλέσθαι γνώμην, τὸν ὄφιν τοῦτον δράκοντα εἶναι πείθομαι. περὶ Φιλοκτήτου μὲν 614
ἐν νεῶν καταλόγῳ ποιήσας, ὡς ἀπολίποιεν αὐτὸν οἱ Ἕλληνες ἐν Λήμνῳ ταλαιπωροῦντα ὑπὸ τοῦ ἕλκους, ἐπίκλησιν οὐκ ἔθετο ὄφιν τῷ ὕδρῳ· τὸν δράκοντα δὲ, ὃν ἐς τοὺς Τρῶας ἀφῆκεν ὁ ἀετὸς, ἐκάλεσεν ὄφιν. οὕτω τὸ εἰκὸς ἔχει, καὶ τῇ Ἀντινόῃ τὸν ἡγεμόνα γενέσθαι δράκοντα. (4) Μαντινεῖς δὲ μάχην μὲν τὴν ἐν Διπαιεῦσιν οὐκ ἐμαχέσαντο πρὸς Λακεδαιμονίους μετὰ Ἀρκάδων τῶν

nenda. (3) Mantinensium urbs ab eo, de quo iam locuti sumus, loco stadia non amplius duo abest. Mantineum Lycaonis filium alia in regione urbem olim munisse constat, quam hoc etiamnum tempore *de illius nomine* appellant Arcades. Verum postea Antinoe, Cepheo Alei filio genita, ex quodam oraculo huc civitatem transportavit, serpentem itineris ducem (quod genus fuerit, non tradunt) secuta. Ex eo qui oppidum praeterfluit amnis, Ophis *(id est Anguis)* nominatur. Quod si ex Homeri versibus coniecturam aucupamur, draconem illud existimare possumus. Is enim quum in enumerandis Graecorum navibus, relictum in Lemno insula Philoctetem memoret, graviter ex hydri morsu laborantem, hydro illi non adiicit agnomen serpentis: at idem draconem ab aquila demissum in Troianorum concionem fingens, serpentem vocat. Quare et hunc Antinoes ducem, draconem fuisse, facile ut credamus adduci possumus. (4) Mantinenses quidem in Dipaeensium finibus contra Lacedae-

ἄλλων· ἐν δὲ τῷ Πελοποννησίων καὶ Ἀθηναίων πολέμῳ συνέστησαν ἐπὶ Λακεδαιμονίους μετὰ Ἠλείων, καί, παραγενομένου συμμαχικοῦ σφίσιν ἐξ Ἀθηνῶν, Λακεδαιμονίων ἐναντία ἐμαχέσαντο· μετέσχον δὲ καὶ τοῦ ἐς Σικελίαν στόλου κατὰ Ἀθηναίων φιλίαν. (5) Χρόνῳ δὲ ὕστερον Λακεδαιμονίων στρατιὰ καὶ Ἀγησίπολις ὁ Παυσανίου βασιλεὺς ἐσέβαλον ἐς τὴν Μαντινικήν. εἰς δὲ ἐκράτησεν ὁ Ἀγησίπολις τῇ μάχῃ, καὶ εἰς τὸ τεῖχος κατέκλεισε τοὺς Μαντινέας, εἷλεν οὐ μετὰ πολὺ τὴν πόλιν, οὐ πολιορκίᾳ κατὰ τὸ ἰσχυρόν, τὸν δὲ Ὄφιν ποταμὸν ἐπιστρέψας σφίσιν ἐς τὸ τεῖχος, ὠμῆς ᾠκοδομημένον τῆς πλίνθου. εἰς μὲν δὴ μηχανημάτων ἐμβολὴν ἀσφάλειαν ἡ πλίνθος παρέχεται μᾶλλον, ἢ ὁπόσα λίθου πεποιημένα ἐστίν· οἱ μὲν γὰρ κατάγνυνταί τε καὶ ἐκπηδῶσιν ἐκ τῶν ἁρμονιῶν, ἡ δὲ ὠμὴ πλίνθος ἐκ μηχανημάτων μὲν οὐχ ὁμοίως πονεῖ, διαλύεται δὲ ὑπὸ τοῦ ὕδατος οὐχ ἧσσον ἢ ὑπὸ τοῦ ἡλίου κηρός. τοῦτο οὐκ Ἀγησίπολις τὸ στράτηγημα ἐς τὸ τεῖχος τῶν Μαντινέων ἐστὶν ὁ εὑρών, ἀλλὰ πρό-

monios cum ceteris Arcadibus non sunt praeliati: bello tamen Peloponnesiaco, cum Eleis pro Atheniensibus contra Lacedaemonios arma tulere; Atheniensiumque auxiliis freti, signa cum Lacedaemoniis contulere. Iidem vero cum Atheniensibus in Siciliam pro pristina amicitia susceptae expeditionis consortes navigarunt. (5) Interiectis temporibus Lacedaemonii duce Agesipolide Pausaniae filio, Mantinensium fines hostiliter ingressi, Mantinenses ipsos praelio superatos intra moenia compulerunt: neque ita multo post oppidum non obsidionis *aperta* vi, sed *militari astu* ceperunt. Ophin enim fluvium ad muros detorserunt. Quo factum ut muri, quum essent e crudo laterculo extructi, ea alluvie resolverentur. Ut enim structura haec tormentorum impetum debilitet (*duriores* enim lapides *concussi* infringuntur, et e suis dissiliunt compagibus) ita tamen aquis diluitur, ut cera igne vel sole liquescit. Hanc expugnandi artem non primus excogitavit Agesipolis, sed eam

τερον ἔτι Κίμωνι ἐξευρέθη τῷ Μιλτιάδου, Βόγην πολιορκοῦντι ἄνδρα Μῆδον, καὶ ὅσοι Περσῶν Ἠιόνα τὴν ἐπὶ 615
Στρυμόνι εἶχον· Ἀγησίπολις δὲ καθεστηκὸς καὶ ᾀδόμενον ὑπὸ Πελληνέων ἐμιμήσατο. ὡς δὲ εἷλε τὴν Μαντίνειαν, ὀλίγον μέν τι κατέλιπεν οἰκεῖσθαι, τὸ πλεῖστον δὲ ἐς ἔδαφος καταβαλὼν αὐτῆς, κατὰ κώμας τοὺς ἀνθρώπους διῴκισε. (6) Μαντινέας δὲ ἐκ τῶν κωμῶν κατάξειν ἐς τὴν πατρίδα ἔμελλον Θηβαῖοι μετὰ τὸ ἔργον τὸ ἐν Λεύκτροις. κατελθόντες δὲ οὐ τὰ πάντα ἐγένοντο δίκαιοι· περιληφθέντες δὲ ἐπικηρυκευόμενοι Λακεδαιμονίοις, καὶ ἰδίᾳ εἰρήνην πρὸς αὐτοὺς ἄνευ τοῦ Ἀρκάδων κοινοῦ πράσσοντες, οὕτω διὰ τὸ δέος τῶν Θηβαίων ἐς τὴν Λακεδαιμονίων συμμαχίαν μετεβάλλοντο ἐκ τοῦ φανεροῦ, καὶ τῆς Μαντινικῆς πρὸς Ἐπαμινώνδαν καὶ Θηβαίους μάχης Λακεδαιμονίων γινομένης, ὁμοῦ τοῖς Λακεδαιμονίοις ἐτάξαντο οἱ Μαντινεῖς. τούτων δὲ ὕστερον διαφορὰ ἐγένετο Μαντινεῦσιν ἐς τοὺς Λακεδαιμονίους, καὶ ἀπ' αὐτῶν μετέστησαν ἐς τὸ Ἀχαϊκόν. καὶ Ἆγιν τὸν Εὐδαμίδου βασιλεύοντα ἐν Σπάρτῃ νικῶσιν ἀμύνοντες τῇ σφετέρᾳ,

ante usurparat Cimon Miltiadis filius, in Eione ad Strymonem amnem obsidenda, propugnante Boe Medo homine cum Persarum praesidio. Hoc illius factum quum ex Pellenensibus audisset, imitatus est Agesipolis. Et captam quidem Mantineam magna ex parte diruit, paucis relictis ad habitandum, aedificiis; reliquam multitudinem in proximos vicos divisit. (6) At Thebani post Leuctricam pugnam, e vicis, *in quos fuerant dissipati*, rursus in pristinas sedes Mantinenses reduxere. Non tamen illi satis gratos se praebuerunt. Nam *post* circumclusi, per legatos pacem cum Lacedaemoniis seorsum ab Arcadum concilio pepigerunt: aperte quidem societatem cum Spartanis profiteri, Thebanorum simultatem veriti, non sunt ausi. In Mantinensi certe pugna Lacedaemoniis contra Epaminondam praesto fuere; a quibus postea, dissidio orto, descivere ad Achaeos; Aginque Eudamidae filium, Spartanorum regem, praelio fu-

νικῶσι δὲ προσλαβόντες Ἀχαιῶν στρατιὰν, καὶ Ἄρατον ἡγεμόνα ἐπ' αὐτῇ. μετέσχον δὲ καὶ πρὸς Κλεομένην τοῦ ἔργου τοῖς Ἀχαιοῖς, καὶ συγκαθεῖλον Λακεδαιμονίων τὴν ἰσχύν. Ἀντιγόνου δὲ ἐν Μακεδονίᾳ Φίλιππον τὸν Περσέως πατέρα ἔτι παῖδα ἐπιτροπεύοντος, καὶ Ἀχαιοῖς ἐς τὰ μάλιστα ὄντος ἐπιτηδείου, ἄλλα τε ἐς τιμὴν αὐτοῦ Μαντινεῦσιν ἐποιήθη, καὶ ὄνομα τῇ πόλει μετέθεντο Ἀντιγόνειαν. χρόνῳ δὲ ὕστερον Αὐγούστου πρὸς τῇ ἄκρᾳ τοῦ Ἀπόλλωνος τοῦ Ἀκτίου ναυμαχήσειν μέλλοντος, Μαντινεῖς ἐμαχέσαντο ὁμοῦ Ῥωμαίοις, τὸ δὲ ἄλλο Ἀρκαδικὸν συνετάχθησαν Ἀντωνίῳ, κατ' ἄλλο μὲν, ἐμοὶ δοκεῖν, οὐδὲν, ὅτι δὲ ἐφρόνουν οἱ Λακεδαιμόνιοι τὰ Αὐγούστου. δέκα δὲ ὕστερον γενεαῖς ἐβασίλευσέ τε Ἀδριανὸς, καὶ ἀφελὼν Μαντινεῦσι τὸ ὄνομα τὸ ἐκ Μακεδονίας ἐπακτὸν, ἀπέδωκεν αὖθις Μαντίνειαν καλεῖσθαί σφισι τὴν πόλιν.

sum, extra fines suos eiecere; *non ipsi quidem per se, sed* accitis in auxilium Achaeis, eorumque duce Arato. Iidem cum Achaeis advorsum Cleomenem arma tulere, et Lacedaemoniorum opes infregere. Antigono vero, dum Philippi, qui Persei pater fuit, tutelam gereret, quod is Achaeorum perstudiosus esset, et alios honores habuere, et in eius gratiam Mantineam mutato nomine Antigoneam appellarunt. Iam vero *multis* post *aetatibus* in pugna Actiaca ad Apollinis promontorium Augusti studia secuti sunt, quum ceteri Arcadici nominis populi cum Antonio facerent, non aliam opinor ob causam, quam quod Lacedaemonii in Augusti erant partibus. Aetatibus deinde post haec *amplius* X, quum ad imperium Adrianus accessisset, adventitium cognomen urbis illud Macedonicum sustulit, eamque suo pristino nomine iussit vocari.

CAPUT IX.

De Mantineae urbis templis et signis memorandis — Arcadis sepulcro et aliis monumentis — templo Veneris Symmachiae et Minerva Alea — Antinoi templo, cultu et imaginibus — Podaris heroo.

Ἔστι δὲ Μαντινεῦσι ναὸς διπλοῦς μάλιστά που κατὰ 616
μέσον τοίχῳ διειργόμενος· τοῦ ναοῦ δὲ τῇ μὲν ἄγαλμά ἐστιν Ἀσκληπιοῦ, τέχνη δὲ Ἀλκαμένους· τὸ δὲ ἕτερον Λητοῦς ἐστιν ἱερὸν καὶ τῶν παίδων· Πραξιτέλης δὲ τὰ ἀγάλματα εἰργάσατο τρίτῃ μετὰ Ἀλκαμένην ὕστερον γενεᾷ· τούτων πεποιημένα ἐστὶν ἐπὶ τῷ βάθρῳ Μοῦσα καὶ Μαρσύας αὐλῶν. ἐνταῦθα ἀνὴρ ἐπείργασται στήλῃ Πολύβιος ὁ Λυκόρτα· καὶ τοῦ μὲν ἐπιμνησθησόμεθα καὶ ἐν τοῖς ἔπειτα. Μαντινεῦσι δὲ ἔστι καὶ ἄλλα ἱερά, τὸ μὲν Σωτῆρος Διός, τὸ δὲ Ἐπιδώτου καλούμενον· ἐπιδιδόναι γὰρ δὴ ἀγαθὰ αὐτὸν ἀνθρώποις. ἔστι δὲ Διοσκούρων, καὶ ἑτέρωθι Δήμητρος καὶ Κόρης ἱερόν· πῦρ δὲ ἐνταῦθα καίουσι, ποιούμενοι φροντίδα, μὴ λάθῃ σφίσιν ἀποσβεσθέν. καὶ Ἥρας πρὸς τῷ θεάτρῳ ναὸν ἐθεασάμην· Πραξιτέλης δὲ τὰ ἀγάλματα, αὐτήν τε καθημέ-

Cap. IX. Mantineae geminum est templum, medio pariete dispertitum: in uno Aesculapii signum visitur, Alcamenis opus: in altero, Latonae, eiusque liberorum cella est. Signa fecit Praxiteles tertia post Alcamenem aetate. In basi Musa insculpta, et Marsias tibiis canens. Ibidem pilae insistit Polybius Lycortae filius, de quo alio loco nobis erit mentio. Habent et alia Mantinenses delubra: Iovis Servatoris, et eius, quem idcirco, quod hominibus fortunas exauget, Epidoten nuncupant. Gemellorum etiam, et in diversa urbis parte Cereris ac Proserpinae. Hoc in fano ignem accendunt; cui summa religione ne extinguatur cavent. Vidi etiam prope theatrum Iunonis aedem: Deam Praxiteles in solio sedentem fecit, eique adsistentes Minervam et

νην ἐν θρόνῳ, καὶ παρεστῶσας ἐποίησεν Ἀθηνᾶν, καὶ Ἥβην παῖδα Ἥρας. (2) Πρὸς δὲ τῆς Ἥρας τῷ βωμῷ καὶ Ἀρκάδος τάφος τοῦ Καλλιστοῦς ἐστι. τὰ δὲ ὀστᾶ τοῦ Ἀρκάδος ἐπηγάγοντο ἐκ Μαινάλου χρησμοῦ σφισιν ἐλθόντος ἐκ Δελφῶν·

Ἔστι δὲ Μαιναλίη δυσχείμερος, ἔνθα τε κεῖται
Ἀρκὰς, ἀφ' οὗ δὴ πάντες ἐπίκλησιν καλέονται.
Ἔνθα σ' ἐγὼ κέλομαι στείχειν, καὶ εὔφρονι θυμῷ
Ἀρκάδ' ἀειραμένους κατάγειν εἰς ἄστυ ἐραννὸν,
Οὗ τρίοδος καὶ τετράοδος καὶ πεντακέλευθος,
Ἔνθα τε δὴ τέμενός τε θυηλάς τ' Ἀρκάδι τεύχειν.

τὸ δὲ χωρίον τοῦτο, ἔνθα ὁ τάφος ἐστὶ τοῦ Ἀρκάδος, καλοῦσιν Ἡλίου βωμούς. τοῦ θεάτρου δὲ οὐ πόῤῥω μνήματα προσήκοντά ἐστιν ἐς δόξαν· τὸ μὲν ἑστία καλουμένη κοινὴ, περιφερὲς σχῆμα ἔχουσα· Ἀντινόην δὲ αὐτόθι ἐλέγετο κεῖσθαι τὴν Κηφέως· τῷ δὲ στήλη τε ἐφέστηκε, καὶ ἀνὴρ ἱππεὺς ἐπειργασμένος ἐστὶν ἐπὶ τῇ στήλῃ, Γρύλλος ὁ Ξενοφῶντος. (3) Τοῦ θεάτρου δὲ ὄπισθεν ναοῦ

Heben Iunonis filiam. (2) Ab ara deae proxime abest Arcadis Callistus filii tumulus. Huc enim ex Delphici Apollinis oraculo e Maenalo sunt Arcadis ossa deportata. *Oraculi vox fuit,*

Frigida Maenaliae regio est, ubi conditus Arcas,
Arcades a cuius dicuntur nomine cuncti.
Huc ego ferre pedem iubeo te, et pectore laeto
Arcada sublatum pulchram transponere in urbem,
Quae trivia est, quae quadrivia, et quae quinque viarum.
Hic Arcas lucum, sacrumque hic munera habeto.

Locum ubi Arcadis est sepulcrum, Solis aras vocant. Non longe a theatro illustria exstant monumenta. Inter ea focus, qui communis dicitur, rotunda figura, in quo sitam Autonoen creditum Cephei filiam. Eminet pila supra *tumulum* cum equestri statua: Gryllus is est Xenophontis filius. (3) A tergo theatri reliqua adhuc sunt templi ve-

τε Ἀφροδίτης ἐπίκλησιν Συμμαχίας ἐρείπια καὶ ἄγαλμα 617
ἐλείπετο· τὸ δὲ ἐπίγραμμα ἐπὶ τῷ βάθρῳ τὴν ἀναθεῖσαν τὸ ἄγαλμα ἐδήλου θυγατέρα εἶναι Πασέου Νικίππην. τὸ δὲ ἱερὸν κατεσκευάσαντο τοῦτο οἱ Μαντινεῖς, ὑπόμνημα ἐς τοὺς ἔπειτα τῆς ὁμοῦ Ῥωμαίοις ἐπ' Ἀκτίῳ ναυμαχίας. σέβουσι δὲ καὶ Ἀθηνᾶν Ἀλέαν, καὶ ἱερόν τε καὶ ἄγαλμα Ἀθηνᾶς ἐστιν Ἀλέας αὐτοῖς. (4) Ἐνομίσθη δὲ καὶ Ἀντίνους σφίσιν εἶναι θεός· ναῶν δὲ ἐν Μαντινείᾳ νεώτατος ὁ τοῦ Ἀντίνου ναός. οὗτος ἐσπουδάσθη περισσῶς δή τι ὑπὸ βασιλέως Ἀδριανοῦ. ἐγὼ δὲ μετ' ἀνθρώπων μὲν ἔτι αὐτὸν ὄντα οὐκ εἶδον, ἐν δὲ ἀγάλμασιν εἶδον καὶ ἐν γραφαῖς. ἔχει μὲν δὴ γέρα καὶ ἑτέρωθι, καὶ ἐπὶ τῷ Νείλῳ πόλις Αἰγυπτίων ἐστὶν ἐπώνυμος Ἀντίνου· τιμὰς δὲ ἐν Μαντινείᾳ κατὰ τοιόνδε ἔσχηκε. γένος ἦν ὁ Ἀντίνους ἐκ Βιθυνίας, τῆς ὑπὲρ Σαγγαρίου ποταμοῦ· οἱ δὲ Βιθυνεῖς Ἀρκάδες τέ εἰσι καὶ Μαντινεῖς τὰ ἄνωθεν. τούτων εἵνεκα ὁ βασιλεὺς κατεστήσατο αὐτῷ καὶ ἐν Μαντινείᾳ τιμάς, καὶ τελετή τε κατὰ ἔτος ἕκαστον καὶ ἀγών ἐστιν

stigia, quod Veneri olim dicatum fuit Sociali, et in eo signa quaedam. Indicat in basi *incisa* inscriptio, dedicasse Nicippen Paseae filiam. Templum erexere Mantinenses, quo monumentum esset posteris, ipsos, quum navalis ad Actium pugna committeretur, in Romanorum fuisse partibus. Minervam praeterea Alean *cognomento* venerantur, cui templum et signum dedicarunt. (4) Antinoi etiam religio est divinis honoribus sancita. Est Antinoi aedes Mantinensibus recentissima; quam praecipua quadam cura Adrianus Imperator exornavit. Illum ego viventem non vidi; statuas certe et pictas imagines eius conspicatus. Habentur ei et alibi honores, et in Aegypto apud Nilum urbs de eius nomine est appellata. Colitur Mantineae ob huiusmodi causam. Patria ei fuit Bithynia supra Sangarium amnem. Bithyni ipsi ex Arcadia oriundi, Mantinenses olim fuere. Ob eam rem *divinos* ei honores a Mantinensibus haberi voluit Imperator Romanus; annua praeterea initia, et quinquen-

αὐτῷ διὰ ἔτους πέμπτου. οἶκος δέ ἐστιν ἐν τῷ γυμνα-
σίῳ Μαντινεῦσιν ἀγάλματα ἔχων Ἀντίνου, καὶ ἐς τὰ
ἄλλα θέας ἄξιος, λίθων εἵνεκα, οἷς κεκόσμηται, καὶ ἀπι-
δόντι ἐς τὰς γραφάς· αἱ δὲ Ἀντίνου εἰσὶν αἱ πολλαί,
Διονύσῳ μάλιστα εἰκασμέναι. καὶ δὴ καὶ τῆς ἐν Κερα-
μικῷ γραφῆς, ἣ τὸ ἔργον εἶχε τὸ Ἀθηναίων ἐν Μαντι-
νείᾳ, καὶ ταύτης αὐτόθι ἐστὶ μίμημα. (5) Μαντινεῦσι
δὲ ἐν τῇ ἀγορᾷ γυναικός τε εἰκὼν χαλκῆ, καὶ Μαντινεῖς
καλοῦσι Δεομένειαν Ἀρκάδος· καὶ ἡρῷόν ἐστιν Ποδάρους·
φασὶ δὲ, ἀποθανεῖν αὐτὸν ἐν τῇ πρὸς Ἐπαμινώνδαν καὶ
Θηβαίους μάχῃ. γενεαῖς δὲ τρισὶν ἐμοῦ πρότερον μετέ-
θεσαν τοῦ τάφου τὸ ἐπίγραμμα ἐς ἄνδρα ἀπόγονον μὲν
ἐκείνου Ποδάρους καὶ ὁμώνυμον, γεγονότα δὲ καθ' ἡλι-
κίαν, ὡς πολιτείας ἤδη Ῥωμαίων μετειληφέναι. Ποδά-
618 ρην δ' ἐπ' ἐμοῦ τὸν ἀρχαῖον ἐτίμων οἱ Μαντινεῖς, λέ-
γοντες, ὡς ἄριστος μὲν καὶ αὐτῶν καὶ τῶν συμμάχων
γένοιτο ἐν τῇ μάχῃ Γρύλλος ὁ Ξενοφῶντος, Αἰγεῖ * δὲ

nale ludicrum celebrari. Domus in gymnasio est, in qua Antinoi signa servantur, tum reliquis ornamentis, tum lapidum nobilitate, tum vero pictis Antinoi imaginibus insignis. Earum imaginum multae Liberi Patris insignia prae se ferunt. Quin et eius picturae quae in Ceramico Athenis res ab Atheniensibus ad Mantineam gestas repraesentat, ibi quoque ex illo veluti exemplari efficta cernitur imago. (5) Est praeterea in Mantinensium foro mulieris aenea effigies, Deomeneam vocant et Arcadis *filiam dicunt fuisse*. Sepulcrum etiam heroicum Podaris; quem in acie cecidisse aiunt, contra Epaminondam ac Thebanos pugnantem. Tribus autem ante me aetatibus inscriptionem tumuli ad minorem Podarem, qui superioris nepos eodem fuit nomine, transtulerunt. Vixit sic iis temporibus, ut Romanorum etiam reipublicae particeps fuerit. Sedenim aetate mea apud Mantinenses antiquior Podares colebatur. In ea enim pugna, quum virtute cives ac socios omnes anteisse Gryllum Xenophontis filium fateantur, alteram quidem palmam Cephi-

τῷ Γρύλλου Κηφισόδωρος Μαραθώνιος· οὗτος δὲ τηνικαῦτα Ἀθηναίοις ἐτύγχανεν ἱππαρχῶν· τρίτα δὲ ἀνδραγαθίας Ποδάρει νέμουσιν.

CAPUT X.

De memorandis ad vias, quae ab Mantinea in reliquam Arcadiam ducunt — monte Alesio et Neptuni Hippii templo — undae marinae scatebris in variis templis — tropaeo de Lacedaemoniis victis erecto et huius pugnae ratione — diis in proeliis opem ferentibus — cervi cuiusdam sacri longaevitate.

Ἐς Ἀρκαδίαν δὲ τὴν ἄλλην εἰσὶν ἐκ Μαντινείας ὁδοί· ὁπόσα δὲ ἐφ᾽ ἑκάστης αὐτῶν μάλιστα ἦν θέας ἄξια, ἐπέξειμι καὶ ταῦτα. ἰόντι ἐς Τεγέαν ἐστὶν ἐν ἀριστερᾷ τῆς λεωφόρου παρὰ τοῖς Μαντινέων τείχεσι χωρίον ἐς τῶν ἵππων τὸν δρόμον, καὶ οὐ πόῤῥω τούτου στάδιον, ἔνθα ἐπὶ τῷ Ἀντίνῳ τὸν ἀγῶνα τιθέασιν. (2) Ὑπὲρ δὲ τοῦ σταδίου τὸ ὄρος ἐστὶ τὸ Ἀλήσιον, διὰ τὴν ἄλην, ὥς φασι, καλούμενον τὴν Ῥέας, καὶ Δήμητρος ἄλσος ἐν τῷ ὄρει. παρὰ δὲ τοῦ ὄρους τὰ ἔσχατα τοῦ Ποσειδῶνός ἐστι τοῦ Ἱππίου τὸ ἱερὸν, οὐ πρόσω σταδίου Μαντινείας. τὰ δὲ

sodoro Marathonio, qui Atheniensium equestres copias duxit; tertiam huic ipsi Podari, de quo nunc loquimur, tribuunt.

Cap. X. In reliquam Arcadiam viae ex Mantinea ducunt; in quarum unaquaque, quae spectantem detinere possint, iam persequar. Tegean contendentibus ad laevam militaris viae ante ipsos Mantineae muros campus est, ubi equorum curriculum; nec procul hinc stadium ludicro, quod in Antinoi honorem celebratur, attributum. (2) Supra stadium mons est Alesium: ab erroribus Rheae sic appellatum tradunt. In eo monte Cereris lucus: et ubi mons desinit, aedes consurgit equestris Neptuni, stadium circiter a Mantinea distans, non amplius: de qua aede nihil ego praeter

ἐς τὸ ἱερὸν τοῦτο ἐγώ τε ἀκοῇ γράφω, καὶ ὅσοι μνήμην
ἄλλοι περὶ αὐτοῦ πεποίηνται. τὸ μὲν δὴ ἱερὸν τὸ ἐφ'
ἡμῶν ᾠκοδομήσατο Ἀδριανὸς βασιλεύς, ἐπιστήσας τοῖς
ἐργαζομένοις ἐπόπτας ἄνδρας, ὡς μήτε ἐνίδοι τις ἐς τὸ
ἱερὸν τὸ ἀρχαῖον, μήτε τῶν ἐρειπίων τι αὐτοῦ μετακι-
νοῖτο· πέριξ δὲ ἐκέλευε τὸν ναὸν σφᾶς οἰκοδομεῖσθαι
τὸν καινόν. τὰ δὲ ἐξ ἀρχῆς τῷ Ποσειδῶνι τὸ ἱερὸν τοῦτο
Ἀγαμήδης λέγονται καὶ Τροφώνιος ποιῆσαι, δρυῶν ξύλα
ἐργασάμενοι καὶ ἁρμόσαντες πρὸς ἄλληλα· ἐσόδου δὲ ἐς
αὐτὸ εἴργοντες ἀνθρώπους, ἔρυμα μὲν πρὸ τῆς ἐσόδου
προεβάλοντο οὐδέν, μίτον δὲ διατείνουσιν ἐρεοῦν, τάχα
μέν που τοῖς τότε ἄγουσι τὰ θεῖα ἐν τιμῇ δεῖμα καὶ
τοῦτο ἔσεσθαι νομίζοντες· τάχα δ' ἄν τι μετείη καὶ ἰσχύος
τῷ μίτῳ. φαίνεται δὲ καὶ Αἴπυτος ὁ Ἱππόθου, μήτε πη-
δήσας ὑπὲρ τὸν μίτον, μήτε ὑποδύς, διακόψας δὲ αὐ-
619 τόν, ἐσελθὼν ἐς τὸ ἱερόν· καὶ ποιήσας οὐχ ὅσια, ἐτυ-
φλώθη τε ἐμπεσόντος ἐς τοὺς ὀφθαλμοὺς αὐτῷ τοῦ κύ-
ματος, καὶ αὐτίκα ἐπιλαμβάνει τὸ χρεὼν αὐτόν. (3) Θα-

auditum habeo: sed neque quisquam alius, qui eius mentionem fecerit. Quod enim aetate nostra exstat templum, exaedificandum curavit D. Adrianus, adhibitis inter fabros speculatoribus, ne quis aut intra vetus templum aspiceret, aut ruderis ex eo quicquam sineret alio transportari. Ita vero aedificari iussit, ut vetus templum novo circumquaque incingeretur. Priscum illud templum quernis inter se *arcte* compactis trabibus, Agamedes et Trophonius erexisse dicuntur. Aditu autem homines prohibuisse, non obicis ullius oppositu, sed laneum duntaxat funiculum obtendisse; sive quod, vigente tunc religione, satis sacrosanctum esse deum metu locum putarint; sive quod ei funiculo occulta inesset ad homines arcendos vis. Vulgatum est certe Aepytum Hippothoi filium, quum neque subisset, neque transsiluisset, sed filum conscidisset, ubi primum templum intravit, sacrique religionem violavit, marinae aquae *e sacris scatebris erumpentis* vi subita obcaecatum, neque multa post suo

λάσσης δὲ ἀναφαίνεσθαι κῦμα ἐν τῷ ἱερῷ τούτῳ λόγος ἐστὶν ἀρχαῖος· ἐοικότα δὲ καὶ Ἀθηναῖοι λέγουσιν ἐς τὸ κῦμα τὸ ἐν ἀκροπόλει, καὶ Καρῶν οἱ Μύλασα ἔχοντες ἐς τοῦ θεοῦ τὸ ἱερὸν, ὃν φωνῇ τῇ ἐπιχωρίᾳ καλοῦσιν Ὀγώα. Ἀθηναίοις μὲν δὴ σταδίους μάλιστα εἴκοσιν ἀφέστηκε τῆς πόλεως ἡ πρὸς Φαλήρῳ θάλασσα· ὡσαύτως δὲ καὶ Μυλασεῦσιν ἐπίνειον σταδίους ὀγδοήκοντα ἀπέχον ἐστὶν ἀπὸ τῆς πόλεως· Μαντινεῦσι δὲ ἐκ μακροτάτων τε ἡ θάλασσα ἄνεισιν, ἐκφανέστατα δὴ κατὰ τοῦ θεοῦ γνώμην. (4) Πέραν δὲ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος τρόπαιόν ἐστι λίθου πεποιημένον ἀπὸ Λακεδαιμονίων καὶ Ἄγιδος. λέγεται δὲ καὶ ὁ τρόπος τῆς μάχης· τὸ μὲν δεξιὸν εἶχον οἱ Μαντινεῖς αὐτοὶ, στρατιάν τε ἀπὸ πάσης ἡλικίας καὶ στρατηγὸν παρεχόμενοι Ποδάρην, ἀπόγονον τρίτον Ποδάρους τοῦ Θηβαίοις ἐναντία ἀγωνισαμένου· παρῆν δέ σφισι καὶ μάντις Ἠλεῖος Θρασύβουλος Αἰνέου τῶν Ἰαμιδῶν· οὗτος ὁ ἀνὴρ νίκην τε τοῖς Μαντινεῦσι

oppressum fato. (3) Pervetus sane fama prodidit in hoc templo marinae undae scatebras esse. Idem est etiam de aqua marina Atheniensium arcis proditum memoriae: deque eo fonte qui apud Mylasenses (quae Cariae civitas est) in eius dei templo scatet, quem ipsi patria lingua Ogoa nominant. *Tantum interest, quod* Athenae a Phalero (*ab ea enim parte mare proximum est*) absunt stadia haud amplius XX. Mylasensium vero navale abest ab oppido stadia LXXX. At Mantinensibus, quum plurimum a mari recedant, non nisi divinitus extitisse eam in templo aquam existimandum. (4) Ubi Neptuni templum praeterieris, trophaeum lapideum videas de Lacedaemoniis victis, eorumque duce Agide erectum. Pugna ad hunc modum commissa narratur. Dexterum cornu tenuere Mantinenses ipsi, habito ex omni aetate delectu: dux fuit Podares, Podaris illius pronepos, quem paulo ante cum Thebanis strenue pugnasse memoravimus. Aderat vates Eleus Thrasybulus Aenei filius, ex Iamidarum gente; qui et victoriam praedixit, et periculi socius Man-

προηγόρευσε, καὶ αὐτός σφισιν τοῦ ἔργου μετεῖχεν. ἐπὶ δὲ τῷ εὐωνύμῳ πᾶν τὸ ἄλλο Ἀρκαδικὸν ἐτάσσοντο. ἄρχοντες δὲ κατὰ πόλεις τε ἦσαν, καὶ Μεγαλοπολιτῶν Λυδιάδης καὶ Λεωκύδης· Ἀράτῳ δὲ ἐπετέτραπτο καὶ Σικυωνίοις τε καὶ Ἀχαιοῖς τὸ μέσον. Λακεδαιμόνιοι δὲ καὶ Ἆγις ἐπεξέτειναν τὴν φάλαγγα, ὡς τῶν ἐναντίων τῷ στρατεύματι ἀντιπαρήκοιεν· τὸ μέσον δὲ Ἆγις καὶ οἱ περὶ τὸν βασιλέα εἶχον. Ἄρατος δὲ ἀπὸ τοῦ συγκειμένου αὐτῷ πρὸς τοὺς Ἀρκάδας ὑπέφευγεν αὐτός τε καὶ ὁ σὺν αὐτῷ στρατὸς, οἷα δὴ τῶν Λακεδαιμονίων σφίσιν ἐγκειμένων· ὑποφεύγοντες δὲ ἅμα τὸ σύνταγμα σφῶν ἠρέμα ἐποίουν μηνοειδές. Λακεδαιμόνιοι δὲ καὶ Ἆγις νίκην τε ἤλπιζον, καὶ τοῖς περὶ τὸν Ἄρατον ἐνέκειντο ἀθρόοι μᾶλλον· ἐπηκολούθουν δέ σφισι καὶ οἱ ἀπὸ τῶν κεράτων, Ἄρατον καὶ τὴν σὺν αὐτῷ στρατιὰν τρέψασθαι μέγα ἀγώνισμα ἡγούμενοι. ἔλαθόν τε δὴ κατὰ νώτου γενόμενοί σφισιν οἱ Ἀρκάδες, καὶ οἱ Λακεδαιμόνιοι κυκλωθέντες τῆς ἄλλης στρατιᾶς τὸ πολὺ ἀποβάλλουσι, καὶ

tinensibus fuit. Stetere in laevo cornu reliquae Arcadici nominis copiae. Suos civitates singulae duces habuere: duos Megalopolitae, Lydiadem et Leocydem. Media acies Arato Sicyoniorum et Achaeorum duci commissa fuerat. Lacedaemonii phalangem suam dilatarant, quo in hostilem aciem omni ex parte frontem obverterent. In medio agmine Agis cum suo globo constiterat. Ibi Aratus (re ita cum Arcadibus composita) cum sua manu fugam simulat, quasi vero impressionem Spartanorum sustinere non posset. Ea fugae specie acies in lunae modum incurvata est. Agis cum sua cohorte victoriae spe incitatus, fugientes urget. Iam et a cornibus utrinque imperatorem suum cupidius secuti in eandem incumbunt partem: quippe qui confectum negotium interpretabantur, si Arati manum fudissent. A tergo inconsultius progressos Mantinenses adorti, mox densa incingunt corona. Spartanorum magnus numerus cum Agide Eu-

βασιλεὺς ἔπεσεν Ἆγις Εὐδαμίδου. φανῆναι δὲ καὶ τὸν Ποσειδῶνα ἀμύνοντά σφισιν ἔφασαν οἱ Μαντινεῖς, καὶ τοῦδε εἵνεκα τρόπαιον ἐποιήσαντο ἀνάθημα τῷ Ποσειδῶνι. Πολέμῳ δὲ καὶ ἀνθρώπων φόνοις παρεῖναι θεοὺς ἐποίησαν μὲν, ὅσοις τὰ ἡρώων ἐμέλησεν ἐν Ἰλίῳ παθήματα· ᾄδεται δὲ ὑπὸ Ἀθηναίων, ὡς θεοί σφισιν ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι τοῦ ἔργου μετάσχοιεν· ἐκδηλότατα δὲ ὁ Γαλατῶν στρατὸς ἀπώλετο ἐν Δελφοῖς ὑπὸ τοῦ θεοῦ, καὶ ἐναργῶς ὑπὸ δαιμόνων. οὕτω καὶ Μαντινεῦσιν ἔπεσται, οὐκ ἄνευ τοῦ Ποσειδῶνος τὸ κράτος γενέσθαι σφίσι. Λεωκύδους δὲ τοῦ Μεγαλοπολιτῶν ὁμοῦ Λυδιάδῃ στρατηγήσαντος πρόγονον ἔνατον Ἀρκεσίλαον οἰκοῦντα ἐν Λυκοσούρᾳ λέγουσιν οἱ Ἀρκάδες, ὡς ἴδοι τὴν ἱερὰν τῆς καλουμένης Δεσποίνης ἔλαφον πεπονηκυῖαν ὑπὸ γήρως· τῇ δὲ ἐλάφῳ ταύτῃ ψέλλιόν τε εἶναι περὶ τὸν τράχηλον, καὶ γράμματα ἐπὶ τῷ ψελλίῳ·

Νεβρὸς ἐὼν ἑάλων, ὅτ' ἐς Ἴλιον ἦν Ἀγαπήνωρ.

damidae filio rege suo caesi. Visum in eo praelio Neptunum dimicantem pro suis partibus memorant Mantinenses; ob idque erga se meritum ei trophaeum dedicarunt. Ac deos quidem praeliis hominum ac caedibus interesse solitos, testantur quicunque heroum apud Ilium casus persecuti sunt. Praedicant Athenienses, ad Salaminem et Marathonem praesto sibi deos fuisse. Nihil vero certius quam ab Apolline et *patriis* dis deletum apud Delphos Gallorum exercitum. Quo minus mirum videri debet, si Neptuni praesenti ope Mantinenses tunc prospere pugnarunt. Leocydem nempe eum, qui Lydiade collega Megalopolitanis *eo bello* praefuit, nono gentilitatis gradu oriundum ab Arcesilao fuisse tradunt, eo sane qui quum Lycosurae domicilium haberet, cervam vidisse dicitur ei, quam Dominam nominant, deae sacram, confectam iam aetate, cum torque, in quo incisae erant literae;

Hinnulus excipior solvente Agapenore Troiam.

οὗτος μὲν δὴ ἐπιδείκνυσιν ὁ λόγος, ἔλαφον εἶναι πολλῷ καὶ ἐλέφαντος μακροβιώτερον θηρίον.

CAPUT XI.

De loco Pelagos dicto — Peliae filiarum tumulis et Peliae nece — loco Phoezon dicto — Epaminondae morte — Epaminondae sepulcro — fraudis ex nominum similitudine enatae exempla proferuntur.

Μετὰ δὲ τὸ ἱερὸν τοῦ Ποσειδῶνος χωρίον ὑποδέξεταί σε δρυῶν πλῆρες, καλούμενον Πέλαγος· καὶ ἐκ Μαντινείας ἡ ἐς Τεγέαν ὁδὸς φέρει διὰ τῶν δρυῶν. Μαντινεῦσι δὲ ὅροι πρὸς Τεγεάτας εἰσὶν ὁ περιφερὴς ἐν τῇ λεωφόρῳ βωμός. (2) Ἢν δὲ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἐς ἀριστερὰν ἐκτραπῆναι θελήσειας, σταδίους ἕξεις μάλιστά που πέντε, καὶ ἐπὶ τῶν Πελίου θυγατέρων ἀφίξῃ τοὺς τάφους. ταύτας φασὶν οἱ Μαντινεῖς μετοικῆσαι σφᾶς τὰ ἐπὶ τῷ θανάτῳ τοῦ πατρὸς ὀνείδη φευγούσας. ὡς γὰρ δὴ ἀφίκετο ἡ Μήδεια ἐς Ἰωλκὸν, αὐτίκα ἐπεβούλευε τῷ Πελίᾳ, τῷ ἔργῳ μὲν συμπράσσουσα τῷ Ἰάσονι, τῷ λόγῳ δὲ ἀπεχθανομένη· ἐπαγγέλλεται τοῦ Πελίου ταῖς

Argumento verous hic est, multo esse quam elephantem cervum vivaciorem.

Cap. XI. A Neptuni fano in saltum pervenias quercubus condensum: Pelagus nominant. Per *medias* quercus via a Mantinea Tegeam ducit: et inter Tegeatas quidem ac Mantinenses terminus est rotunda in populari via ara. (2) Quod si a Neptuni ad laevam deflectere malueris; stadium V. itinere confecto, ad Peliae filiarum tumulos pervenias. Has Mantinenses narrant paternae necis invidiam fugientes, huc se recepisse. Medea enim ubi primum Iolcon venit, Peliae insidias machinata est, re quidem Iasoni ad regnum viam muniens, quum in eum tamen verbo hostili animo esse videretur. Persuadet itaque regiis puellis, earum pa-

θυγατράσιν, ὡς τὸν πατέρα αὐταῖς, ἣν ἐθέλωσιν, ἀποφῆναι νέον ἀντὶ γέροντος παλαιοῦ. κατακόψασα δὲ ὃν 621
τρόπῳ κριόν, τὰ κρέα ὁμοῦ φαρμάκοις ἐν λέβητι ἥψησεν, εἶτ' ἐκ τοῦ λέβητος τὸν κριὸν ἐφόρεσεν ἄρνα ἐξήγαγε ζῶντα. παραλαμβάνει δὴ τὸν Πελίαν κατακόψασαι ἕψουσι, καὶ αὐτὸν ἠμύναντο αἱ θυγατέρες οὐδὲ ἐς ταφὴν [ἔτι] ἐπιτήδειον. τοῦτο ἠνάγκασε τὰς γυναῖκας ἐς Ἀρκαδίαν μετοικῆσαι, καὶ ἀποθανούσαις τὰ μνήματα ἐχώσθη σφίσιν [αὐταῖς]· ὀνόματα δὲ αὐταῖς ποιητὴς μὲν ἔθετο οὐδείς, ὅσα γ' ἐπελεξάμεθα ἡμεῖς, Μίκων δὲ ὁ ζωγράφος Ἀστεροπειάν τε εἶναι καὶ Ἀντινόην ἐπὶ ταῖς εἰκόσιν αὐτῶν ἐπέγραψε. (3) Χωρίον δὲ ὀνομαζόμενον Φοιζὸν περὶ εἴκοσί που σταδίους τῶν τάφων ἐστὶν ἀπωτέρω· τούτων δὲ Φοιζῶν μνῆμά ἐστι περιεχόμενον κρηπῖδι, ἀνέχον δὲ οὐ πολὺ ὑπὲρ τῆς γῆς. κατὰ τοῦτο ἥ τε ὁδὸς μάλιστα στενὴ γίνεται, καὶ τὸ μνῆμα Ἀρηϊθόου λέγουσιν εἶναι Κορυνήτου διὰ τὸ ὅπλον ἐπονομασθέντος.

rentem se *medicamentis* a summa senectute ad iuventutem revocaturam. Nam et *vetulum* arietem dedita opera iugulatum, quum inter venena coxisset, tenellum agnum dicitur e lebete eduxisse. Mox vero quum Peliam ipsum in frusta dissectum in ferventis aquae lebetem immisisset, settis corpus filiae ita resolutum recepere, ut ne reliquum quidem quicquam esset, quod sepulturae traderent. Hic casus ut in Arcadiam exilii causa abirent puellas adegit: ac fato quidem suo perfunctis, sepulcra congesta terra ab *Arcadibus* exstructa. Nomina virginum poetarum indicavit nemo, eorum quos ipsi legimus. Micon certe pictor earum imaginibus Asteropean et Antinoen adscripsit. (3) Ab iis tumulis stadia ferme XX distat locus, qui Phoezorum dicitur. Ibi Phoezorum tumulus crepidine circumseptus, modice a terra surgit. Est ea in parte via valde angusta: monstrant *incolae* Areithoei sepulcrum, cui Corynetae, a clava, *qua in pugna utebatur*, cognomen fuit. Iam secundum eam viam,

Μετὰ δὲ τὴν ἐς Παλλάντιον ἐκ Μαντινείας ἄγουσαν προελ-
θόντι ὡς τριάκοντά που σταδίους, παρήκει κατὰ τοῦτο
ἐς τὴν λεωφόρον ὁ τοῦ Πελάγους καλουμένου δρυμός·
καὶ τὰ ἱππικὰ τῶν Ἀθηναίων τε καὶ Μαντινέων ἐνταῦθα
ἐμαχέσαντο ἐναντία τῆς Βοιωτίας ἵππου. (4) Ἐπαμι-
νώνδαν δὲ ἀποθανεῖν Μαντινεῖς μὲν ὑπὸ Μαχαιρίωνος
Μαντινέως φασὶν ἀνδρός. ὡσαύτως δὲ καὶ Λακεδαιμό-
νιοι Σπαρτιάτην λέγουσιν εἶναι τὸν ἀποκτείναντα Ἐπα-
μινώνδαν, τίθενται δὲ Μαχαιρίωνα ὄνομα καὶ οὗτοι τῷ
ἀνδρί. ὁ δὲ Ἀθηναίων ἔχει λόγος, (ὁμολογοῦσι δὲ αὐτῷ
καὶ Θηβαῖοι) τρωθῆναι τὸν Ἐπαμινώνδαν ὑπὸ Γρύλλου·
622 παραπλήσια δέ σφισίν ἐστι καὶ τὰ ἐν τῇ γραφῇ τὸ ἔρ-
γον ἐχούσῃ τὸ ἐν Μαντινείᾳ. φαίνονται δὲ οἱ Μαντινεῖς,
Γρύλλον μὲν δημοσίᾳ τε θάψαντες, καὶ, ἔνθα ἔπεσεν,
ἀναθέντες εἰκόνα ἐπὶ τιμῇ ἀνδρὸς ἀρίστου τῶν συμμά-
χων. Μαχαιρίωνα δὲ λόγῳ μὲν καὶ αὐτοὶ οἱ Λακεδαι-
μόνιοι λέγουσιν, ἔργῳ δὲ οὔτε ἐν Σπάρτῃ Μαχαιρίων
ἐστὶν οὐδείς, οὐ μὴν οὐδὲ παρὰ Μαντινεῦσιν, ὅτῳ γε-

qua Pallantium iter est a Mantinea, stadia ferme XXX progressis, ad militarem viam pertingit ea quercuum sylva, quae Pelagus appellatur. In eo loco equestres Atheniensium et Mantinensium copiae, cum Boeotiorum equitatu conflixere. (4) Quum in eo praelio Epaminondas cecidisset, Mantinenses a Machaerione suo cive occisum praedicant: Lacedaemonii Machaerionem hunc Spartanum fuisse contendunt. Sed Athenienses, quibus assentiuntur Thebani, transfossum a Gryllo dictitant, attestante id pictura, in qua Mantinensis pugna exposita est. Id et Mantinenses videntur sensisse, qui quum Gryllum publico funere extulissent, eo loco, quo cecidit, statuam in eius honorem posuerunt, quod prae omnibus sociis virtus eius enituisset. Machaerionem vero verbo potius quam re novere Lacedaemonii. Nam neque Spartae, neque apud Mantinenses ipsos, cuiquam virtutis ergo, cui fuerit Machaerioni nomen, honorem habi-

γύναισιν ὡς ἀνδρὶ ἀγαθῷ τιμαί. ὡς δὲ ἐτέτρωτο Ἐπαμινώνδας, ἐκκομίζουσιν ἔτι ζῶντα ἐκ τῆς παρατάξεως αὐτόν. ὁ δὲ τέως μὲν τὴν χεῖρα ἔχων ἐπὶ τῷ τραύματι, ἐταλαιπώρει, καὶ ἐς τοὺς μαχομένους ἀφεώρα· ὁπόθεν δὲ ἀπέβλεπεν ἐς αὐτοὺς, ὠνόμαζον Σκοπὴν οἱ ἔπειτα· λαβόντος δὲ ἴσον τοῦ ἀγῶνος πέρας, οὕτω τὴν χεῖρα ἀπέσχεν ἀπὸ τοῦ τραύματος· καὶ αὐτὸν ἀφέντα τὴν ψυχὴν ἔθαψαν, ἔνθα σφισιν ἐγένετο ἡ συμβολή. (5) Τῷ τάφῳ δὲ κίων τε ἐφέστηκε καὶ ἀσπὶς ἐπ' αὐτῷ δράκοντα ἔχουσα ἐπειργασμένον· ὁ μὲν δὴ δράκων ἐθέλει σημαίνειν, τοῦ γένους τῶν Σπαρτῶν καλουμένων εἶναι τὸν Ἐπαμινώνδαν. στῆλαι δέ εἰσιν ἐπὶ τῷ μνήματι, ἡ μὲν ἀρχαία καὶ ἐπίγραμμα ἔχουσα Βοιώτιον· τὴν δὲ αὐτήν τε ἀνέθηκεν Ἀδριανὸς βασιλεὺς, καὶ ἐποίησε τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῇ. τὸν δὲ Ἐπαμινώνδαν τῶν παρ' Ἕλλησι στρατηγίας ἕνεκα εὐδοκιμησάντων μάλιστα ἐπαινέσαι τις ἂν, ἢ ὕστερόν γε οὐδενὸς ποιήσαιτο. Λακεδαιμονίων μὲν γὰρ καὶ Ἀθηναίων τοῖς ἡγεμόσι πόλεών τε ἀξίωμα

tum comperi. Epaminondas quidem, quum eum saucium sui ex acie retulissent, vulnus opposita manu compressit; pugnamque prospectans ex eo loco, quem Speculam postera aetas *ab ipsius facto* appellavit, dolorem eousque pertulit, donec aequatum vidit pugnae exitum. Inde quum amota manu animam efflasset, eo ipso in loco, quo fuerat praelium commissum, est sepulturae mandatus. (5) Eius tumulo imposita est columna cum scuto, in quo draco caelatus est. Indicat hoc insigne, Epaminondam ab iis ortum ducere, qui Sparti sunt nuncupati, *quod editi in lucem dicantur e draconis dentium satione.* Pilae vero in monumento duae eminent; prisci operis altera, cum Boeotica inscriptione; alteram Adrianus Imperator dedicavit, et inscriptionem ipse addidit. Et Epaminondam quidem gloria praestantibus apud Graecos Imperatoribus, iure optimo parem potius quam inferiorem quovis ducas. Nam quum Lacedaemoniorum et Atheniensium ducibus priscus patriae

ὑπῆρχεν ἐκ παλαιοῦ, καὶ οἱ στρατιῶται φρονήματος ἦσαν ἔχοντες· Θηβαίους δὲ Ἐπαμινώνδας ἀθύμους τὰς γνώμας, καὶ ἄλλων ἀκούειν εἰωθότας, ἀπέφηνεν ἐν οὐ πολλῷ κρατεύοντας. (6) Ἐγεγόνει δὲ τῷ Ἐπαμινώνδᾳ μαντεία πρότερον ἔτι ἐκ Δελφῶν, πέλαγος αὐτὸν φυλάσσεσθαι·
623 καὶ ὁ μὲν τριήρους τε μὴ ἐπιβῆναι, μηδὲ ἐπὶ νεὼς φορτίδος πλεῦσαι δεῖμα εἶχε. τῷ δὲ ἄρα Πέλαγος δρυμὸν καὶ οὐ θάλασσαν προέλεγεν ὁ δαίμων. χωρία δὲ ὁμώνυμα καὶ Ἀννίβαν ὕστερον τὸν Καρχηδόνιον, καὶ πρότερον ἔτι Ἀθηναίους ἠπάτησεν. Ἀννίβᾳ γὰρ χρησμὸς ἀφίκετο παρὰ Ἄμμωνος, ὡς ἀποθανὼν γῇ καλυφθήσεται Λιβύσσῃ. ὁ μὲν δὴ ἤλπιζεν, ἀρχήν τε τὴν Ῥωμαίων καθαιρήσειν, καὶ οἴκαδε ἐς τὴν Λιβύην ἐπανελθὼν τελευτήσειν γήρᾳ τὸν βίον. Φλαμινίου δὲ τοῦ Ῥωμαίου ποιουμένου σπουδὴν, ἑλεῖν ζῶντα αὐτὸν, ἀφικόμενος παρὰ Προυσίαν ἱκέτης, καὶ ἀπωσθεὶς ὑπ' αὐτοῦ, ἀνεπήδα τε ἐπὶ τὸν ἵππον, καὶ γυμνωθέντος τοῦ ξίφους, τιτρώσκε-

splendor magno fuerit *ad res magnas capessendas* adiumento, militesque ipse ductum magnitudini virtute sua facile responderint, Epaminondas Thebanos, quos rebus suis maxime diffidentes nactus fuerat, et aliarum *Graeciae civitatum* imperiis assuefactos, brevi ad principatus gloriam evexit. (6) Acceperat is iampridem ex Delphici Apollinis oraculo, Pelagus sibi cavendum. Quare fuit illi praecipua cautio, ne aut triremibus, aut oneraria unquam navi veheretur. At praemonuerat deus non mare, sed saltum eum devitandum, cui Pelagus nomen. Haec nominum ambiguorum similitudo Annibalem postea Carthaginensem, et Athenienses antea fefellit. Annibali quidem oraculum redditum fuerat ex Ammonis fano, fore, ut mortuus Libyssa humo contegeretur. Quare in spem venerat, deleto Romanorum imperio, in patria se postremum vitae diem exacta iam aetate clausurum. Atenim quum Flaminius illum *ex foedere* vivum sibi dedi postulasset, a Prusia *Bithyniae rege*, ad quem supplex confugerat, reiectus, quum in equum ascen-

τος τοῦ δόρατος, προσελθόντι δέ οἱ ἀνάδυσις οὐ πολλή, πυρετός τε ἀπὸ τοῦ τραύματος καὶ ἡ τελευτὴ τριταίῳ συνέβη. τὸ δὲ χωρίον, ἔνθα ἀπέθανε, καλοῦσιν οἱ Νικομηδεῖς Λίβυσσαν. Ἀθηναίοις δὲ μάντευμα ἦλθεν ἐκ Δωδώνης, Σικελίαν οἰκίζειν· ἡ δὲ οὐ πόῤῥω τῆς πόλεως ἡ Σικελία λόφος ἐστὶν οὐ μέγας. οἱ δὲ οὐ συμφρονήσαντες τὸ εἰρημένον, ἔς τε ὑπερορίους στρατείας προήχθησαν, καὶ ἐς τὸν Συρακουσίων πόλεμον. ἔχοι δ' ἄν τις καὶ πλείονα τοῖς εἰρημένοις ἐοικότα ἄλλα ἐξευρεῖν.

CAPUT XII.

De templo Iovis Charmonis, vario quercuum genere in saltibus Arcadum et vico Methydrio — campo Alcimedonte et Alcimedonte heroë eiusque filia Phillo — loco Petrosaca dicto — viis Orchomenum versus, Ladae stadio et Penelopes tumulo — priscae Mantineae et vici Maerae reliquiis — monte Anchisia et Anchisae monumento.

Τοῦ τάφου δὲ τοῦ Ἐπαμινώνδα μάλιστα που σταδίου μῆκος Διὸς ἀφέστηκεν ἱερὸν ἐπίκλησιν Χάρμωνος. Ἀρ-

deret, sponte sua nudato digitum laesit: atque inde non multorum sane stadiorum itinere confecto, quum eius vulneris *inflammationem* febris esset consecuta, tertio post die interiit. Oraculi itaque vocem *fatalis* vici nomen implevit. Libyssam enim Nicomedenses appellabant. Atheniensibus etiam responsum e Dodona redditum fuerat, Siciliam coloniam deducendam. Non longe ab urbe aberat terrae non sane magnus tumulus, cui Siciliae nomen: at illi oraculi vocem alio trahentes, extra fines bellum inferre ausi, apud Syracusas *magna clade temeritatem suam luere*. Sed persimilis *errationis* multa colligi possint exempla *ab iis, quibus hoc praecipue fuerit curae: nos ad institutum redeamus.*

Cap. XII. Ab Epaminondae sepulcro haud amplius uno stadio distat Iovis templum, Charmonis cognomine. In Ar-

κάδων δ' ἐν τοῖς δρυμοῖς εἰσιν αἱ δρῦς διάφοροι· καὶ τὰς μὲν πλατυφύλλους αὐτῶν, τὰς δὲ φηγοὺς καλοῦσιν· αἱ τρίται δὲ ἀραιὸν τὸν φλοιὸν καὶ οὕτω δὴ παρέχονται κοῦφον, ὥστε ἀπ' αὐτοῦ καὶ ἐν θαλάσσῃ ποιοῦνται ση-
624 μεῖα ἀγκύραις καὶ δικτύοις. ταύτης τῆς δρυὸς τὸν φλοιὸν ἄλλοι τε Ἰώνων καὶ Ἑρμησιάναξ, ὁ τὰ ἐλεγεῖα ποιήσας, φελλὸν ὀνομάζουσιν. Ἐς Μεθύδριον δὲ πόλιν μὲν οὐκ ἔτι, κώμην δὲ ἐς τὰ Μεγαλοπολιτικὸν συντελοῦσαν, ἐς τοῦτό ἐστι τὰ Μεθύδριον ἐκ Μαντινείας ὁδός. (2) Προελθόντι δὲ σταδίους τριάκοντα, πεδίον τε ὀνομαζόμενον Ἀλκιμέδων, καὶ ὑπὲρ τοῦ πεδίου τὸ ὄρος ἐστὶν ἡ Ὀστρακίνα, ἐν δὲ αὐτῷ σπήλαιον, ἔνθα ᾤκησεν Ἀλκιμέδων, ἀνὴρ τῶν καλουμένων ἡρώων. τούτου τοῦ Ἀλκιμέδοντος θυγατρὶ συγγενέσθαι Φιλλοῖ, ὡς Φιγάλιοι λέγουσιν, Ἡρακλέα· ὡς δὲ ᾔσθετο αὐτὴν ὁ Ἀλκιμέδων τεκοῦσαν, ἐκτίθησιν ἀπολουμένην ἐς τὸ ὄρος, σὺν δὲ αὐτῇ καὶ τὸν παῖδα, ὃν ἔτεκε· καλοῦσι δὲ Αἰχμαγόραν αὐτὸν οἱ Ἀρκάδες· ἀνακλαίοντος δὲ, ὡς ἐξέκειτο, τοῦ παιδὸς, κίσσα ἡ ὄρνις ἐπήκουσέ τε ὀδυρομένου καὶ ἀπεμιμεῖτο τὰ κλαύ-

cadunt saltibus quercus diversa inter se *forma* sunt. Earum alias *a latiore folio* platyphyllos; alias fagos nuncupant. Tertium est genus tam raro et levi cortice, ut ex eo anchorarum in mari indices, et fundarum faciant. *Quare et* Iones reliqui et Hermesianax elegorum poeta, phellon *(id est suberem)* eum ipsum corticem nominant. Ad Methydrium, non sane amplius oppidum, sed vicum Megalopolitarum ditionis, via *una* e Mantinea perducit. (2) Progressos stadia XXX, campus excipit, cui nomen Alcimedon: supra quem mons Ostracina: in quo antrum, ubi Alcimedon habitavit. Fuit hic de heroibus unus; cuius filiam nomine Phillonem vitiatam ab Hercule Phigalii memorant: a patre vero statim a puerperio in *proximum* montem feris expositam cum puero. Ibi vagientem infantem quum pica imitaretur, ad avis vocem, quod puerilem esse credidisset,

ματα· καί πως ὁ Ἡρακλῆς ἐρχόμενος τὴν ὁδὸν ταύτην, ἐπήκουσε τῆς κίσσης, καὶ (ἐνόμισε γὰρ παιδὸς εἶναι, καὶ οὐκ ὄρνιθος, τὸν κλαυθμὸν) ἐτράπετο εὐθὺ τῆς φωνῆς· γνωρίσας δὲ, αὐτήν τε ἔλυσε τῶν δεσμῶν, καὶ τὸν παῖδα ἀνεσώσατο. ἐξ ἐκείνου δὲ ἡ πλησίον πηγὴ Κίσσα ἀπὸ τῆς ὄρνιθος ὀνομάζεται. (8) Τεσσαράκοντα δὲ ἀπὸ τῆς πηγῆς στάδια ἀφέστηκε Πετροσάκα καλούμενον χωρίον· Μεγαλοπολιτῶν δὲ καὶ Μαντινέων ὅρος ἐστὶν ἡ Πετροσάκα. Ἐπὶ δὲ ὁδοῖς ταῖς κατειλεγμέναις δύο ἐς Ὀρχομενόν εἰσιν ἄλλαι, καὶ τῇ μέν ἐστι καλούμενον Λάδα στάδιον, ἐς ὃ ἐποιεῖτο Λάδας μελέτην δρόμου, καὶ παρ' αὐτὸ ἱερὸν Ἀρτέμιδος, καὶ ἐν δεξιᾷ τῆς ὁδοῦ γῆς χῶμα ὑψηλόν· Πηνελόπης δὲ εἶναι τάφον φασὶν, οὐχ ὁμολογοῦντες τὰ ἐς αὐτὴν ποιήσει τῇ Θεσπρωτίδι ὀνομαζομένῃ. ἐν ταύτῃ μέν γέ ἐστι τῇ ποιήσει, ἐπανήκοντι ἐκ Τροίας Ὀδυσσεῖ τεκεῖν τὴν Πηνελόπην Πτολιπόρθην παῖδα. Μαντινέων δὲ ὁ ἐς αὐτὴν λόγος Πηνελόπην φησὶν ὑπὸ Ὀδυσσέως καταγνωσθεῖσαν, ὡς ἐπισπάστους ἐσαγάγοιτο ἐς τὸν οἶκον, καὶ ἀποπεμφθεῖσαν ὑπ' αὐτοῦ, τὸ μὲν παραυτίκα

Herculem forte illac iter habentem conversum, puellam, et a se genitum puerum (quem Aechmagoram appellatum tradunt) agnovisse, ambosque vinculis liberasse. De rei eventu fontem proximum Cissam (*id est picam*) nuncupatum. (8) Ab hoc fonte stadia XL abest Petrosaca vicus, in ipso Megalopolitarum et Mantinensium confinio. Sed praeter eas, quas ante indicavimus vias, duae aliae Orchomenum deducunt. In earum una stadium est, quod Ladae appellant, quod in eo se Ladas ad cursum exercere sit solitus. Proxime est Dianae aedes: et ad viae dexteram terrae editus agger: Penelopes tumulum esse dicunt. Neque enim de Penelope Arcadum sermo cum Thesprodite poesi congruit. In ea enim proditum est memoriae, post Ulyssis a Troia reditum, Penelopen ei Ptoliportham peperisse. At Mantinenses longe alium distulerunt sermonem, ab Ulysse *eo crimine* damnatam, quod ultro procos invitasset: domoque

ἐς Λακεδαίμονα ἀπελθεῖν, χρόνῳ δὲ ὕστερον ἐκ τῆς Σπάρτης ἐς Μαντίνειαν μετοικῆσαι, καὶ οἱ τοῦ βίου τὴν τελευτὴν ἐνταῦθα συμβῆναι. (4) Τοῦ τάφου δὲ ἔχεται
625 τούτου πεδίον οὐ μέγα, καὶ ὄρος ἐστὶν ἐν τῷ πεδίῳ, τὰ ἐρείπια ἔτι Μαντινείας ἔχον τῆς ἀρχαίας· καλεῖται δὲ τὸ χωρίον ἐφ' ἡμῶν Πτόλις. κατὰ δὲ τὸ πρὸς ἄρκτον αὐτῆς προελθόντι ὁδὸν οὐ μακρὰν, Ἀλαλκομενίας ἐστὶ πηγή, τῆς πόλεως δὲ μετὰ σταδίους τριάκοντα κώμης ἐρείπια καλουμένης Μαίρας· εἰ δὴ ἐνταῦθα, καὶ μὴ ἐν τῇ Τεγεατῶν ἐτάφη· Τεγεάταις γὰρ τοῦ λόγου τὸ εἰκὸς καὶ οὐ Μαντινεῦσιν ἕπεται, Μαῖραν τὴν Ἄτλαντος παρὰ σφίσι ταφῆναι· τάχα δ' ἂν καὶ ἀπόγονος τῆς Ἄτλαντος Μαίρας ἑτέρα Μαῖρα ἀφίκοιτο ἐς τὴν Μαντινικήν. (5) Λείπεται δὲ ἔτι τῶν ὁδῶν ἡ ἐς Ὀρχομενὸν, καθ' ἥντινα Ἀγχισία τε ὄρος καὶ Ἀγχίσου μνῆμά ἐστιν ὑπὸ τοῦ ὄρους τοῖς ποσίν. ὡς γὰρ δὴ ἐκομίζετο ἐς Σικελίαν ὁ Αἰνείας, ἔσχε ταῖς ναυσὶν ἐς τὴν Λακωνικὴν, καὶ πόλεών τε Ἀφρο-

exactam, Spartam prius, deinde Mantineam se recepisse: ibique vitae ei finem contigisse. (4) Proxima, atque adeo huic tumulo contigua planities est non sane magna. In ea mons; ubi ruinae cernuntur priscae Mantineae. Locus hac etiamnum aetate Ptolis dicitur. Hinc aquilonem versus digressus, modico viae spatio confecto, ad fontem Alalcomeniae pervenias. Ab urbe stadia XXX absunt rudera vici, cui Maerae nomen; si modo Maera hoc in loco, et non in Tegeatum finibus fuit sepulta. Veri enim, quae de eius sepulcro dicunt Tegeatae, quam quae Mantinenses, similiora videntur; fuisse scilicet Atlantis filiam Maeram apud se humatam. Forte vero ex huius stirpe, alia et ipsa nomine Maera, in Mantinensium fines venit; *quae ibi sepulta, vico nomen reliquit.* In altera viarum, quae Orchomenum contendunt, Anchisia mons est; et ad imum montem Anchisae sepulcrum. Quum enim in Siciliam transmitteret Aeneas, in Laconicam terram appulit; atque ibi Aphrodisiade et

διάδος καὶ Ἤτιδος ἐγένετο οἰκιστής, καὶ τὸν πατέρα Ἀγχίσην, κατὰ πρόφασιν δή τινα παραγενόμενον ἐς τοῦτο τὸ χωρίον, καὶ αὐτόθι τοῦ βίου τῇ τελευτῇ χρησάμενον, ἔθαψεν ἐνταῦθα· καὶ τὸ ὄρος τοῦτο ἀπὸ τοῦ Ἀγχίσου καλοῦσιν Ἀγχισίαν. τούτου δὲ συντελοῦσιν ἐς πίστιν Αἰολέων οἱ Ἴλιον ἐφ' ἡμῶν ἔχοντες, οὐδαμοῦ τῆς σφετέρας ἀποφαίνοντες μνῆμα Ἀγχίσου. πρὸς δὲ τοῦ Ἀγχίσου τῷ τάφῳ ἐρείπιά ἐστιν Ἀφροδίτης ἱεροῦ, καὶ Μαντινέων ὅροι πρὸς Ὀρχομενίους καὶ ἐν ταῖς Ἀγχισίαις εἰσίν.

CAPUT XIII.

De memorandis in Orchomeniorum finibus, templo Dianae Hymniae — Orchomeniorum priscae urbis reliquiis et memorandis — monte Trachy, et urbe Caphya — Aristocratis monumento, fontibus Teneis et vico Amilo — via Stymphalum versus et Pheneum, ac Carya vico.

Ἐν δὲ τῇ χώρᾳ τῇ Ὀρχομενίων, ἐν ἀριστερᾷ τῆς ὁδοῦ
τῆς ἀπὸ Ἀγχισιῶν, ἐν ὑπτίῳ τοῦ ὄρους, τὸ ἱερόν ἐστι
τῆς Ὑμνίας Ἀρτέμιδος· μέτεστι δὲ αὐτοῦ καὶ Μαντινεῦσι· 626
καὶ ἱέρειαν καὶ ἄνδρα ἱερέα, τούτοις οὐ μόνον τὰ ἐς τὰς
μίξεις, ἀλλὰ καὶ ἐς τὰ ἄλλα ἀγιστεύειν καθέστηκε τὸν

Oetide urbibus conditis, Anchisem patrem, qui, quum in haec loca quacunque de causa venisset, diem suum obierat, ad sepulturam ibidem dedit. Anchisiae itaque monti ab Anchisa nomen inditum. Huic rei fidem facit, quod Aeolenses qui aetate nostra Ilium incolunt, nusquam Anchisae tumulum ostendunt. Adiacent Anchisae sepulcro templi, quod Veneri dicatum fuerat, rudera. Sunt etiam ad Anchisias agrorum inter Mantinenses et Orchomenios termini.

Cap. XIII. Intra Orchomeniorum fines ad viae laevam, iis qui ab Anchisiis digressi fuerint, in declivi montis parte aedes est Dianae, Hymniae *cognomento*. In ea Mantinenses etiam rei divinae operam dant. Apud hos sancitum est, ut sacerdos foemina pariter et mas castimoniam colant non

χρόνον τοῦ βίου πάντα· καὶ οὔτε λουτρὰ, οὔτε δίαιτα λοιπὴ κατὰ τὰ αὐτά σφίσι, καθὰ καὶ τοῖς πολλοῖς ἐστιν, οὐδὲ ἐς οἰκίαν παρίασιν ἀνδρὸς ἰδιώτου. τοιαῦτα οἶδα ἕτερα ἐνιαυτὸν καὶ οὐκ ἀεὶ πρὸς Ἐφεσίων ἐπιτηδεύοντας τοὺς τῇ Ἀρτέμιδι ἱστιάτορας τῇ Ἐφεσίᾳ γινομένους, καλουμένους δὲ ὑπὸ τῶν πολιτῶν Ἐσσῆνας. τῇ δὲ Ἀρτέμιδι τῇ Ὑμνίᾳ καὶ ἑορτὴν ἄγουσιν ἐπέτειον. (2) Ὀρχομενίοις δὲ ἡ προτέρα πόλις ἐπὶ ὄρους ἦν ἄκρᾳ τῇ κορυφῇ, καὶ ἀγορᾶς τε καὶ τειχῶν ἐρείπια λείπεται· τὴν δὲ ἐφ' ἡμῶν πόλιν ὑπὸ τὸν περίβολον οἰκοῦσι τοῦ ἀρχαίου τείχους. θέας δὲ αὐτόθι ἄξια πηγή τε, ἀφ' ἧς ὑδρεύονται, καὶ Ποσειδῶνός ἐστι καὶ Ἀφροδίτης ἱερὰ, λίθου δὲ τὰ ἀγάλματα. πρὸς δὲ τῇ πόλει ξόανόν ἐστιν Ἀρτέμιδος· ἵδρυται δὲ ἐν κέδρῳ μεγάλῃ, καὶ τὴν θεὸν ὀνομάζουσιν ἀπὸ τῆς κέδρου Κεδρεᾶτιν. σωροὶ δὲ ὑπὸ τὴν πόλιν λίθων εἰσὶ διεστηκότες ἀπὸ ἀλλήλων· ἐγενήθησαν δὲ ἐν πολέμῳ πεσοῦσιν ἀνδράσιν εἰς τιμήν. οἵτισι δὲ Πελοποννησίων

tantum quod ad venereos congressus attinet, verum etiam in caeteris, idque per totum vitae spatium; iisdem non balnea, non cetera victus ratio cum vulgo communis: neque in privati ullius hominis aedes pedem unquam inferunt. Eadem apud Ephesios factitari scio ab iis, qui Ephesiae Dianae leguntur antistites: (hestiatores caeteri Graeci i. e. *epulones*, Ephesii essenas i. e. *reges* appellant) non quidem perpetuo sed annuo tantum spatio. Hymniae etiam Dianae quotannis festos dies agitant. (2) Orchomeniorum vetus oppidum in summo olim fuit montis vertice; *quo in loco* reliqua sunt fori et moenium vestigia. Nam quae hac aetate habitatur urbs, sub ipso est veterum murorum ambitu. Spectatu in ea digna, fons perennis aquae, Neptuni et Veneris delubra cum signis marmoreis. In suburbanis Dianae in magna cedro inclusa est *prisci operis* lignea effigies: deam ab arbore Cedreatim appellant. Infra oppidum per intervalla sunt e congestis lapidibus tumuli; quos in honorem peremptorum in praelio hominum erectos apparet:

ἐπολέμησαν τῶν ἄλλων ἢ Ἀρκάδων αὐτῶν, οὔτε ἐπιγράμματα ἐπὶ τοῖς τάφοις ἐσήμαινεν, οὔτε οἱ Ὀρχομένιοι μνημονεύουσιν. (3) Ἔστι δὲ ἀπαντικρὺ τῆς πόλεως ὄρος Τραχύ. τὸ δὲ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ διὰ χαράδρας ῥέον κοίλης μεταξὺ τῆς πόλεως καὶ Τραχέος ὄρους, κάτεισιν ἐς ἄλλο Ὀρχομένιον πεδίον· τὸ δὲ πεδίον τοῦτο μεγέθει μὲν μέγα, τὰ πλείω δέ ἐστιν αὐτοῦ λίμνη. ἰόντι δὲ ἐξ Ὀρχομενοῦ, καὶ σταδίους προελθόντι ὅσον τρεῖς, ἡ μὲν εὐθεῖα ἐπὶ πόλιν Καφυὰν ἄγει, παρά τε αὐτὴν τὴν χα- 627
ράδραν, καὶ μετὰ ταύτην ἐν ἀριστερᾷ παρὰ τὸ ὕδωρ τὸ λιμνάζον· ἡ δὲ ἑτέρα τῶν ὁδῶν διαβάντι τὸ ὕδωρ τὸ διὰ τῆς χαράδρας ῥέον ὑπὸ Τραχύ ἐστιν ὄρος. (4) Κατὰ δὲ τὴν ὁδὸν ταύτην πρῶτον μὲν μνῆμά ἐστιν Ἀριστοκράτους, ὃς βίᾳ ποτὲ ᾔσχυνε τὴν ἱερωμένην τῇ Ὑμνίᾳ θεῷ παρθένον. μετὰ δὲ τοῦ Ἀριστοκράτους τὸν τάφον πηγαί τε εἰσὶ καλούμεναι Τενεῖαι, καὶ ἀπέχει τῶν πηγῶν στάδια ὡς ἑπτὰ Ἄμιλος χωρίον· πόλιν δὲ τὴν Ἀμιλόν ποτε εἶναι λέγουσι. (5) Κατὰ τοῦτο αὖθις τὸ χωρίον

verum cum quibus vel Peloponnesiorum, vel Arcadum ipsorum bellatum sit, neque ullae in sepulcris indicant inscriptiones, neque ipsi Orchomenii memoriae proditum habent. (3) Ex adverso urbis mons est, cui Trachys *(id est, Asper)* nomen. Inter eum montem et urbis moenia, pluvia aqua profundo excepto alveo, in alteram Orchomeniorum planitiem defluit: longe lateque illam quidem patentem, sed cuius maximam partem palus occupet. Ab Orchomeno stadia prope tria profectis, altera via recta in oppidum Caphyam ducit praeter supra dicti torrentis alveum, et deinceps praeter stagnum ad sinistram, altera sub Trachyn montem est, ubi torrentis alveum transieris; (4) iuxta quam Aristocratis sepulcrum, eius nempe, qui virgini Hymniae Dianae sacerdoti olim per vim vitium obtulit. Modico intervallo ab Aristocratis sepulcro absunt fontes, Teneae appellati. Distat ab his stadia ferme septem Amilus: qui vicus olim urbs fuisse dicitur. (5) Hic se rursus in bivium

διχὰ ἡ ὁδὸς τέμνεται· καὶ ἡ μὲν ἐπὶ Στυμφήλου, ἡ δὲ ἐς Φενεὸν αὐτῶν ἄγει. κατὰ δὲ τὴν ἐς Φενεὸν ἐκδέξεταί σε ὄρος· ἐν δὲ τῷ ὄρει τούτῳ συνάπτουσιν Ὀρχομενίων καὶ Φενεατῶν τε καὶ Καφυατῶν ὅροι τῆς γῆς. ἀνατείνει δὲ ὑπὲρ τοὺς ὅρους κρημνὸς ὑψηλός· πέτραν Καφυατικὴν ὀνομάζουσι τὸν κρημνόν. μετὰ δὲ τοὺς ὅρους ταῖς κατειλεγμέναις πόλεσι φάραγξ τε ὑπόκειται, καὶ φέρει δι' αὐτῆς ἡ ἐς Φενεὸν ὁδός. κατὰ μέσην δέ που μάλιστα τὴν φάραγγα ὕδωρ ἄνεισιν ἐκ πηγῆς, καὶ ἐπὶ τῷ πέρατι τῆς φάραγγος Καρυαὶ χωρίον.

CAPUT XIV.

De priscae urbis Phenei reliquiis — Laonome, Amphitryonis matre — alveo Olbii fluvii ab Hercule ducto — urbe Pheneo, memorandis in eius arce et Neptuni Hippii signo ab Ulysse posito — primis aeris conflandi inventoribus — Iphiclis monumento et Iolao — Mercurio a Pheneatis inprimis culto, ludis Hermaeis et Myrtilo — maris Myrtoi denominatione, sacris Eleusiniis a Pheneatis factis et Nao.

Φενεατῶν δὲ τὸ πεδίον κεῖται μὲν ὑπὸ ταῖς Καρυαῖς· πλεονάσαντος δέ ποτε αὐτῷ τοῦ ὕδατος, κατακλυσθῆναί φασι τὴν ἀρχαίαν Φενεόν· ὥστε καὶ ἐφ' ἡμῶν σημεῖα

findit via: pars eius altera Stymphalon, Pheneon altera ducit. Per hanc Pheneon versus progressos mons excipit: in monte iuncta sunt Orchomeniorum, Pheneatûm, Caphyatûm confinia. Supra eos praeruptum saxum est: petram Caphyaticam accolae nominant. Secundum fines ipsos, iis quas paulo ante nominavimus urbibus vallis subiacet: per eam via transit, qua Pheneon iter est. In media valle aqua oritur e fonte: in extrema est vicus, *cui nomen* Caryae.

Cap. XIV. Pheneatarum campi Caryis subiecti. Ex iis campis aqua immodice stagnante veterem Pheneon deletam memorant. Manent aetate etiam nostra in montibus eius

ἐλείπετο ἐπὶ τῶν ὀρῶν, ἐς ἃ ἐπαναβῆναι τὸ ὕδωρ λέγουσι. Καρυῶν δὲ σταδίοις πέντε ἀφέστηκεν ἥ τε Ὀρυξὶς καλουμένη, καὶ ἕτερον ὄρος Σκίαθις· ὑφ' ἑκατέρῳ δέ ἐστι τῷ ὄρει βάραθρον τὸ ὕδωρ καταδεχόμενον τὸ ἐκ τοῦ πεδίου. (2) Τὰ δὲ βάραθρα οἱ Φενεᾶται ταῦτά φασιν εἶναι χειροποίητα, ποιῆσαι δὲ αὐτὰ Ἡρακλέα τηνικαῦτα ἐν Φενεῷ παρὰ Λαονόμῃ τῇ Ἀμφιτρύωνος μητρὶ οἰκοῦντα· γενέσθαι γὰρ Ἀμφιτρύωνα ἐκ Λαονόμης Ἀλκαίῳ τῆς Γούνεω, γυναικὸς Φενεάτιδος, καὶ οὐκ ἐκ τῆς Πέλοπος Λυσιδίκης. εἰ δὲ Ἡρακλῆς ἀληθεῖ λόγῳ παρὰ 628
τοὺς Φενεάτας μετῴκησε, πείθοιτο ἄν τις, διωχθέντα ἐκ Τίρυνθος ὑπὸ Εὐρυσθέως αὐτὸν οὐκ αὐτίκα ἐς Θήβας, πρότερον δὲ ἐς Φενεὸν ἀφικέσθαι. (3) Διὰ μέσου δὲ ὤρυξεν Ἡρακλῆς τοῦ Φενεατῶν πεδίου, ῥεῦμα εἶναι τῷ ποταμῷ τῷ Ὀλβίῳ, ὅντινα Ἀροάνιον Ἀρκάδων καλοῦσιν ἕτεροι, καὶ οὐκ Ὄλβιον. μῆκος μὲν τοῦ ὀρύγματος στάδιοι πεντήκοντά εἰσι· βάθος δὲ, ὅσον μὴ πεπτωκός ἐστιν αὐτοῦ, καὶ ἐς τριάκοντα καθήκει πόδας. οὐ μὴν ταύτῃ γε ἔτι κάτεισιν ὁ ποταμὸς, ἀλλὰ ἐς τὸ ῥεῦμα ἀπεχώρη-

eluvionis signa, quae, quantum aqua ascenderit, indicant. A Caryis stadia quinque distant montes Orexis et Sciathis. Ad ima utriusque montis ingentes foveae sunt, quae aquam e campis defluentem excipiunt. (2) Eas foveas manu factas Pheneatae putant, Herculem hoc operis effecisse, dum Phenei apud Laonomen Amphitryonis matrem degeret. Amphitryonem enim Alcaeo ex Gunei filia Laonome, foemina Pheneatide, non autem ex Lysidice Pelopis genitum ferunt. Quod si non vanus est hominum sermo, ad Pheneatas Herculem migrasse, adduci quis facile possit ut credat, Tirynthe ab Eurystheo pulsum, non Thebas eum primum, sed Pheneum se recepisse. (3) Ac fossam ille quidem per medios Pheneatici agri campos duxit, ut per eam Olbius amnis, quem Arcadum alii Araonium appellant, laberetur. Operis longitudo stadia L excurrit: alte subsidit, qua ripae integrae sunt, pedes haud minus XXX. Verum hoc Her-

X 2

σεν αὖθις τὸ ἀρχαῖον, καταλιπὼν τὸ ἔλυτρον, τοῦ Ἡρακλέους τὸ ἔργον. (4) Τῶν βαράθρων δὲ ἐν τοῖς εἰρημένοις πεποιημένων ὄρεσιν ἀπωτέρω πεντήκοντά που σταδίοις ἐστὶν ἡ πόλις· οἰκιστὴν δὲ οἱ Φενεᾶται λέγουσιν ἄνδρα αὐτόχθονα εἶναι Φενεόν. ἔστι δέ σφισιν ἀκρόπολις ἀπότομος πανταχόθεν, τὰ μὲν πολλὰ ἔχουσα οὕτω, ὀλίγα δὲ αὐτῆς καὶ ὠχυρώσαντο ὑπὲρ ἀσφαλείας. ἐνταῦθα ἐν τῇ ἀκροπόλει ναός ἐστιν Ἀθηνᾶς ἐπίκλησιν Τριτωνίας· ἐρείπια δὲ ἐλείπετο αὐτοῦ μόνα. καὶ Ποσειδῶν χαλκοῦς ἕστηκεν ἐπωνυμίαν Ἵππιος· ἀναθεῖναι δὲ τὸ ἄγαλμα τοῦ Ποσειδῶνος Ὀδυσσέα ἔφασαν· ἀπολέσθαι γὰρ ἵππους τῷ Ὀδυσσεῖ, καὶ αὐτὸν γῆν τὴν Ἑλλάδα κατὰ ζήτησιν ἐπιόντα τῶν ἵππων, ἱδρύσασθαι μὲν ἱερὸν ἐνταῦθα Ἀρτέμιδος, καὶ Εὐρίππαν ὀνομασθῆναι τὴν θεὸν, ἔνθα τῆς Φενεατικῆς χώρας εὗρε τὰς ἵππους· ἀναθεῖναι δὲ καὶ τοῦ Ποσειδῶνος τὸ ἄγαλμα τοῦ Ἱππίου. τῷ δὲ Ὀδυσσεῖ λέγουσιν εὑρόντι τὰς ἵππους, γενέσθαι οἱ κατὰ γνώμην, ἐν χώρᾳ τῇ Φενεατῶν ἔχειν ἵππους, καθάπερ γε καὶ τὰς βοῦς ἐν τῇ ἠπείρῳ τῆς Ἰθάκης ἀπαντικρὺ τρέφειν αὐτόν.

culeo alveo iam destituto, fluvius meatum pristinum repetiit. (4) Ab iis quidem foveis, sub iis montibus, de quibus ante egimus, dehiscentibus, quinquaginta circiter stadia progressis occurrit urbs ipsa Pheneos; cuius conditorem Pheneatae perhibent Pheneum virum indigenam. Arx est undique praetupta, et partim natura loci, partim etiam operibus munita. In ea Minervae templum fuit, cui Tritoniae cognomentum: sed eius iam sola rudera reliqua sunt. Neptuni etiam cognomine Equestris, ex aere simulacrum, Ulyssem dedicasse aiunt. Quum enim equas perdidisset, et eas quaerens *totam* Graeciam peragrasset, postremo quo loco eas reperit, ibi Dianae templum, quam Heurippen cognominarit, addito Equestris Neptuni signo, erexisse: ac sane inventas equas, ita in ea Pheneatici agri parte, ut in continenti contra Ithacam terra boves, pascendas locasse. Mihi

καί μοι καὶ γράμματα οἱ Φενεᾶται παρείχοντο ἐπὶ τοῦ
ἀγάλματος γεγραμμένα τῷ βάθρῳ, τοῦ Ὀδυσσέως δὴ τὸ
πρόσταγμα τοῖς ποιμαίνουσι τὰς ἵππους. (5) Τὰ μὲν
δὴ ἄλλα ἑπομένοις ἡμῖν τῷ Φενεατῶν λόγῳ εἰκὸς προσέ-
σται· τὸ δὲ ἄγαλμα Ὀδυσσέα ἀναθεῖναι τὸ χαλκοῦν, οὐκ
ἔχω πείθεσθαί σφισιν. οὐ γάρ πω τότε τοῦ χαλκοῦ τὰ
ἀγάλματα διὰ παντὸς ἠπίσταντο ἐργάσασθαι καθάπερ
ἐσθῆτα ἐξυφαίνοντες. τρόπον δὲ, ὅστις ἦν αὐτοῖς ἐς τὰ
χαλκᾶ ἐργασίας, ἔδειξεν ἤδη μοι τοῦ ἐς Σπαρτιάτας λό- 629
γου τὰ ἐπὶ τοῦ ἀγάλματος τοῦ Ὑπάτου Διός. διέχεαν δὲ
χαλκὸν πρῶτοι καὶ ἀγάλματα ἐχωνεύσαντο Ῥοῖκός τε Φι-
λαίου καὶ Θεόδωρος Τηλεκλέους Σάμιοι. Θεοδώρου δὲ
ἔργον ἦν καὶ ἐπὶ τοῦ λίθου τῆς σμαράγδου σφραγὶς, ἣν
Πολυκράτης ὁ Σάμου τυραννήσας ἐφόρει τε τὰ μάλιστα,
καὶ ἐπ' αὐτῇ περισσῶς δή τι ἠγάλλετο. (6) Φενεατῶν
δὲ ἐκ τῆς ἀκροπόλεως καταβαίνοντι, ἔστι μὲν στάδιον,
ἔστι δὲ ἐπὶ λόφου μνῆμα Ἰφικλέους ἀδελφοῦ τε Ἡρα-
κλέους καὶ Ἰολάου πατρός. Ἰόλαον μὲν δὴ τὰ πολλὰ

quidem Pheneatae in simulacri basi inscriptas literas monstrarunt, quibus quae cum pastoribus Ulysses pepigisset, consignata fuerint. (5) Non tamen, ut ceteris quae dicunt fidem habeam, illud ut assentiar adduci possum, ex aere signum ab Ulysse dicatum, quum nondum illis temporibus traditum fuisset, signa ex aere solido facere, tanquam vestem in textrina. Sed quale fuerit tunc aeris opificium, ostendi iam ante in eo, qui est de rebus Laconicis commentario, quum de Summi Iovis simulacro verba facerem. Primi aes fuderunt et statuas inde conflarunt Rhoecus Philaei, et Teleclis filius Theodorus, ambo Samii. Theodorus certe et smaragdum illum caelavit, quem frequentissime gestabat, quoque maxime delectabatur Polycrates Samiorum tyrannus. (6) Qua ab arce Pheneatum descenditur, stadium est, et in edito vertice sepulcrum Iphiclis, qui frater fuit Herculis, Iolai pater, Herculis laborum consortem magna ex parte fuisse Iolaum Graeci testantur. Eius vero

Ἡρακλεῖ συγκάμνειν λέγουσιν Ἕλληνες. Ἰφικλῆς δὲ ὁ Ἰολάου πατήρ, ἡνίκα ἐμαχέσατο Ἡρακλῆς πρὸς Ἠλείους τε καὶ *Αὐγέαν* τὴν προτέραν μάχην, τότε ὑπὸ τῶν παίδων ἐτρώθη τῶν *Ἄκτορος*, καλουμένων δὲ ἀπὸ *Μολιόνης* τῆς μητρός· καὶ ἤδη κάμνοντα κομίζουσιν οἱ προσήκοντες ἐς *Φενεόν*. ἐνταῦθα ἀνὴρ Φενεάτης αὐτὸν *Βουφάγος* καὶ ἡ τοῦ *Βουφάγου* γυνὴ *Πρόμνη* περιεῖπόν τε εὖ, καὶ ἀποθανόντα ἐκ τοῦ τραύματος ἔθαψαν· Ἰφικλεῖ μὲν δὴ καὶ ἐς τόδε ἔτι ἐναγίζουσιν ὡς ἥρωϊ. (7) Θεῶν δὲ τιμῶσιν Ἑρμῆν Φενεᾶται μάλιστα, καὶ ἀγῶνα ἄγουσιν Ἕρμαια· καὶ ναός ἐστιν Ἑρμοῦ σφισι, καὶ ἄγαλμα λίθου· τοῦτο ἐποίησεν ἀνὴρ Ἀθηναῖος, *Εὔχειρ* ὁ *Εὐβουλίδου*. Ὄπισθεν δὲ ἔστι τοῦ ναοῦ τάφος *Μυρτίλου*, τοῦτον Ἑρμοῦ παῖδα εἶναι *Μυρτίλον* λέγουσιν Ἕλληνες. ἡνιοχεῖν δὲ αὐτὸν *Οἰνομάῳ*· καὶ ὁπότε ἀφίκοιτό τις μνώμενος τοῦ *Οἰνομάου* τὴν θυγατέρα, ὁ μὲν ἤλαυνεν ὁ *Μυρτίλος* σὺν τέχνῃ τοῦ *Οἰνομάου* τὰς ἵππους, ὁ δὲ ἐν τῷ δρόμῳ τὸν μνηστῆρα, ὁπότε ἐγγὺς γένοιτο, κατηκόντιζεν. Ἱπποδαμείας δὲ ἦρα μὲν καὶ αὐτὸς ὁ *Μυρτίλος*,

pater Iphicles, quum in prima Herculis contra Augean Eleorum regem pugna, ab Actoris filiis, qui *Molionidae* sunt a Molione matre appellati, vulnus accepisset, a propinquis Pheneon delatus est. Ibi eum Pheneates Buphagus, et eius uxor Promne valde accurate tractarunt, et ex vulnere mortuum sepelierunt: et Iphicli hac etiam aetate tanquam heroi parentare solemne habent. (7) Deorum vero omnium maxime Mercurium Pheneatae venerantur, eique ludos faciunt Hermaea. Templum exstat Mercurii cum signo marmoreo, quod fecit Atheniensis Euchir Eubulidae filius. A tergo templi est, Myrtili sepulchrum, quem Graeci Mercurii filium fuisse tradidere, Oenomai aurigam: quoties vero quis de procis filiae in certamen descendisset, currus ea arte regere solitum, ut Oenomaus victores assecutus, *hasta eos statim* transfigeret. Hippodamiae ipse etiam amore captus, quum

ἐς δὲ τὸν ἀγῶνα ἀτόλμως ἔχων ὑπεῖξε, καὶ ἡνιόχει τῷ Οἰνομάῳ. τέλος δὲ καὶ ἀναφανῆναι τοῦ Οἰνομάου προδότην φασὶν αὐτὸν ὑπαχθέντα ὅρκοις, ὥς οἱ νύκτα ὁ Πέλοψ μίαν Ἱπποδαμείᾳ συγγενέσθαι παρήσει. ἀναμιμνήσκοντα οὖν τῶν ὅρκων ὁ Πέλοψ ἐξέβαλεν ἐκ τῆς νεώς· Φενεᾶται δὲ τοῦ Μυρτίλου τὸν νεκρὸν ἐκβληθέντα ὑπὸ τοῦ κλύδωνος λέγουσιν ἀνελόμενοι θάψαι, καὶ νύκτωρ 630
κατὰ ἔτος ἐναγίζουσιν αὐτῷ. (8) Ἔστι δὲ ὁ Πέλοψ δῆλος οὐ πολλήν τινα παραπλεύσας θάλασσαν, ἀλλὰ ὅσον ἀπὸ τοῦ Ἀλφειοῦ τῶν ἐκβολῶν ἐς τὸ ἐπίνειον τὸ Ἠλείων. οὐκ ἂν οὖν τό γε πέλαγος τὸ Μυρτῶον ἀπὸ Μυρτίλου τοῦ Ἑρμοῦ φαίνοιτο κεκλημένον, ἀρχόμενόν τε ἀπὸ Εὐβοίας καὶ παρ' Ἑλένην ἔρημον νῆσον καθῆκον ἐς τὸ Αἰγαῖον. ἀλλά μοι δοκοῦσιν Εὐβοέων οἱ τὰ ἀρχαῖα μνημονεύοντες εἰκότα εἰρηκέναι, λέγοντες ἀπὸ γυναικὸς Μυρτοῦς τῷ πελάγει γεγονέναι τὸ ὄνομα τῷ Μυρτώῳ. Φενεάταις δὲ καὶ Δήμητρός ἐστιν ἱερὸν ἐπίκλησιν Ἐλευσινίας, καὶ ἄγουσι τῇ θεῷ τελετήν, τὰ ἐν Ἐλευσῖνι δρώ-

non auderet in certamine fortunam experiri suam, pergebat aurigae munera obire. Proditum postremo ab eo Oenomaum narrant, quum Pelopem iureiurando adegisset, ut unam sibi Hippodamiae nocte concederet: verum quum victorem promissi moneret, ab eo e navi *in mare* abiectum aiunt. Eius cadaver aestu eiectum sepulturae mandasse Pheneatae dicuntur: iis certe Myrtilo parentalia stata quotannis nocte faciunt. (8) Satis perspicuum est, non fuisse longinquo mari vectum Pelopem; sed ab Alphei ostio *profectum*, ad Eleorum navale *applicuisse*. Quare ne Myrtoum quidem mare a Myrtilo Mercurii filio nomen accepisse credendum, quum ab Euboea *fere* incipiens, ad insulam desertam, quae Helene dicitur, cum Aegaeo iungatur. Probabilior mihi Euboeensium antiquariorum sententia videtur, qui a Myrtone puella nomen ei pelago inditum putant. Est apud Pheneatas etiam Cereris cognomento Eleusiniae fanum; cui initia eodem ritu, quo apud Eleusinem peraguntur, quippe quo-

μενα καὶ παρὰ σφίσι τὰ αὐτὰ φάσκοντες καθεστηκέναι· ἀφικέσθαι γὰρ αὐτοῖς Νάον κατὰ μάντευμα ἐκ Δελφῶν· τρίτον δὲ ἀπόγονον Εὐμόλπου τοῦτον εἶναι τὸν Νάον.

CAPUT XV.

De Petromate apud Pheneatas et persona Cereris Cidariae Cererisque Thesmiae fano — memorandis in via Pellenen et Aegiram versus — Telamone et Chalcodonte Herculis contra Eleos sociis — Pheneatarum et Achaeorum finibus, monte Crathide et Dianae Pyroniae templo.

Παρὰ δὲ τῆς Ἐλευσινίας τὸ ἱερὸν πεποίηται Πέτρωμα καλούμενον, λίθοι δύο ἡρμοσμένοι πρὸς ἀλλήλους μεγάλοι. ἄγοντες δὲ παρὰ ἔτος, ἥντινα τελετὴν μείζονα ὀνομάζουσι, τοὺς λίθους τούτους τηνικαῦτα ἀνοίγουσι· λαβόντες γράμματα ἐξ αὐτῶν ἔχοντα ἐς τὴν τελετήν, καὶ ἀναγνόντες ἐς ἐπήκοον τῶν μυστῶν, κατέθεντο ἐν νυκτὶ αὖθις τῇ αὐτῇ. Φενεατῶν δὲ οἶδα τοὺς πολλοὺς καὶ ὀμνύντας ὑπὲρ μεγίστων τῷ Πετρώματι. καὶ ἐπίθημα ἐπ' αὐτῷ περιφερές ἐστιν, ἔχον ἐντὸς Δήμητρος πρόσωπον

rum eosdem plane ritus apud se quoque institutos fuisse dictitent. Venisse enim in haec loca ex Apollinis Delphici oraculo Naum, *a quo sacrorum ritus acceperint:* et Naum quidem Eumolpi pronepotem fuisse.

Cap. XV. Prope fanum Eleusiniae, lapides eminent praegrandes duo, alter apte alteri impositus: Petroma vocant. Eos lapides, ubi anniversarii sacri, quae Maiora nominant initia, dies appropinquant, disiungunt, atque inde literas educunt, quibus pompae ritus, et quae fieri oportet omnia consignata sunt. Eum commentarium quum audientibus iis qui initiati fuerint recitandum curarint, ea ipsa nocte in pristinam sedem reponunt. Ad eam lapidum compagem compertum habeo, Pheneatarum multitudinem de maximis quibusque rebus iusiurandum concipere solitam. Operimentum ei imminet rotundo ambitu. In eo facies Cereris

Κιδαρίας. τοῦτο ὁ ἱερεὺς περιθέμενος τὸ πρόσωπον ἐν τῇ μείζονι καλουμένῃ τελετῇ, ῥάβδοις κατὰ λόγον δή τινα τοὺς ὑποχθονίους παίει. Φενεατῶν δέ ἐστι λόγος (καὶ πρὶν ἢ Νάον ἀφικέσθαι γὰρ καὶ ἐνταῦθα Δήμητρα πλανωμένην), ὅσοι Φενεατῶν οἴκῳ τε καὶ ξενίοις ἐδέξαντο αὐτὴν, τούτοις τὰ ὄσπρια ἡ θεὸς τὰ ἄλλα, κύαμον δὲ οὐκ ἔδωκέ σφισι. κύαμον μὲν οὖν ἐφ' ὅτῳ μὴ καθαρὸν εἶναι νομίζουσιν ὄσπριον, ἔστιν ἱερὸς ἐπ' αὐτῷ λόγος. 631
οἱ δὲ τῷ Φενεατῶν μὲν λόγῳ δεξάμενοι τὴν θεὸν, Τρισαύλης καὶ Δαμιθάλης, ἐποιήσαντο μὲν Δήμητρος ναὸν, (θέσθαι δὲ ὑπὸ τῷ ὄρει τῇ Κυλλήνῃ) κατεστήσαντο δὲ αὐτῇ καὶ τελετὴν, ἥντινα καὶ νῦν ἄγουσιν. ὁ δὲ ναὸς οὗτος τῆς Θεσμίας σταδίους πέντε μάλιστά που καὶ δέκα ἐστὶν ἀπωτέρω τῆς πόλεως.

(2) *Ἐς δὲ Πελλήνην ἐκ Φενεοῦ καὶ ἐς Αἴγειραν ἰόντι Ἀχαιῶν πόλιν, πέντε που προεληλυθότι καὶ δέκα σταδίους, Ἀπόλλωνός ἐστι Πυθίου ναός· ἐρείπια δ' ἐλείπετο αὐτοῦ μόνα, καὶ βωμὸς μέγας λίθου λευκοῦ. ἐνταῦθα*

cognomento Cidariae servatur. Eam faciem sacerdos tanquam personam indutus, statis, quae initia maiora appellantur, diebus populares patrio quodam ritu virgis caedit. Venisse in haec etiam loca Pheneatae Cererem dictitant ante Naum, dum errabunda *Proserpinam quaeritaret*; et iis qui se comiter ac liberaliter accepissent, legumina divisisse omnia, praeter fabam. Qua enim maxime de causa impurum legumen faba sit, arcanis commentariis mandatum est. Iam vero qui (uti Pheneatae narrant) Cererem hospitio acceperunt, quique ei templum ad imam Cyllenen erexerunt, et initia deae instituere, quae nunc etiam in officio permanent, Trisaules iis et Damithales nomina. Abest hoc *Cereris cognomento* Thesmiae fanum ab urbe stadia prope XV. (2) Qua Pellenen et Aegiran a Pheneo iter est, stadia circiter XV progressi, ad Apollinis Pythii templum accedant. Sedenim ex eo sola rudera, et magnam e candido lapide aram vetustas reliqua fecit. Ad eam aram Pheneatae hoc

ἔτι καὶ νῦν Ἀπόλλωνι Φενεᾶται καὶ Ἀρτέμιδι θύουσιν, Ἡρακλέα ἑλόντα Ἦλιν τὸ ἱερὸν λέγοντες ποιῆσαι. (3) Ἔστι δὲ αὐτόθι καὶ ἡρώων μνήματα, ὅσοι σὺν Ἡρακλεῖ στρατείας ἐπὶ Ἠλείους μετασχόντες οὐκ ἀπενόστησαν οἴκαδε ἐκ τῆς μάχης. τέθαπται δὲ Τελαμὼν ἐγγύτατα τοῦ ποταμοῦ τοῦ Ἀροανίου, ἀπωτέρω μικρὸν ἢ ἔστι τὸ ἱερὸν τοῦ Ἀπόλλωνος· Χαλκώδων δὲ οὐ πόῤῥω κρήνης καλουμένης Οἰνόης. τὸν μὲν δὴ Ἐλεφήνορος τοῦ ναυσὶν ἐς Ἴλιον ἡγησαμένου, καὶ τὸν Αἴαντός τε καὶ Τεύκρου, τούτων μὲν τοὺς πατέρας οὐκ ἀποδέξαιτο ἄν τις ἐν τούτῳ πεσεῖν τῷ ἀγῶνι. πῶς μὲν γὰρ συνεπελάβετο Ἡρακλεῖ τοῦ ἔργου Χαλκώδων, ὃν πρότερον ἔτι ἀπέκτεινεν Ἀμφιτρύων; καὶ μαρτυρεῖται καὶ πιστεύειν ἄξιά ἐστιν ἐν Θήβαις. πῶς δὲ Τεῦκρος ᾤκισεν ἂν Σαλαμῖνα ἐν Κύπρῳ πόλιν, μηδενὸς, ὡς ἀνέστρεψεν ἐκ Τροίας, ἐκβαλόντος ἐκ τῆς οἰκίας; τίς δ᾽ ἂν ἐξήλασεν ἄλλος πλὴν ὁ Τελαμὼν αὐτόν; δῆλα οὖν ἐστι, Χαλκώδοντα οὐ τὸν ἐξ Εὐβοίας, καὶ Τελαμῶνα οὐ τὸν Αἰγινήτην, ἐπὶ Ἠλείους Ἡρακλεῖ

etiamnum tempore Apollini et Dianae sacra faciunt: Herculem Elide capta eam aedem memorant dedicasse. (3) Extant heroum illorum sepulcra, qui quum eius expeditionis Herculi socii fuissent, pugnando cecidere. Ac Telamon quidem proxime flumen Aroanium modico ab Apollinis intervallo conditus est: Chalcodon non longe a fonte Oenoe. Neminem vero errare velim, existimantem vel Chalcodontem hunc Elephenoris, qui inter duces classe ad Ilium profectus est; vel *quem ante nominavimus* Telamonem, Aiacis et Teucri patres fuisse. Qui enim Herculem Chalcodon in hoc bellum sequi potuit, quum interfectum ab Amphitryone haud dubiis Thebanorum monumentis testatum sit? Vel quonam pacto Teucer Salaminem in Cypro condidit, si nemo eum a Troia redeuntem domo prohibuit? Ecquisnam vero arcere eum praeter Telamonem potuisset? Quocirca alios omnino hos qui Herculem iuverint, ab Euboico Chalcodonte, et Aegineta Telamone, fuisse statuendum est. Enim-

μετεσχηκέναι τῆς στρατείας· ὁμώνυμοι δὲ ἐπιφανέσιν ἄνδρες ἀφανέστεροι καὶ ἐφ' ἡμῶν ἔτι καὶ τὸν ἅπαντα ἐγίγνοντο ὁμοίως χρόνον. (4) Φενεάταις δὲ πρὸς τὸ Ἀχαϊκὸν τὸ ὅμορον οὐ καθ' ἓν ὅροι τῆς γῆς εἰσιν, ἀλλὰ πρὸς 632 μὲν Πελλήνην ὁ καλούμενος Πορίνας, πρὸς δὲ τὴν Αἰγειράτιν τὸ ἐπ' Ἄρτεμιν. ἐν δὲ αὐτῶν Φενεατῶν τῇ χώρᾳ, μετὰ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Πυθίου, προήξεις τε οὐκ ἐπὶ πολύ, καὶ ἐντὸς ἔσῃ τῆς ὁδοῦ τῆς ἐπὶ τὸ ὄρος ἀγούσης τὴν Κρᾶθιν. ἐν τούτῳ τῷ ὄρει τοῦ ποταμοῦ τῆς Κράθιδός εἰσιν αἱ πηγαί· ῥεῖ δὲ ἐς θάλασσαν παρὰ Αἰγάς, ἔρημον τὰ ἐπ' ἐμοῦ χωρίον, τὰ δὲ παλαιότερα Ἀχαιῶν πόλιν. ἀπὸ τούτου δὲ καλεῖται τοῦ Κράθιδος καὶ ἐν Ἰταλίᾳ ποταμὸς ἐν τῇ Βρεττίων. ἐν δὲ τῇ Κράθιδι τῷ ὄρει Πυρωνίας ἱερόν ἐστιν Ἀρτέμιδος· καὶ τὰ ἔτι ἀρχαιότερα παρὰ τῆς θεοῦ ταύτης ἐκόμιζον Ἀργεῖοι πῦρ ἐς τὰ Λερναῖα.

vero etiam nostra aetate, sic propemodum superioribus omnibus seculis, illustriorum pleraque virorum nomina cum iis qui non tam clari fuerint, communicata sunt. (4) Pheneatas autem a finitimis Achaeis non uni dirimunt fines. Nam ad Cyllenen *inter utrosque terminus* est *fluvius*, qui Porinas dicitur; ad Aegiraticum agrum, Dianium. Intra Pheneatarum fines, secundum Pythii Apollinis templum paululum progressus in viam ingrediare, quae ad Crathin montem ducit. In eo monte Crathidis amnis fontes sunt. Labitur is in mare praeter Aegas desertum aetate mea vicum, Achaeorum olim urbem. Ab eo nomen accepit Crathis Italiae in Brutiis fluvius. Est in Crathide monte Pyroniae Dianae fanum: ex quo antiquitus Argivi ad Lernaea ignem deportabant.

CAPUT XVI.

De monte Geronteo et tribus fontibus Tricrena dictis — monte Sepia et Aepyti sepulcro — aliis memorandis sepulcris, Mausoleo et Helenae, Hebraeae mulieris, sepulcro.

Ἔστι δὲ Φενεοῦ πρὸς ἥλιον ἰόντι ἀνίσχοντα, ὄρους ἐστὶν ἄκρα, Γερόντειον, καὶ κατὰ ταύτην ὁδός· Φενεάταις δὲ ὅροι πρὸς Στυμφαλίους τῆς γῆς τοῦτό ἐστι τὸ Γερόντειον. τοῦ Γεροντείου δὲ ἐν ἀριστερᾷ διὰ τῆς Φενεατικῆς ὁδεύοντι ὅροι Φενεατῶν ἐστι Τρίκρηνα καλούμενα, καὶ εἰσιν αὐτόθι κρῆναι τρεῖς· ἐν ταύταις λοῦσαι τεχθέντα Ἑρμῆν αἱ περὶ τὸ ὄρος λέγονται Νύμφαι, καὶ ἐπὶ τούτῳ τὰς πηγὰς ἱερὰς Ἑρμοῦ νομίζουσι. (2) Τρικρήνων δὲ οὐ πόῤῥω ἄλλο ἐστὶν ὄρος Σηπία, καὶ Αἰπύτῳ τῷ Ἐλάτου λέγουσιν ἐνταῦθα γενέσθαι τὴν τελευτὴν ἐκ τοῦ ὄφεως, καὶ οἱ τὸν τάφον ἐποίησαν αὐτόθι· οὐ γὰρ οἷά τε ἦν σφισιν ἐς τὸ πρόσω φέρειν τὸν νεκρόν. τούτους οἱ Ἀρκάδες τοὺς ὄφεις γίνεσθαι καὶ ἐφ' ἡμῶν ἔτι ἐν τῷ ὄρει φασὶν, οὐ μέντοι πολλούς γε, ἀλλὰ καὶ μάλιστα

Cap. XVI. A Pheneo Orientem versus iugum montis est vertex, Geronteum nomine: eaque ducit trames. Geronteum istud Pheneatarum et Stymphaliorum fines disterminat. Ad laevam montis per Pheneaticum agrum contendentibus, Pheneatis ii sunt fines, quae Tricrena nominant, a tribus, qui illic sunt, fontibus, *quasi Trifontium dixeris*. In illis aquis *recens* in lucem editum Mercurium accolae montis Nymphae abluisse dicuntur: ob eamque rem eos fontes *tanquam* Mercurio sacros *multa cum religione* colunt. (2) Non longe a Trifontio mons est alius, *cui* Sepia *nomen;* ubi Aepytum Elati filium serpentis morsu periisse dicunt; eoque in loco humatum, quod longius cadaver efferre *(ob odoris opinor gravitatem)* non potuerint. Eius generis in eo monte ali nostra etiam aetate serpentes Arcades tradunt, sed valde iam paucos, quod, quum *densis*

σπανίους· ἔστι γὰρ τοῦ ἔτους τὸ πολὺ νιφομένου τοῦ
ὄρους, οἵ τε ἀπολειφθέντες τῶν φωλεῶν ἐκτὸς ὑπὸ τῆς
χιόνος διαφθείρονται, καί, ἢν πρότερον καταφυγόντες
τύχωσιν ἐς τὰ φωλεά, ὅμως ἡ χιὼν μέρος τι αὐτῶν ἀπόλ-
λυσιν, ἅτε καὶ εἰς αὐτὰ τὰ φωλεὰ καθικνουμένου τοῦ
κρύους. τὸν δὲ τοῦ Αἰπύτου τάφον σπουδῇ μάλιστα ἐθεα-
σάμην, ὅτι ἐν τοῖς ἐς τοὺς Ἀρκάδας ἔπεσιν ἔσχεν Ὅμηρος
λόγον τοῦ Αἰπύτου μνήματος. ἔστι μὲν οὖν γῆς χῶμα
οὐ μέγα, λίθου κρηπῖδι ἐν κύκλῳ περιεχόμενον· Ὁμήρῳ 633
δὲ (οὐ γὰρ εἶδεν ἀξιολογώτερον μνῆμα) εἰκότως παρέ-
ξειν ἔμελλε θαῦμα· ἐπεὶ καὶ Ἡφαίστου τὸν χορὸν ἐπὶ τῇ
Ἀχιλλέως ἀσπίδι εἰργασμένον εἰκάζει χορῷ Δαιδάλου ποι-
ηθέντι, σοφώτερα οὐ θεασάμενος. (3) Τάφους δὲ ἀξίους
θαύματος ἐπιστάμενος πολλούς, δυοῖν ἐξ αὐτῶν ἐπιμνη-
σθήσομαι· τοῦ τε ἐν Ἁλικαρνασσῷ, καὶ ἐν τῇ Ἑβραίων.
ὁ μὲν δὴ ἐν Ἁλικαρνασσῷ Μαυσώλῳ βασιλεύσαντι Ἁλι-
καρνασσέων πεποίηται. μέγεθος δὲ οὕτω δή τί ἐστι μέ-
γας καὶ ἐς κατασκευὴν περίβλεπτος τὴν πᾶσαν, ὥστε καὶ
Ῥωμαῖοι μεγάλως δή τι αὐτὸν θαυμάζοντες τὰ παρὰ σφί-

nivibus mons magna anni parte *undique* obducatur, vel sub divo deprehensi necentur; vel si forte in sua lustra confugerint, gelu tamen conficiantur. Atque eo quidem Aepyti sepulcrum valde studiose sum contemplatus, quod eius mentionem facit Homerus. Est vero terrae agger non utique magnus, lapidea crepidine in orbem circumseptus. Fuit sane Homero admirationi, quod scilicet nullum fuerat ille nobilius monumentum conspicatus. Nam et idem chorum in Achillis clypeo a Vulcano fabricatum, *idcirco* cum *Ariadnae* choro quem fecerat Daedalus, comparat, quia nullum sollertioris artificii opus viderat. (3) Equidem quum multa norim *ubi sint* admiratione digna sepulcra, duorum *tamen duntaxat hoc loco* mentionem faciam: alterum Halicarnassi est, in Hebraeis alterum. Erectum illud fuit Mausolo, qui Halicarnassi regnavit; ea operis magnitudine, atque omni ornamentorum magnificentia, ut Romani rei miraculo ad-

σιν ἐπιφανῆ μνήματα Μαυσώλεια ὀνομάζουσιν. Ἑβραίοις δὲ Ἑλένης γυναικὸς ἐπιχωρίας τάφος ἐστὶν ἐν πόλει Σολύμοις, ἣν ἐς ἔδαφος κατέβαλεν ὁ Ῥωμαίων βασιλεύς. μεμηχάνηται δὲ ἐν τῷ τάφῳ τὴν θύραν, ὁμοίως πάντα οὖσαν τῷ τάφῳ λιθίνην, μὴ πρότερον ἀνοίγεσθαι, πρὶν ἂν ἡμέραν τε ἀεὶ καὶ ὥραν τὸ ἔτος ἐπαγάγῃ τὴν αὐτήν· τότε δὲ ὑπὸ μόνου τοῦ μηχανήματος ἀνοιχθεῖσα καὶ οὐ πολὺ ἐπισχοῦσα, συνεκλείσθη δι' ὀλίγης. τοῦτο μὲν δὴ οὕτω, τὸν δὲ ἄλλον χρόνον ἀνοῖξαι πειρώμενος, ἀνοίξαις μὲν οὐκ ἄν, κατάξαις δὲ αὐτὴν πρότερον βιαζόμενος.

CAPUT XVII.

De monte Cyllene et Mercurio Cyllenio — vario materiae genere, qua ad lignea simulacra usi sunt veteres — variorum animalium candido colore — monte Chelydorea — urbe Nonacri et Stygis aqua.

Μετὰ δὲ τοῦ Αἰπύτου τὸν τάφον ὄρος τε ὑψηλότατον ὀρῶν τῶν ἐν Ἀρκαδίᾳ Κυλλήνη, καὶ Ἑρμοῦ Κυλληνίου κατεῤῥιμμένος ναός ἐστιν ἐπὶ κορυφῇ τοῦ ὄρους. δῆλα δέ ἐστιν ἀπὸ Κυλλῆνος τοῦ Ἐλάτου τῷ τε ὄρει τὸ ὄνομα

---

ducti, magnificentissima quaeque apud se monumenta Mausolea appellarint. At apud Hebraeos in Solymorum urbe, quam Romanorum Imperator funditus excidit, Helenae indigenae mulieris sepulcrum *miri operis* est. In eo enim ostium fabricatum est e marmore, uti ceteras sepulcri partes. Id anni stato die, atque hora, occulto machinae cuiusdam motu aperitur; neque ita multo post occluditur. Quod si alio tempore aperire conatus fueris, effringas facilius, quam ulla vi recludas.

Cap. XVII. Ab Aepyti sepulcro ad Arcadicorum omnium montium excelsissimum Cyllenen venias. In eius *summo* vertice Mercurii Cyllenii templum eminet; *sed* collapsum. Dubium vero nihil est, et monti et Deo a Cyllene

καὶ ἡ ἐπίκλησις γεγενημένη τῷ θεῷ. (2) Τοῖς δὲ ἀνθρώποις τὸ ἀρχαῖον, ὁπόσα καὶ ἡμεῖς καταμαθεῖν ἐδυνήθημεν, τοσάδε ἦν, ἀφ' ὧν τὰ ξόανα ἐποιοῦντο· ἔβενος, κυπάρισσος, αἱ κέδροι, τὰ δρύϊνα, ἡ σμῖλαξ, ὁ λωτός· τῷ δὲ Ἑρμῇ τῷ Κυλληνίῳ τούτων μὲν ἀπὸ οὐδενός, θύου δὲ πεποιημένον τὸ ἄγαλμά ἐστιν· ὀκτὼ δὲ εἶναι ποδῶν μάλιστα αὐτὸ εἰκάζομεν. (3) Παρέχεται δὲ 634
καὶ θαῦμα τοιόνδε ἡ Κυλλήνη· κόσσυφοι γὰρ οἱ ὄρνιθες ὁλόλευκοί εἰσιν ἐν αὐτῇ. οἱ δὲ ὑπὸ κωμῳδῶν καλούμενοι, γένος ἄλλο πού τί εἰσιν ὀρνίθων, οὐκ ᾠδικόν. ἀετοὺς μὲν ὀνομαζομένους κυκνίας, μάλιστα ἐοικότας κύκνῳ λευκότητα, οἶδα ἐν Σιπύλῳ θεασάμενος περὶ λίμνην καλουμένην Ταντάλου· ὗς δὲ ἀγρίους λευκούς, καὶ ἄρκτους τῶν Θρᾳκίων λευκάς, ἃς δή που καὶ ἄνδρες ἐκτήσαντο ἰδιῶται. λαγῴ δὲ καὶ ἔλαφοι, τὸ μὲν Λιβυκὸν θρέμμα οἱ λαγῴ εἰσι λευκοί· ἐλάφους δὲ ἐν Ῥώμῃ λευκὰς εἶδόν τε καὶ ἰδὼν θαῦμα ἐποιησάμην· ὁπόθεν δὲ ἢ τῶν ἠπείρων οὖσαι ἢ νησιώτιδες ἐσεκομίσθησαν, οὐκ ἐπῆλθεν ἐρέσθαι μοι. τάδε μὲν ἡμῖν λελέχθω τῶν ἐν Κυλ-

Elati filio cognomina indita. (2) Ac prisci quidem homines, quantum *ex antiquitatis monumentis* didicimus, *non aliis* materiae generibus ad simulacra deorum usi sunt, *quam* hebeno, cyparisso, cedro, quercu, smilace *seu hedera Cilicia*, loto. Verum Mercurio Cyllenio e citro signum aedificatum est; pedum (uti coniicio) haud minus VIII altitudine. (3) Habet praeterea (quod admirere) Cyllene mons merulas undecunque albas. Nam quae aves *hoc nomine* a Comicis appellantur, aliud quoddam genus sunt, haudquaquam canorae. Aquilas quidem, quas Cyonias vocant, candore oloribus persimiles, ipse in Sipylo ad stagnum, quod Tantali dicitur, conspexi. Apros certe, et ex Thracia ursas albas, vulgo privati homines; lepores albos inter altilia Libyes habent: cervas vero albas Romae cum admiratione spectavi: neque percontari in mentem tamen venit, e continentene aliqua, an vero ex insulis fuerint deportatae. Huc

λήνῃ κοσσύφων εἵνεκα, ὡς μὴ τοῖς ῥηθεῖσιν ἐς τὴν χρόαν αὐτῶν ἀπιστοίη μηδείς. (4) Ἔχεται δὲ ἄλλο ὄρος Κυλλήνης Χελυδόρεα, ἔνθα εὑρὼν χελώνην Ἑρμῆς ἐκδεῖραι τὸ θηρίον, καὶ ἀπ' αὐτῆς λέγεται ποιήσασθαι λύραν. ἐνταῦθα Φενεάταις καὶ Πελληνεῦσιν ὅροι τῆς γῆς εἰσι, καὶ τοῦ ὄρους τῶν Χελυδορέων οἱ Ἀχαιοὶ τὸ πλέον νέμονται. (5) Ἐκ Φενεοῦ δὲ ἰόντι ἐπὶ ἑσπέρας καὶ ἡλίου δυσμῶν, ἡ μὲν ἀριστερὰ τῶν ὁδῶν ἐς πόλιν ἄγει Κλείτορα, ἐν δεξιᾷ δὲ ἐπὶ Νώνακριν καὶ τὸ ὕδωρ τῆς Στυγός. τὸ μὲν δὴ ἀρχαῖον Νώνακρις πόλισμα ἦν Ἀρκάδων, καὶ ἀπὸ τῆς Λυκάονος γυναικὸς τὸ ὄνομα εἰλήφει· τὰ δὲ ἐφ' ἡμῶν ἐρείπια ἦν, οὐδὲ τούτων τὰ πολλὰ ἔτι δῆλα. τῶν δὲ ἐρειπίων οὐ πόῤῥω κρημνός ἐστιν ὑψηλός· οὐχ ἕτερον ἐς τοσοῦτο ἀνήκοντα ὕψους οἶδα· καὶ ὕδωρ κατὰ τοῦ κρημνοῦ στάζει· καλοῦσι δ' Ἕλληνες αὐτὸ ὕδωρ Στυγός.

sum digressus, ne commentitium quis putaret, quod de Cylleniis merulis commemoravi. (4) Coniungitur cum Cyllene mons alius, *cui nomen* Chelydorea: in eo nempe Mercurius dicitur repertam testudinem excoriasse, lyramque inde confecisse. Hic fines inter Pheneatas et Pellenenses: montis multo maximam partem Achaei possident. (5) A Pheneo ad eam, quae ad Occasum est, partem discedentes, viae excipiunt duae; Clitorem laeva, Nonacrin dextera, et ad Stygis aquam perducit. Fuit olim Nonacris Arcadum oppidulum, cui nomen Lycaonis uxor dederat. Solae aetate nostra ruinae extant; et eae quidem magna etiam ex parte obrutae. Ab iis ruinis non longe crepido montis tam alte se attolit, ut locum nusquam viderim celsiorem. Ex ea aqua stillatim defluit, quam Stygis aquam Graeci nuncupant.

CAPUT XVIII.

De Styge varia a poëtis memoriae prodita — Stygis aquae vi mortifera, frangente et dissolvente — montibus Aroaniis, vico Lusis et Proeti filiabus a Melampode ibi sanatis.

Εἶναι δὲ τὴν Στύγα Ἡσίοδος μὲν ἐν Θεογονίᾳ πεποίηκεν, (Ἡσιόδου γὰρ δὴ ἔπη τὴν Θεογονίαν εἰσὶν οἳ νομίζουσι), πεποιημένα οὖν ἐστιν ἐνταῦθα, Ὠκεανοῦ θυγατέρα τὴν Στύγα, γυναῖκα δὲ αὐτὴν εἶναι Πάλλαντος· ἐοικότα δὲ πεποιηκέναι τούτοις καὶ Λίνον φασίν. ἐμοὶ δ' 635
ἐπιλεγομένῳ παντάπασιν ἐφαίνετο ταῦτά γε εἶναι κίβδηλα. Ἐπιμενίδης δὲ ὁ Κρὴς εἶναι μὲν καὶ οὗτος θυγατέρα Ὠκεανοῦ τὴν Στύγα ἐποίησε, συνοικεῖν δὲ αὐτὴν οὐ Πάλλαντι, ἀλλὰ ἐκ Πείραντος Ἔχιδναν τεκεῖν, ὅστις δὴ ὁ Πείρας ἐστίν. μάλιστα δὲ τῆς Στυγὸς τὸ ὄνομα ἐς τὴν ποίησιν ἐπεσηγάγετο Ὅμηρος· ἐν μέν γε Ἥρας ἐποίησεν ὅρκῳ·

Ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθε,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ.

ταῦτα μὲν δὴ ἐποίησεν ὡς ἂν ἰδὼν ἐς τὸ ὕδωρ τῆς Στυ-

Cap. XVIII. Ac Stygem quidem Hesiodus in eo libro, qui de gentilitate deorum inscriptus est (neque enim desunt, qui carmen illud Hesiodo adscribant) Oceani filiam, et Pallantis uxorem fuisse memoriae prodidit. Ab his nihil fere discrepantia suis etiam versibus Linum cecinisse tradunt. Mihi quidem ea legenti plane videbantur esse adulterina. Epimenides Cretensis, et ipse Stygem filiam Oceano genitam dixit; non tamen Pallanti, sed Piranti nuptam, (quicunque ille Piras fuerit) cui etiam Hydram pepererit. Omnium maxime Stygis nomen in poemata sua induxit Homerus. Nam et qua in parte iusiurandum concipientem Iunonem fecit, sic inquit:

Hoc sciat omniparens tellus, caelumque profundum,
Undaque de Stygiis emanans fontibus.

Haec ille in poemate suo scripsit ut oculis conversis in

γὸς στάζον. βούλεται δὲ καὶ ἐν καταλόγῳ τῶν μετὰ Γουνέως, Τιταρησίῳ ποταμῷ ῥεῖν τὸ ὕδωρ ἀπὸ τῆς Στυγός. ἐποίησε δὲ καὶ ἐν ᾅδου ὕδωρ εἶναι, καὶ Ἀθηνᾶ τὸν Δία οὐ μεμνῆσθαί φησιν, ὅτι δι' αὐτῆς Ἡρακλέα ἔσωζεν ἐκ τῶν Εὐρυσθέως ἄθλων·

Εἰ γὰρ ἐγὼ τάδε ᾔδε' ἐνὶ φρεσὶ πευκαλίμῃσιν,
Εὖτέ μιν εἰς Ἀΐδαο πυλάρταο προὔπεμψεν
Ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο,
Οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.

(2) Τὸ δὲ ὕδωρ τὸ ἀπὸ τοῦ κρημνοῦ τοῦ παρὰ τὴν Νώνακριν στάζον ἐπιπίπτει μὲν πρῶτον ἐς πέτραν ὑψηλήν, διεξελθὸν δὲ διὰ τῆς πέτρας ἐς τὸν Κρᾶθιν ποταμὸν κάτεισι· θάνατον δὲ τὸ ὕδωρ φέρει τοῦτο καὶ ἀνθρώπῳ καὶ ἄλλῳ ζῴῳ παντί. λέγεται δέ, ὅτι γένοιτό ποτε ὄλεθρος ἀπ' αὐτοῦ καὶ αἰξίν, αἳ τοῦ ὕδατος ἔπιον πρῶτον. χρόνῳ δὲ ὕστερον ἐγνώσθη, καὶ εἰ δή τι ἄλλο πρόσεστι τῷ ὕδατι τῶν ἐς θαῦμα ἡκόντων. ὕαλος μέν γε καὶ κρύ-

stillantem Stygis aquam. Iam vero in enumeratione eorum, qui Guneum secuti sunt, ubi Titaresium amnem nominat, fluere a Styge illum autumat. Postremo esse apud inferos Stygem dicit, quo loco exprobrantem Iovi Minervam facit, quod non meminerit sua maxime opera servatum Herculem, quo minus iis, quos imperasset Eurystheus, laboribus conficeretur:

Quod si ego praesaga id potuissem mente videre,
Tunc quum ipsum indomiti demisit in atria Ditis,
Colla canis traheret furvi quo regis ab aula,
Nulla arte elapsus Stygiis remeasset ab undis.

(2) Aqua sane illa, quae ex praerupta rupe ad Nonacrin guttatim in praecelsum saxum cadit, inde permeato saxo in Crathin fluvium delabitur. Mortifera illa quidem est tum homini, tum cuivis alii animantium generi. Nam et capellae *saepius* aquae eius potu extinctae sunt; quod tamen ex intervallo temporis cognitum est. Accedit et aliud ad eius aquae miracula. Vasa et pocula omnia, sive vitrea, sive

κρυστάλλινα καὶ μόῤῥινα καὶ ὅσα ἐστὶν ἀνθρώποις ἄλλα λίθου 636
ποιούμενα, καὶ τῶν σκευῶν τὰ κεράμεα, τὰ μὲν ὑπὸ
τῆς Στυγὸς τοῦ ὕδατος ῥήγνυται· κεράτινα δὲ καὶ ὀστέϊ-
να, σίδηρός τε καὶ χαλκὸς, ἔτι δὲ μόλυβδός τε καὶ κασ-
σίτερος καὶ ἄργυρος καὶ τὸ ἤλεκτρον ὑπὸ τούτου σήπε-
ται τοῦ ὕδατος· τὸ δὲ αὐτὸ ἐν μετάλλοις τοῖς πᾶσι καὶ
ὁ χρυσὸς πέπονθε, καίτοι γε καθαρεύειν γε τὸν χρυσὸν
ἀπὸ τοῦ ἰοῦ, ἥ τε ποιήτρια μάρτυς ἐστὶν ἡ Λεσβία, καὶ
αὐτὸς ὁ χρυσὸς ἐπιδείκνυσιν. ἔδωκε δ' ἄρα ὁ θεὸς τοῖς
μάλιστα ἀπεῤῥιμμένοις κρατεῖν τῶν ὑπερηρκότων τῇ δόξῃ.
τοῦτο μὲν γὰρ τὰ μάργαρα ἀπόλλυσθαι πέφυκεν ὑπὸ τοῦ
ὄξους· τοῦτο δὲ τὸν ἀδάμαντα λίθον ὄντα ἰσχυρότατον
τοῦ τράγου κατατήκει τὸ αἷμα. καὶ δὴ καὶ τὸ ὕδωρ οὐ
δύναται τῆς Στυγὸς τὴν ὁπλὴν ἵππου βιάσασθαι μόνην, ἀλλὰ
ἐμβληθὲν κατέχεταί τε ὑπ' αὐτῆς, καὶ οὐ διεργάζεται τὴν
ὁπλήν. εἰ δὲ καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου συνέβη τὴν
τελευτὴν διὰ τοῦ φαρμάκου γενέσθαι τούτου, σαφῶς μὲν
οὐκ οἶδα, λεγόμενον δὲ οἶδα. (3) Ὑπὲρ δὲ τὴν Νωνα-

crystallina, sive murrhina, seu e lapide aut testa sint fictili, aquae illius vi franguntur. Quin etiam cornea et ossea vasa ferrum item, aes, plumbum, stannum, argentum, et electrum, ea aqua infusa solvuntur. Ipsum quoque aurum, quod neque situ, neque rubigine vitiari, et Lesbia poetria testatur, et res ipsa indicio est, aquae tamen huius virus non sustinet. Atenim *vilioribus et* abiectioribus *plerumque* rebus vim eam Deus indidit, ut ea superarent, quae maximae essent inter homines aestimationis. Nam et aceto uniones resolvuntur; et adamantem lapidum omnium *adversus quemlibet ictum* pervicacissimum, hirci sanguis tabefacit. Consimili modo Stygis aqua ungulam equi superare non potest. Hac enim *sola* ita continetur, ut vasculum non findat. Fueritne hoc veneni genere enectus Alexander Philippi filius, pro comperto non habeo: memoriae certe proditum scio. (3) Supra Nonacrin montes sunt Aroania ap-

ὄρη· τὰ δὲ ἐπέκεινα Ἀροάνια καὶ σπήλαιόν ἐστιν ἐν αὐτοῖς. ἐς τοῦτο ἀποφυγεῖν τὸ σπήλαιον τὰς θυγατέρας τὰς Προίτου μανείσας λέγουσιν, ἃς δὲ Μελάμπους θυσίαις τε ἀπορρήτοις καὶ καθαρμοῖς κατήγαγεν ἐς χωρίον καλούμενον Λουσούς. τοῦ μὲν δὴ ὄρους τοῦ Ἀροανίου Φενεᾶται τὰ πολλὰ ἐνέμοντο· οἱ δὲ ἐν ὅροις ἤδη Κλειτορίων εἰσὶν οἱ Λουσοί. πόλιν μὲν δή ποτε εἶναι λέγουσι τοὺς Λουσούς· καὶ Ἀγησίλαος ἀνὴρ Λουσιεὺς ἀνηγορεύθη κέλητι ἵππῳ νικῶν, ὅτε πρώτην ἐπὶ ταῖς δέκα ἔθεσαν Πυθιάδα Ἀμφικτύονες· τὰ δὲ ἐφ' ἡμῶν οὐδὲ ἐρείπια ἔτι
637 λειπόμενα ἦν Λουσῶν. τὰς δὲ θυγατέρας τοῦ Προίτου κατήγαγεν ὁ Μελάμπους ἐς τοὺς Λουσούς, καὶ ἠκέσατο τῆς μανίας ἐν Ἀρτέμιδος ἱερῷ· καὶ ἀπ' ἐκείνου τὴν Ἄρτεμιν ταύτην Ἡμερασίαν καλοῦσιν οἱ Κλειτόριοι.

pellati: in quibus spelunca, intra quam furore actas Proeti filias memorant se abdidisse: inde vero extractas a Melampode arcanis quibusdam sacris et expiationibus, in eum vicum venisse, quos Lusos nuncupant. Aroaniorum partem ubique magnam Pheneatae incolunt. Nam Lusi intra fines Clitoriorum sunt: Lusosque istos civitatem olim fuisse tradunt. Agesilaus certe Lusensis victor renunciatus est accepta de iniuge equo palma, quum prima post decimam Pythiade ludos Amphictyones faciundos curassent. Nostra tamen aetate ne ipsae quidem Lusorum ruinae extant. Filias certe Proeti Melampus Lusos compulit, *lustratasque* in Dianae, insania liberavit. Ab eo sane tempore *ad hodiernum usque diem* Hemeresiam (*quasi placabilem dixeris*) Dianam *templi eius praesidem* Clitorii nuncupant.

CAPUT XIX.

De Cynaethaensibus et memorandis apud illos, — fontis Alyssi sanandi vi — via Clitorem versus.

Εἰσὶ δέ τινες γένους μὲν καὶ οὗτοι τῶν Ἀρκάδων, ὄνομα δὲ σφίσι Κυναιθαεῖς, οἳ καὶ ἐν Ὀλυμπίᾳ τὸ ἄγαλμα ἀνέθεσαν τοῦ Διὸς, κεραυνὸν ἐν ἑκατέρᾳ ἔχοντα τῇ χειρί. οὗτοι οἱ Κυναιθαεῖς τεσσαράκοντα ἀπωτέρω σταδίοις μάλιστα οἰκοῦσι· καὶ σφίσιν ἐν ἀγορᾷ πεποίηνται μὲν θεῶν βωμοί, πεποίηται δὲ Ἀδριανοῦ βασιλέως εἰκών· τὰ δὲ μάλιστα ἥκοντα ἐς μνήμην, Διονύσου ἐστὶν ἐνταῦθα ἱερόν. καὶ ἑορτὴν ὥρᾳ ἄγουσι χειμῶνος, ἐν ᾗ λίπα ἀληλιμμένοι ἄνδρες ἐξ ἀγέλης βοῶν ταῦρον, ὃν ἂν σφίσιν ἐπὶ νοῦν αὐτὸς ὁ θεὸς ποιήσῃ, ἀράμενοι κομίζουσι πρὸς τὸ ἱερόν· θυσία μὲν τοιαύτη σφίσι καθέστηκε. (2) Πηγὴ δέ ἐστιν αὐτόθι ὕδατος ψυχροῦ, δύο μάλιστα ἀπὸ τοῦ ἄστεως ἀπωτέρω σταδίοις, καὶ ὑπὲρ αὐτῆς πλάτανος πεφύκει. ὃς δ' ἂν ὑπὸ κυνὸς κατασχετὸς λύσσῃ ἤτοι ἕλκος ἢ καὶ ἄλλως κίνδυνον εὕρηται, τὸ ὕδωρ οἱ πίνοντι ἴαμα· καὶ Ἄλυσσον τοῦδε εἵνεκα ὀνομάζουσι τὴν πηγήν.

Cap. XIX. Est vero etiam Arcadici nominis gens ea, qui Cynaethaenses vocantur. Hi in Olympia Iovis signum posuere, fulmen utraque manu praeferens: absunt hi a *Dianae* stadia ferme XL. In eorum foro et arae *multae* deorum, et Adriani Caesaris est effigies. Quod vero memoratu apud ipsos non indignum est, Liberi Patris templum habent: in *quo* festos dies anni *summa* hyeme agitant, adipe peruncti: sublatum *humeris* e grege taurum, quem ipse Deus ut deligerent in mentem venire voluisset, ad templum deportant: hoc solenne ipsis est sacrum. (2) Abest ab oppido stadia haud amplius duo fons praegelidae aquae: fontem obumbrat platanus. Si quis ex rabidi canis morsu, vel vulnus, vel noxam quovis modo traxerit, aqua hausta statim sanatur. E re itaque ipsa fontem Alysson, *quod per*

καὶ οὕτω φαίνοιτο ἂν Ἀρκάσι τὸ μὲν πρὸς Φενεῷ ὕδωρ, ὃ Στύγα ὀνομάζουσιν, ἐπ' ἀνθρώπου συμφορᾷ ἀνευρημένον, ἡ δὲ πηγὴ ἐν Κυναιθαεῦσιν ἀγαθὸν οὖσα ἀντίῤῥοπον τῷ ἐκεῖ πήματι. (3) Λείπεται δὲ ἐκ Φενεοῦ τῶν ὁδῶν, αἵ εἰσι πρὸς ἥλιον δυσμῶν, τὰ ἐν ἀριστερᾷ· μία δὲ ἡ ὁδὸς ἄγει μὲν ἐς Κλείτορα· καθήκει δὲ παρὰ τοῦ Ἡρακλέους τὸ ἔργον, ὃ τῷ ποταμῷ ῥεῦμα ἐποίησεν εἶναι τῷ Ἀροανίῳ. παρὰ τοῦτον ἡ ὁδὸς κάτεισιν ἐπὶ χωρίον Λυκουρίαν· καὶ ἔστι Φενεάταις ἡ Λυκουρία πρὸς Κλειτορίους ὅροι τῆς γῆς.

CAPUT XX.

De Ladonis fluvii fontibus et Ladone ipso — de Daphne et Leucippo narratio.

638 Προελθόντων δὲ σταδίους ὡς πεντήκοντα ἐκ Λυκουρίας ἐπὶ τοῦ Λάδωνος ἀφίξῃ τὰς πηγάς. ἤκουσα δέ, ὡς τὸ ὕδωρ λιμνάζον ἐν τῇ Φενεατικῇ, κατερχόμενον ἐς τὰ βάραθρα τὰ ἐν τοῖς ὄρεσιν, ἄνεισιν ἐνταῦθα καὶ ποιεῖ τῷ Λάδωνι τὰς πηγάς· τοῦτο μὲν δὴ οὐκ ἔχω σαφῶς εἰπεῖν,

cum sedatur rabies, nominant. Videtur itaque natura Arcadibus, quum in Pheneatum finibus Stygis aquam ad perniciem hominum destinasset, hunc etiam qui in Cynaethaensibus est, fontem, longe diversa vi, aequata boni malique sorte, salutis causa tribuere voluisse. (3) Reliqua est earum, quae a Pheneo ad solis occasum ad laevam viae sunt, una quae Clitorem ducit: pertingit autem ad illud Herculis opus, quo effecit ut perenni Aroanius amnis aqua flueret: secundum quem *amnem* ad Lycuriam vicum iter est. Ibi inter Clitorios et Pheneatas agrorum sunt fines.

Cap. XX. Progressus hinc stadia prope L, ad Ladonis fontem accedes. Equidem audivi aquam eam, quae in stagnum se in Pheneatico agro diffundit, *illinc proximorum* montium cavernas subeuntem, *mox* hoc loco eruptione facta, fontes Ladonis efficere. Id ego itane se habeat, an vero

εἶτα οὕτως εἴτε ἄλλως ἐστὶν ἔχον. ὁ δὲ Λάδων ποταμῶν τῶν ἐν Ἑλλάδι ὕδωρ παρέχεται κάλλιστον· ἔχει δὲ καὶ ἄλλως ἐς ἀνθρώπους φήμην, Δάφνης τε εἵνεκα καὶ διὰ τὰ ᾀδόμενα ἐς τὴν Δάφνην. (2) Τοῦ λόγου δὲ τοῦ ἐς Δάφνην τὰ μὲν Συρίας τοῖς οἰκοῦσιν ἐπὶ Ὀρόντῃ τῷ ποταμῷ παρίημι· λέγεται δὲ καὶ ἄλλα τοιάδε ὑπὸ Ἀρκάδων καὶ Ἠλείων. Οἰνομάῳ τῷ δυναστεύσαντι ἐν Πίσῃ Λεύκιππος ἦν υἱός. οὗτος ἐρασθεὶς Δάφνης ὁ Λεύκιππος, ἐκ μὲν τοῦ εὐθέος μνώμενος, γυναῖκα ἕξειν ἀπεγίνωσκεν αὐτήν, ἅτε ἅπαν τὸ ἄρσεν γένος φεύγουσαν· παρέστη δέ οἱ τοιόνδε ἐς αὐτὴν σόφισμα. ἔτρεφεν ὁ Λεύκιππος κόμην τῷ Ἀλφειῷ· ταύτην οἷα δὴ παρθένος πλεξάμενος τὴν κόμην, καὶ ἐσθῆτα ἐνδὺς γυναικείαν, ἀφίκετο ὡς τὴν Δάφνην· ἐλθὼν δὲ Οἰνομάου τε ἔλεγεν εἶναι θυγάτηρ, καὶ ὡς συνθηρᾷν ἐθέλοι τῇ Δάφνῃ. ἅτε δὲ εἶναι παρθένος νομιζόμενος, καὶ τὰς ἄλλας ὑπερβεβλημένος παρθένους γένους τε ἀξιώματι καὶ σοφίᾳ τῇ ἐς τὰ κυνηγέσια, πρὸς δὲ καὶ τῇ θεραπείᾳ περισσῇ χρώμενος, ἐς

aliter, non habeo tanquam de explorata re dicere. Ladon quidem ipse aquae pulchritudine omnibus Graeciae fluminibus antecellit: celebratur vero maxime Daphnes causa, et ob ea, quae de illa *poetae* decantarunt. (2) Ego sane de Daphne quae commemorant Syri Orontis accolae, praetereo. Nam *longe* diversa ab Arcadibus et Eleis tradita sunt. Oenomao narrant Pisae regi filium fuisse Leucippum nomine; qui puellae amore captus, quum eam si uxorem sibi palam peteret, operam se lusurum pro certo haberet, quod illa omnino a marum consuetudine abhorrebat, ad eam fallendam huiusmodi excogitasse astum dicitur. Alebat adolescens Alpheo comam: eam ille quum, quo virgines more solent, religasset, cum muliebri veste ad Daphnen venit, filiam se Oenomai simulans, quae socia venationis esse cuperet. Quum itaque virgo esse *ex corporis habitu facile* crederetur, anteiret vero ceteras comites generis dignitate, ac venandi peritia, et in primis obsequentem se illis ma-

φιλίαν ἰσχυρὰν ἐπάγεσθαι τὴν Δάφνην. οἱ δὲ τὸν Ἀπόλλωνος ἔρωτα ἐς αὐτὴν ᾄδοντες, καὶ τάδε ἐπιλέγουσιν· Ἀπόλλωνα Λευκίππῳ νεμεσῆσαι τῆς ἐς τὸν ἔρωτα εὐδαιμονίας. αὐτίκα δὲ ἐπεθύμησεν ἐν τῷ Λάδωνι ἡ Δάφνη καὶ αἱ λοιπαὶ παρθένοι νήχεσθαι, καὶ τὸν Λεύκιππον ἀποδύουσιν ἄκοντα· ἰδοῦσαι δὲ οὐ παρθένον, τοῖς τε ἀκοντίοις αὐτὸν καὶ ἐγχειριδίοις τύπτουσαι διέφθειραν. ταῦτα μὲν δὴ οὕτω λέγουσι.

CAPUT XXI.

De fluvio Clitore et Aroanii fluvii piscibus Poeciliae dictis — Clitoriorum urbe, eiusque memorandis — templo et signo Minervae Coriae.

639 Τοῦ Λάδωνος δὲ τῶν πηγῶν ἀπέχει στάδια ἑξήκοντα ἡ Κλειτορίων πόλις· ἡ δὲ ὁδὸς ἡ ἀπὸ τῶν πηγῶν τοῦ Λάδωνός ἐστιν αὐλὼν στενὸς παρὰ τὸν Ἀροάνιον ποταμόν· πρὸς δὲ τῇ πόλει διαβήσῃ ποταμὸν καλούμενον Κλείτορα. ἐκδίδωσιν οὖν ὁ Κλείτωρ ἐς τὸν Ἀροάνιον, οὐ πλέον τῆς πόλεως σταδίους ἀπέχοντα ἑπτά. εἰσὶ δὲ

xime praeberet, miro sibi Daphnen amore devinxit. At qui de Apollinis amore fabulam vulgarunt, hoc amplius addunt: Apollinem graviter ferentem Leucippi in amore felicitatem effecisse, ut Daphne cum suo comitatu virginum natandi causa in Ladonem descendens, ipsum etiam Leucippum *recusantem et* invitum illuc pertraheret: ac mox veste detracta, quum virginis ementitum habitum deprehendissent, impetu facto *ipsae Daphnes comites* illum iaculis et pugiunculis transfixum interemerint. Haec in vulgus *de Daphne* prodita.

Cap. XXI. Abest vero a Ladonis fontibus haud minus LX stadia Clitoriorum urbs. Huc via ducit ab ipsis fontibus Ladonis secundum Aroanium amnem angusto calle. Prope ipsum Clitoriorum oppidum traiicitur Clitor amnis. Influit is in Aroanium stadia haud plus septem procul ab

ἰχθῦς ἐν τῷ Ἀροανίῳ καὶ ἄλλοι, καὶ οἱ ποικιλίαι καλούμενοι· τούτους λέγουσι τοὺς ποικιλίας φθέγγεσθαι κίχλῃ τῇ ὄρνιθι ἐοικός. ἐγὼ δὲ ἀγρευθέντας μὲν εἶδον, φθεγγομένων δὲ ἤκουσα οὐδὲν καταμείνας πρὸς τῷ ποταμῷ καὶ ἐς ἡλίου δυσμάς, ὅτε δὴ φθέγγεσθαι μάλιστα ἐλέγοντο οἱ ἰχθῦς. (2) Τῇ δὲ Κλειτορίων πόλει τὸ μὲν ὄνομα ἀπὸ τοῦ παιδὸς ἐτέθη τοῦ Ἀζᾶνος, οἰκεῖται δ' ἐν ὁμαλῷ, κύκλῳ δὲ ὄρη περιέχοντά ἐστιν οὐ μεγάλα. Κλειτορίοις δὲ ἱερὰ τὰ ἐπιφανέστατα Δήμητρος, τό τε Ἀσκληπιοῦ, τρίτον δέ ἐστιν Εἰλειθυίας εἶναι * καὶ ἀριθμὸν ἐποίησεν οὐδένα ἐπ' αὐτοῖς. Λύκιος δὲ, ὃς ἦν ἀρχαιότερος τὴν ἡλικίαν, Δηλίοις ὕμνους καὶ ἄλλους ποιήσας, καὶ ἐς Εἰλείθυιάν τε, εὔλινόν τε αὐτὴν ἀνακαλεῖ, δῆλον ὡς τῇ Πεπρωμένῃ τὴν αὐτὴν, καὶ Κρόνου πρεσβυτέραν φησὶν εἶναι. Κλειτορίοις δὲ καὶ Διοσκούρων, καλουμένων δὲ θεῶν μεγάλων, ἐστὶν ἱερὸν, ὅσον τέσσαρα ἀπέχον στάδια ἀπὸ τῆς πόλεως, καὶ ἀγάλματά ἐστιν αὐτοῖς

oppido. Pisces educat Aroanius tum alios, tum eos, qui Poeciliae (*credo a coloris varietate*) appellantur. Hos haud absimilem turdorum avium voci sonum fundere aiunt. Vidi ego sane *pisces* iam captos; vocem vero eorum nullam audivi, quum tamen ad solis usque occasum circa Aroanium commoratus essem, quod eo maxime tempore vocales eos esse pisces dictitant. (2) Urbi nomen ab Azanis filio est impositum. Sita est plano loco, non magnis circumvallata montibus. Templa in ea sunt maxime illustria, Cereris, Aesculapii, Lucinae, * neque numerum versibus prodidit. At Lycius, qui *multo* fuit aetate superior, patria Delius, hymnis et in alios *deos* et in Lucinam ipsam conscriptis, Eulinon (*quasi dicas probe lini stamina deducentem*) appellat: eandem esse innuens cum ea, quae Pepromene (*hoc est, Fati sors*) dicitur; et Saturno antiquiorem. Est etiam apud Clitorios Castorum templum, Magnorum Deûm nomine; ab urbe seiunctum stadia quatuor. Signa dis aenea extant.

χαλκᾶ. (3) Πεποίηται δὲ καὶ ἐπὶ ὄρους κορυφῆς σταδίοις τριάκοντα ἀπωτέρω τῆς πόλεως ναὸς καὶ ἄγαλμα Ἀθηνᾶς Κορίας.

CAPUT XXII.

De Stymphalo urbe — Stymphaliorum de Iunone narratio — de Stymphali fonte et amne Stymphalo — volucribus Stymphalidibus — Diana Stymphalia et signis virginum cum avium cruribus — miraculo a Diana Stymphalia patrato.

640 Ἐπανάγει δὲ ὁ λόγος με ἐπὶ Στύμφηλον καὶ ἐπὶ τὸ Φενεατῶν καὶ Στυμφαλίων ὄρος τὸ ὀνομαζόμενον Γερόντειον. Στυμφάλιοι δὲ τεταγμένοι μὲν οὐ μετὰ Ἀρκάδων ἔτι εἰσίν, ἀλλ' ἐς τὸ Ἀργολικὸν συντελοῦσι, μεταστάντες ἐς αὐτὸ ἐθελονταί· γένους δὲ εἶναι σφᾶς τοῦ Ἀρκάδων, τὰ ἔπη μαρτυρεῖ τὰ Ὁμήρου, καὶ ὁ Στύμφαλος ὁ οἰκιστὴς ἀπόγονος ἦν τρίτος Ἀρκάδος τοῦ Καλλιστοῦς. λέγεται δὲ ἐξ ἀρχῆς ἑτέρωθι οἰκισθῆναι τῆς χώρας, καὶ οὐκ ἐς τὴν ἐφ' ἡμῶν πόλιν. (2) Ἐν δὲ τῇ Στυμφάλῳ τῇ ἀρχαίᾳ Τήμενόν φασιν οἰκῆσαι τὸν Πελασγοῦ, καὶ Ἥραν ὑπὸ τοῦ Τημένου τραφῆναι τούτου, καὶ αὐ-

(3) Iam vero in montis vertice procul ab urbe stadia ferme XXX, aedes est cum signo Minervae Coriae.

Cap. XXII. Sed me *proposita* expositio revocat ad Stymphalum, et ad Pheneatarum, ac Stymphaliorum montem Geronteum. Stymphalii quidem ipsi non Arcadibus iam se contribuunt, sed ad Argivorum se concilium ultro defectione facta applicuerunt. Cognatos vero Arcadum esse, Homeri carmina testantur, praeterquam quod Stymphalus oppidum muniit, Arcadis Callistus filii nepos: non tamen quo nunc loco extat, sed in parte diversa conditum fuisse memorant. (2) In prisca vero Stymphalo Temenum Pelasgi filium habitasse, a quo fuerit Iuno educata, cui fana tria cum deae cognominibus totidem dedicarit. Puellam

τὸν ἱερὰ τῇ θεῷ τρία ἱδρύσασθαι, καὶ ἐπικλήσεις τρεῖς ἐπ' αὐτῇ θέσθαι· παρθένῳ μὲν ἔτι οὔσῃ Παῖδα· γημαμένην δὲ ἐπὶ τῷ Διὶ, ἐκάλεσεν αὐτὴν Τελείαν· διενεχθεῖσαν δὲ ἐφ' ὅτῳ δὴ ἐς τὸν Δία, καὶ ἐπανήκουσαν ἐς τὴν Στύμφαλον, ὠνόμασεν ὁ Τήμενος Χήραν. τάδε μὲν ὑπὸ Στυμφαλίων λεγόμενα οἶδα ἐς τὴν θεόν. (3) Ἡ δὲ ἐφ' ἡμῶν πόλις τῶν μὲν εἰρημένων οὐδὲν, ἄλλα δὲ εἶχε τοσάδε. ἔστιν ἐν τῇ Στυμφαλίων πηγὴ, καὶ ἀπὸ ταύτης ὕδωρ βασιλεὺς Ἀδριανὸς Κορινθίοις ἤγαγεν ἐς τὴν πόλιν. ἐν δὲ τῇ Στυμφάλῳ χειμῶνος μὲν ὥρᾳ λίμνην τε οὐ μεγάλην ἡ πηγὴ, καὶ ἀπ' αὐτῆς ποταμὸν ποιεῖ τὸν Στύμφαλον· ἐν θέρει δὲ προλιμνάζει μὲν οὐδὲν ἔτι, ποταμὸς δὲ αὐτίκα ἐστὶν ἀπὸ τῆς πηγῆς. οὗτος ἐς χάσμα γῆς κάτεισιν ὁ ποταμὸς, ἀναφαινόμενος δὲ αὖθις ἐν τῇ Ἀργολίδι μεταβάλλει τὸ ὄνομα, καὶ αὐτὸν ἀντὶ Στυμφάλου καλοῦσιν Ἐρασῖνον. (4) Ἔστι δὲ τῷ ὕδατι τῷ ἐν Στυμφάλῳ κατέχει λόγος, ὄρνιθάς ποτε ἀνδροφάγους ἐπ' αὐτῷ τραφῆναι· ταύτας κατατοξεῦσαι τὰς ὄρνιθας Ἡρακλῆς λέγεται. Πείσανδρος δὲ αὐτὸν ὁ Καμιρεὺς ἀποκτεῖ-

enim dum virgo esset: Iovi vero iam nuptam, Adultam: divortio a Iove facto, quum Stymphalum se recepisset, Viduam appellasse. Atque haec a Stymphaliis de Iunone prodita memoriae non ignoro. Sed horum nihil haec habet, de qua nunc agimus, urbs. (3) Habet tamen alia, *quae de ea memorari possint*, atque haec propemodum. In agro Stymphaliorum fons est, e quo Adrianus Caesar aquam Corinthiis intra moenia deduxit. In oppido stagnans hyeme fons lacum efficit non utique magnum; unde Stymphalus amnis exit: aestate autem lacu siccato, amnis aequato labitur alveo; ac terram per cuniculum subiens, in Argolico se demum agro profert; ibique nomine mutato, pro Stymphalo Erasinus vocatur. (4) Fabulis vulgatum est, Stymphali aliquando aves, quae humana carne victitarent, ab Hercule sagittis confectas; at Pisander Camirensis non per-

καὶ τὰς ὄρνιθας οὐ φησὶν, ἀλλὰ ψόφῳ κροτάλων ἐκδιώξειεν αὐτάς. γῆς δὲ τῆς Ἀράβων ἡ ἔρημος παρέχεται καὶ ἄλλα θηρία, καὶ ὄρνιθας καλουμένας Στυμφα-
641 λίδας, λεόντων καὶ παρδάλεων οὐδὲν ἐς τὸ ἡμερώτερον ἀνθρώποις· αὗται τοῖς ἐπὶ ἄγραν σφᾶς ἀφικνουμένοις ἐπιπέτονται, καὶ τιτρώσκουσί τε τοῖς ῥάμφεσι καὶ ἀποκτείνουσιν. ὅσα μὲν δὴ χαλκοῦ καὶ σιδήρου φοροῦσιν οἱ ἄνθρωποι, διατρυπῶσιν αἱ ὄρνιθες· ἢν δὲ ἐσθῆτα φλοΐνην παχεῖαν πλέξωνται, τὰ ῥάμφη τῶν Στυμφαλίδων ὑπὸ τῆς ἐσθῆτος ἔχεται τῆς φλοΐνης, καθὰ καὶ πτέρυγες ὀρνίθων τῶν μικρῶν προσέχεται τῷ ἰξῷ. αὗται μέγεθος μὲν κατὰ γέρανόν εἰσιν αἱ ὄρνιθες, ἐοίκασι δὲ ἴβισι, ῥάμφη δὲ ἀλκιμώτερα φέρουσι, καὶ οὐ σκολιὰ, ὥσπερ αἱ ἴβεις. εἰ μὲν δὴ καὶ ὡς κατ' ἐμὲ ὄρνιθες αἱ Ἀράβιοι τῶν ἐν Ἀρκαδίᾳ κατὰ ὀρνίθων τὸ ὄνομα, εἶδος δὲ οὐ τὸ αὐτὸ ἐκείναις ἔχουσιν, οὐκ οἶδα· εἰ δὲ τὸν πάντα αἰῶνα κατὰ τὰ αὐτὰ ἱέραξι καὶ ἀετοῖς καὶ Στυμφαλίδες εἰσὶν ὄρνιθες, Ἀράβιόν τε εἶναί μοι θρέμμα αἱ ὄρνιθες

emptas eas ab Hercule aves, sed crepitaculorum sonitu e loco pulsas tradidit. Arabiae quidem deserta praeter ceteras feras, volucres etiam alunt, quas Stymphalidas nuncupant, hominibus nihilo mitiores leonibus et pardis: si quidem in eos, qui ad earum aucupia exierint, involant; et rostris corpora verberantes, interimunt: ac aenea quidem vel ferrea corporis tegumenta *facile* rostris perfodiunt: at si densam sibi e cortice vestem contexant, Stymphalidum rostra in corticeo illo vestimento ita inhaerescunt, ut in visco minorum avium alae. Gruibus illae quidem sunt magnitudine pares, forma ibibus persimiles; rostra tamen et validiora, neque ut ibes adunca habent. An fuerint vero aliquando in Arcadia aves eodem nomine, quo sunt aetate mea in Arabia, non eadem tamen forma, id ego perspectum non habeo. At si ita suum semper Stymphalidum genus fuit, ut accipitrum, aquilarum, *et aliarum volucrum*, facile adducor indigenas esse Arabiae aves; quarum devolarit

αὗται [illegible] ποτὲ μοῖρα ἐξ αὐτῶν ἐς Ἀρκαδίαν ἀφικέσθαι ἐπὶ Στύμφηλον. τὸ μὲν δὴ ἐν Ἀραβίᾳ ἄλλο τι ἐξ ἀρχῆς καλοῖντο ἄν, καὶ οὐ Στυμφαλίδες· τοῦ Ἡρακλέους δὲ ἡ δόξα, καὶ τὸ Ἑλληνικὸν πρὸ τοῦ βαρβαρικοῦ τετιμημένον ἐξενίκησεν, ὡς καὶ τὰς ἐν τῇ ἐρήμῳ τῇ Ἀραβίᾳ Στυμφαλίδας ἐπὶ ἡμῶν ὀνομάζεσθαι. (5) Ἐν Στυμφήλῳ δὲ καὶ ἱερὸν Ἀρτέμιδός ἐστιν ἀρχαῖον Στυμφαλίας· τὸ δὲ ἄγαλμα ξόανόν ἐστι τὰ πολλὰ ἐπίχρυσον. πρὸς δὲ τοῦ ναοῦ τῷ ὀρόφῳ πεποιημέναι καὶ αἱ Στυμφαλίδες εἰσὶν ὄρνιθες· σαφῶς μὲν οὖν χαλεπὸν ἦν διαγνῶναι, πότερον ξύλου ποίημα ἦν, ἢ γύψου· τεκμαιρομένοις δὲ ἡμῖν ἐφαίνετο εἶναι ξύλου μᾶλλον ἢ γύψου. εἰσὶ δὲ αὐτόθι καὶ παρθένοι λίθου λευκοῦ, σκέλη δέ σφισίν ἐστιν ὀρνίθων, ἑστᾶσι δὲ ὄπισθεν τοῦ ναοῦ. (6) Λέγεται δὲ καὶ ἐφ' ἡμῶν γενέσθαι θαῦμα τοιόνδε. ἐν Στυμφήλῳ τῆς Ἀρτέμιδος τῆς Στυμφαλίας τὴν ἑορτὴν κατά τε ἄλλα ἦγον οὐ σπουδῇ, καὶ τὰ ἐς αὐτὴν καθεστηκότα ὑπερέβαινον τὰ πολλά. ἐσπε-

aliquando pars in Arcadiam ad Stymphalum, *unde nomen acceperint*: et sane quum *ante* alio fortasse in Arabia nomine appellarentur, Herculis gloria et Graecorum nomen, multo quam Barbarorum honoratius, obtinuit, ut quae in Arabiae desertis degunt, et ipsae Stymphalides hac aetate nominentur. (5) Stymphali Dianae etiam vetusta aedes est Stymphaliae *cognominatae*: deae signum e ligno, *rude atque impolitum*, maxima *tamen* ex parte inauratum. Sub templi lacunaribus Stymphalides etiam aves positae sunt: ligneaene illae, an gypseae sint, *a solo conspicientibus* non est facile internoscere. Mihi quidem quantum coniectura consequi potui, e ligno potius quam e gypso factae videntur. Sunt ibidem in postica tamen parte, virginum signa cum avium cruribus e candido lapide. Miraculum vero *in hoc templo* aetate nostra huiusmodi evenisse narrant. (6) Quum Stymphaliae Dianae festum, tum cetera indiligentius agitarent, tum latas super festo leges magna ex parte transgrederen-

ἀρῆσαι σὺν ὕλῃ κατὰ τοῦ βαράθρου τὸ στόμα, ᾗ μέθεισιν ὁ ποταμὸς [ὅς ἐστιν] ὁ Στύμφαλος, ἀνεῖργε μὴ καταδύεσθαι τὸ ὕδωρ, λίμνην τε ὅσον ἐπὶ τετρακοσίους σταδίους τὸ πεδίον σφίσι γενέσθαι λέγουσι. φασὶ δὲ, ἐπελθεῖν θηρευτὴν ἄνδρα ἐλάφῳ φευγούσῃ, καὶ τὴν μὲν ἐς
642 τὸ τέλμα ἵεσθαι, τὸν δὲ ἄνδρα τὸν θηρευτὴν ἐπακολουθοῦντα ὑπὸ τοῦ θυμοῦ κατόπιν τῆς ἐλάφου νήχεσθαι· καὶ οὕτω τὸ βάραθρον τήν τε ἔλαφον, καὶ ἐπ' αὐτῇ τὸν ἄνδρα ὑπεδέξατο· τούτοις δὲ τοῦ ποταμοῦ τὸ ὕδωρ ἐπακολουθῆσαί φασιν, ὥστε ἐς ἡμέραν Στυμφαλίοις ἐξηρῆσθαι ἅπαν τοῦ πεδίου τὸ λιμνάζον· καὶ ἀπὸ τούτου τῇ Ἀρτέμιδι τὴν ἑορτὴν φιλοτιμίᾳ πλέονι ἄγουσι.

CAPUT XXIII.

De Alea urbe, Bacchi festo Scieria dicto et feminas flagellandi ritu — flavio Trago — Caphyensium urbe, monte Cnacalo et fonte Menelaide — arboribus vetustate insignibus — vico Condylea et Dianae cognominis Apanchomenes origine — Sorone querceto, Arcadiae feris et Siris inter Clitorios et Psophidios finibus.

Μετὰ δὲ Στύμφαλόν ἐστιν Ἀλέα, συνεδρίου μὲν τοῦ Ἀργολικοῦ μετέχουσα καὶ αὐτή· Ἀλεὸν δὲ τὸν Ἀφείδαντος

tur, lucus repente supra eam cavernam succrevit, quam subter Stymphalus amnis meat. Obsepto igitur ostio aqua refluens late omnem campum haud minus stadium CCCC, perpetuo stagno occupavit. Forte ita accidit, ut venator cervam fugientem persequens, quum illa se in eius paludis coenum abiecisset, animi impetu concitatus, per aquas natans eam urgere non prius desierit, quam idem hiatus et feram et venatorem absumpserit. Mox et stagnantem aquam, amni via patefacta, consecutam, ac totam paludem uno die siccatam tradunt. Ex eo tempore sacrum Dianae apparatius et magnificentius factum.

CAP. XXIII. Post Stymphalum, Alea inter *Arcadiae oppida* numeratur, Argolici tamen conventus particeps.

τος γενέσθαι σφίσιν ἀποφαίνουσιν οἰκιστήν. θεῶν δὲ ἱερὰ αὐτόθι Ἀρτέμιδός ἐστιν Ἐφεσίας, καὶ Ἀθηνᾶς Ἀλέας, καὶ Διονύσου ναὸς καὶ ἄγαλμα. τούτῳ παρὰ ἔτος Σκιερείαν ἑορτὴν ἄγουσι, καὶ ἐν Διονύσου τῇ ἑορτῇ κατὰ μάντευμα ἐκ Δελφῶν μαστιγοῦνται γυναῖκες, καθὰ καὶ οἱ Σπαρτιατῶν ἔφηβοι παρὰ τῇ Ὀρθίᾳ. (2) Ἐδήλωσα δὲ ἐν τῷ λόγῳ τῷ ἐς Ὀρχομενίους, ὡς πρῶτα μὲν παρὰ τὴν χαράδραν ἐστὶν εὐθεῖα, τὸ ἀπὸ τούτου δὲ ἐν ἀριστερᾷ τοῦ ὕδατος τοῦ λιμνάζοντος. ἐν δὲ τῷ πεδίῳ τῷ Καφυῶν πεποίηται γῆς χῶμα, δι' οὗ ἀπείργεται τὸ ὕδωρ τὸ ἐκ τῆς Ὀρχομενίας μὴ εἶναι Καφυέων βλάβος τῇ ἐνεργῷ. κατὰ δὲ τὸ ἐντὸς τοῦ χώματος ἔξεισιν ὕδωρ ἄλλο, πλῆθει μὲν ὅσον τε εἶναι ποταμὸν, κατερχόμενον δὲ ἐς χάσμα γῆς ἄνεισιν αὖθις παρὰ Νάσους καλουμένας· τὸ δὲ χωρίον, ἔνθα ἄνεισιν, ὀνομάζεται Ῥεῦνος· ἀνατείλαντος δὲ ἐνταῦθα, τὸ ὕδωρ τὸ ἀπὸ τούτου παρέχεται ποταμὸν ἀέναον, Τράγον. (3) Τὸ δὲ ὄνομά ἐστι μὲν δῆλον ἀπὸ Κηφέως τοῦ Ἀλεοῦ τῇ πόλει γεγονός· ὀνομά-

Aleum Aphidantis filium conditorem celebrant. Templa illic exstant Dianae Ephesiae, et Minervae Aleae: Liberi Patris delubrum cum simulacro. Huic quotannis Scieritum festum agitant: in quo ex Delphici oraculi iussu, quo more apud Spartanos ad Orthiae aram ephebi, foeminae flagris caeduntur. (2) Dictum est, quo loco de Orchomeniis egimus, primum quidem secundum torrentis alveum rectam viam ducere, deinde ad sinistram aquae stagnantis eandem viam descendere. At in Caphyensium campis eminet agger, ad aquam, quae ab Orchomeniorum finibus *hac* evadit, arcendam, ne scilicet eluvionibus Caphyatarum arva obnoxia sint. Intra aggerem aqua alia iusto praeterlabitur amne: quae *ex intervallo* terrae hiatu excepta, erumpit rursus ad *scatebras* eas, quae Nasi vocantur. Vicus, iuxta quem se aqua iterum ostendit, Rheunus dicitur. Inde elapsa, fluvium perennis aquae efficit, qui Tragus vocatur. (3) Oppido nomen impositum a Cepheo Alei filio satis constat: ut Ca-

σθαι δὲ αὐτὴν φωνῇ τῇ Ἀρκάδων Καφυὰς ἐνίκησε. φασὶ δὲ οἱ Καφυεῖς τὰ ἄνωθεν ἐκ τῆς Ἀττικῆς εἶναι χώρας, ἐκβληθέντες δὲ ὑπὸ Αἰγέως ἐξ Ἀθηνῶν ἐς Ἀρκα-
643 δίαν φυγεῖν, καὶ ἱκέται γενόμενοι Κηφέως οἰκῆσαι ἐνταῦθα. τὸ μὲν δὴ πόλισμα ἐπὶ τοῦ πεδίου τῷ πέρατι ὀρῶν οὐκ ἄγαν ὑψηλῶν παρὰ τοῖς ποσίν ἐστι. Καφυάταις δὲ ἱερὰ θεῶν Ποσειδῶνός ἐστι καὶ ἐπίκλησιν Κνακαλησίας Ἀρτέμιδος. ἔστι δὲ αὐτοῖς καὶ ὄρος Κνάκαλος, ἔνθα ἐπέτειον τελετὴν ἄγουσι τῇ Ἀρτέμιδι. ὀλίγον δὲ ὑπὲρ τὴν πόλιν πηγή τέ ἐστι, καὶ ἐπὶ τῇ πηγῇ πλάτανος μεγάλη καὶ εὐειδὴς πέφυκε· καλοῦσι δὲ αὐτὴν Μενελαΐδα· Μενέλαον γὰρ στρατὸν ἀθροίζοντα ἐς Τροίαν ἀφικέσθαι τε ἐνταῦθα, καὶ ἐπὶ τῇ πηγῇ τὴν πλάτανον φυτεῦσαι λέγοντες· ἐφ' ἡμῶν δὲ καὶ τὴν πηγὴν κατὰ ταὐτὰ τῇ πλατάνῳ καλοῦσι Μενελαΐδα. (4) Εἰ δὲ Ἑλλήνων τοῖς λόγοις ἑπόμενον καταριθμήσασθαι δεῖ με, ὁπόσα δένδρα σῶα ἔτι καὶ τεθηλότα λείπεται, πρεσβύτατον μὲν ἡ λύγος ἐστὶν αὐτῶν, ἡ ἐν τῷ Σαμίων πεφυκυῖα ἱερῷ Ἥρας·

phyae tamen appellentur, Arcadicae linguae consuetudo obtinuit. Ac se Caphyenses quidem ex Attica terra oriundos, ejectos vero ab Aegeo, quum ad Cepheum supplices confugissent, ab eo se dicunt in domicilii partem receptos. Oppidum sane modicum est in extremis campis ad imos montes, non valde illos quidem editos. Templa ibi Neptuni, et Cnacalesiae Dianae: a monte dea Cnacalo nomen accepit, in quo anniversaria ei initia peraguntur. Paulo supra oppidum fons est, et prope fontem ingens et eximia specie platanus, quam Menelaida nuncupant: Menelaum Trojano bello suscepto, ad comparandas copias huc venisse, et eam ab ipso platanum ibi satam esse dictitantes. Hoc sane tempore, et fontem, et platanum Menelaida appellant. (4) Quod si ex Graecorum monumentis vetustissimas arbores adhuc superstites et vegetas percensere velimus, antiquissima omnium vitex est, quae apud Samios ad Junonis exstat. Ei

μετὰ δὲ αὐτὴν ἡ ἐν Δωδώνῃ δρῦς, καὶ ἐλαία ἥ τε ἐν
Ἀκροπόλει, καὶ ἡ παρὰ Δηλίοις· τρίτα δὲ ἕνεκα ἀρχαιό-
τητος νέμοιεν ἂν τῇ δάφνῃ τῇ παρά σφισιν οἱ Σύριοι:
τῶν δὲ ἄλλων ἡ πλάτανός ἐστιν αὕτη παλαιότατον. (5)
Καφυῶν δὲ ἀφέστηκεν ὅσον στάδιον Κονδυλέα χωρίον,
καὶ Ἀρτέμιδος ἄλσος· καὶ ναός ἐστιν ἐνταῦθα καλουμέ-
νης Κονδυλεάτιδος τὸ ἀρχαῖον· μετονομασθῆναι δὲ ἐπὶ
αἰτίᾳ τὴν θεόν φασι τοιαύτῃ. παιδία περὶ τὸ ἱερὸν παί-
ζοντα (ἀριθμὸν δὲ αὐτῶν οὐ μνημονεύουσιν) ἐπέτυχε
καλῳδίῳ· δήσαντα δὲ τὸ καλῴδιον τοῦ ἀγάλματος περὶ
τὸν τράχηλον, ἐπέλεγον, ὡς ἀπάγχοιτο ἡ Ἄρτεμις. φω-
ράσαντες δὲ οἱ Καφυεῖς τὰ ποιηθέντα ὑπὸ τῶν παίδων,
καταλεύουσιν αὐτά. καί σφισι ταῦτα ἐργασαμένοις ἐνέ-
πεσεν ἐς τὰς γυναῖκας νόσος, τὰ ἐν τῇ γαστρὶ πρὸ το-
κετοῦ τεθνεῶτα ἐκβάλλεσθαι, ἐς ὃ ἡ Πυθία θάψαι τε τὰ
παιδία ἀνεῖπε, καὶ ἐναγίζειν αὐτοῖς κατὰ ἔτος· ἀποθα- 644
νεῖν γὰρ αὐτὰ οὐ σὺν δίκῃ. Καφυεῖς δὲ ποιοῦσι τά τε

vetustate proxima quercus Dodonaea: olea deinde in Athenarum arce, et quae Deli *adhuc* exstat *palma*. Nam tertium vivacitatis locum lauro suae *iure fortasse* Syrii tribuerint. Praeter has, platanus haec est omnium veterrima. (5) Abest a Caphyis stadium haud longius unum Condyleae vicus; in quo lucus, et fanum Dianae, cognomine olim Condyleatidis. Immutatum vero hoc deae cognomen ob huiusmodi causam ferunt. Quum pueri aliquot (neque enim certus traditur numerus) circa templum luderent, funiculo forte invento statuae collum obligabant, hocque insuper adiiciebant dicterium, Dianam sese strangulare. Eos Caphyenses quum deprehendissent, *violati numinis crimine damnatos*, lapidibus obruerunt. Quod tamen factum non bene eis vertit. *Communis* enim pestis foeminis incessit, ut omnes, quae uterum ferrent, foetus per abortum abiicerent mortuos: neque ante malum cohiberi potuit, quam oraculi monita iussi sunt sepulturae pueris honorem habere, et illis quotannis inferias mittere; quod insontes perempti

ἄλλα καὶ ἔτι καὶ νῦν κατ' ἐκεῖνο τὸ μάντευμα, καὶ τὴν ἐν ταῖς Κονδυλέαις θεὸν (προσεῖναι γὰρ καὶ τόδε ἐπὶ τῷ χρησμῷ φασι) καλοῦσιν Ἀπαγχομένην ἐξ ἐκείνου. (6) Ἀνελθόντι δὲ ἐκ Καφυῶν ὅσον σταδίους ἑπτά, ἐπὶ Νάσους καλουμένας καταβήσῃ· πεντήκοντα δὲ προελθόντι αὐτόθεν σταδίους ἐστὶν ὁ Λάδων. διαβήσῃ τε δὴ τὸν ποταμόν, καὶ ἐπὶ δρυμὸν ἀφίξῃ Σόρωνα, διά τε Ἀργεαθῶν καὶ Λυκούντων καλουμένων καὶ Σκοτάνης· ἄγει μὲν δὴ ὁ Σόρων τὴν ἐπὶ Ψωφῖδος. θηρία δὲ οὗτός τε καὶ ὅσοι δρυμοὶ τοῖς Ἀρκάσιν εἰσὶν ἄλλοι, παρέχονται τοσάδε· ἀγρίους ὗς, καὶ ἄρκτους, καὶ χελώνας μεγίστας μέγεθος· λύρας ἂν ποιήσαιο ἐξ αὐτῶν χελώνης Ἰνδικῆς λύρᾳ παρισουμένας. τοῦ Σόρωνος δὲ πρὸς τοῖς πέρασιν ἔστι μὲν Πάου κώμης ἐρείπια· εἰσὶ δὲ οὐ πολὺ ἀπωτέρω καλούμεναι Σεῖραι· ὅροι δὲ Κλειτορίοις τῆς χώρας πρὸς Ψωφιδίους εἰσὶν αἱ Σεῖραι.

essent. Observant itaque et alia omnia Caphyenses ex oraculo, hac etiam aetate; et Condyleatidem Dianam (nam et hoc ad Apollinis vocem referunt) Apanchomenen (*quod est ac si laqueo se strangulantem dicas*) exinde appellarunt. (6) A Caphyis stadia ferme septem adverso clivo profectus, mox in vicum descendes, quem ante Nasos dixi vocari. Hinc stadia prope L progressus, ad amnem Ladonem pervenias. Quem ubi transieris, ad Soronem quercetum accedas, per *vicos*, qui Argeathae, Lycuntes, Scotane nominantur. Inde per Soronem via Psophidem ducit. Hoc quercetum, uti aliae Arcadum sylvae, feras alit, apros, ursos, testudines insigni magnitudine; ex quibus lyrae fieri *facile* possint, pares iis, quae ex Indica testudine fiunt. Ad extremos Soronis fines extant Pai vici rudera; nec procul inde quae vocantur Sirae, id est Catenae. Sunt autem Sirae agri fines inter Clitorios et Psophidios.

CAPUT XXIV.

De Psophide urbe eiusque conditore — Psophide, Zacynthiorum arce, fluviis Aroanio et Erymantho, monte Lampea atque apro Erymanthio — memorandis urbis Psophidis, templo Veneris Erycinae — Alcmaeone, Amphiarai filio, et Eriphyles monili — insulis Echinadibus — Erymanthi fluvii templo et signo; ac Nili signis e nigro lapide — de Aglai Psophidii felicitate narratio.

Ψωφῖδος δὲ οἱ μὲν φασὶν οἰκιστὴν γενέσθαι Ψωφῖδα τὸν Ἄρρωνος τοῦ Ἐρυμάνθου τοῦ Ἀρίστα τοῦ Παρθάονος τοῦ Περιφήτου τοῦ Νυκτίμου· τοῖς δέ ἐστιν εἰρημένα, θυγατέρα Ψωφῖδα εἶναι Ξάνθου τοῦ Ἐρυμάνθου τοῦ Ἀρκάδος. τὰ μὲν οὖν οὕτω κατὰ τὴν Ἀρκάδων ἐς τοὺς βασιλέας ἔχει μνήμην· ὁ δὲ ἀληθέστατος τῶν λόγων ἐστίν, Ἔρυκος τοῦ ἐν Σικανίᾳ δυναστεύσαντος παῖδα εἶναι τὴν Ψωφῖδα· ἣν ἐς τὸν οἶκον οὐκ ἠξίου ἄγειν *, καταλείπει δὲ ἔχουσαν ἐν τῇ γαστρὶ παρὰ Λυκόρτᾳ, ξένῳ μὲν ὄντι αὐτοῦ, παροικοῦντι δὲ ἐν πόλει Φηγίᾳ, πρὸ δὲ τοῦ Φηγέως τῆς βασιλείας Ἐρυμάνθῳ καλουμένῃ. ἐπιτραφέντες δὲ αὐτόθι Ἐχέφρων καὶ Πρόμαχος Ἡρακλέους τε ὄντες καὶ τῆς γυναικὸς τῆς Σικανῆς, μετέθεντο τῇ

CAP. XXIV. Psophidis conditorem fuisse tradunt Arrhonis filium Psophidem, *perpetua maiorum suorum serie* ab Erymantho, Arista, Parthaone, Periphete, Nyctimo originem ducentem. Non defuerunt tamen, qui *urbis primordia* attribuerint Psophidi puellae, Xanthi filiae: quum Xanthum ipsum Erymanthus genuisset, Arcadis filius. Verum haec Arcadum monumentis de suis regibus mandata sunt. Est enim multo verissima *diversa a superioribus* sententia, Erycis principis in Sicania viri filiam fuisse Psophidem; patrem, quum *oblatum puellae vitium comperisset, et* gravidam domo sua non dignaretur, eam Phegiae (quae urbs ante Phegei regnum Erymanthus dicebatur) apud Lycortam hospitem suum reliquisse: ibi educatos Echephrona et Promachum, e Sicana puella satu Herculis editos, de matris

Φηγίᾳ τὸ ὄνομα, Ψωφῖδα ἀπὸ τῆς μητρός. (2) Ἔστι δὲ
645 καὶ Ζακυνθίων τῇ ἀκροπόλει Ψωφὶς ὄνομα, ὅτι ναυσὶν ἐς τὴν νῆσον ἐπεραιώθη πρῶτος, καὶ ἐγένετο οἰκιστὴς ἀνὴρ Ψωφίδιος, Ζάκυνθός γε ὁ Δαρδάνου. Σειραίου μὲν δὴ σταδίοις ἐστὶν ἀπωτέρω τριάκοντα ἡ Ψωφίς· παρὰ δὲ αὐτὴν ὅ τε Ἀροάνιος ποταμὸς, καὶ ὀλίγον ἀπωτέρω τῆς πόλεως Ἐρύμανθος ῥέουσιν. ἔχει δὲ τὰς πηγὰς ὁ Ἐρύμανθος ἐν ὄρει Λαμπείᾳ· τὸ δὲ ὄρος τοῦτο ἱερὸν εἶναι Πανὸς λέγεται· εἴη δ' ἂν τοῦ ὄρους τοῦ Ἐρυμάνθου μοῖρα ἡ Λάμπεια. ἐποίησε δὲ Ὅμηρος, ὡς ἐν Ταϋγέτῳ τε καὶ Ἐρυμάνθῳ * θηρευτὴς ἦν * τῆς Λαμπείας ὁ Ἐρύμανθος, καὶ Ἀρκαδίαν διεξελθὼν, ἐν δεξιᾷ μὲν τὸ ὄρος ἔχων τὴν Φολόην, ἐν ἀριστερᾷ δὲ πάλιν Θελπουσίαν χώραν, κάτεισιν ἐς τὸν Ἀλφειόν. λέγεται δὲ, ὡς Ἡρακλῆς κατὰ πρόσταγμα Εὐρυσθέως παρὰ τῷ Ἐρυμάνθῳ θηράσειεν ὗν μεγέθει καὶ ἀλκῇ τοὺς ἄλλους ὑπερηρκότα. Κυμαῖοι δὲ οἱ ἐν Ὀπικοῖς τοὺς ὀδόντας ἀνακειμένους παρὰ σφίσιν ἐν Ἀπόλλωνος ἱερῷ λόγῳ μὲν λέγου-

nomine Phegiam Psophidem nuncupasse. (2) Sed arci etiam Zacynthiorum Psophis nomen, quod primus in eam insulam classe transmisit Psophidius civis, Zacynthus, Dardani filius; *a quo* conditore *videlicet suo*, *urbi nomen inditum*. Abest a Siraeis Psophis stadia XXX. Praeterfluit amnis Aroanius, et modico ab urbe intervallo Erymanthus. Fontes Erymanthus habet suos in Lampea monte, qui sacer Panos esse dicitur: ac fortasse Erymanthi montis pars est Lampea. Venari solitum in Taygeto et Erymantho Lampeae amatorem Erymanthum suis Homerus versibus mandavit. Intersecans *fluvius hic* Arcadiam, relicto ad dexteram Pholoe monte, ad laevam vero agro, quae Thelpusa dicitur, in Alpheum illabitur. Pervulgatum est etiam, Herculem Eurysthei iussa exsequentem, in Erymantho aprum confecisse, insignem magnitudine et robore. Cumani vero in Opicis, dentes monstrant in Apollinis templo suspensos: quos apri

σιν, ὡς οἱ ὀδόντες ὑὸς εἶεν τοῦ Ἐρυμανθίου· τῷ λόγῳ δὲ αὐτῶν οὐδ' ἐπ' ὀλίγον μέτεστι τοῦ εἰκότος. (3) Ψωφιδίοις δὲ ἐν τῇ πόλει, τοῦτο μὲν Ἀφροδίτης ἱερὸν Ἐρυκίνης ἐστὶν ἐπίκλησιν, ἧς ἐρείπια ἐφ' ἡμῶν ἐλείπετο αὐτοῦ μόνα· ἐλέγετο δέ οἱ Ψωφίδος αὐτὸ ἱδρύσασθαι παῖδας. καὶ τῷ λόγῳ τὸ εἰκὸς πρόσεστι. ἔστι γὰρ καὶ ἐν Σικελίᾳ τῆς Ἐρυκίνης ἱερὸν ἐν τῇ χώρᾳ τῇ Ἔρυκος, ἁγιώ- 646
τατόν τε ἐκ παλαιοτάτου καὶ οὐκ ἀποδέον πλούτῳ τοῦ ἱεροῦ τοῦ ἐν Πάφῳ. Προμάχου δὲ καὶ Ἐχέφρονος τῶν Ψωφίδος οὐκ ἐπιφανῆ κατ' ἐμὲ ἔτι ἦν τὰ ἡρῷα. (4) Τέθαπται δὲ καὶ Ἀλκμαίων ἐν Ψωφίδι ὁ Ἀμφιαράου, καί οἱ τὸ μνῆμά ἐστιν οἴκημα οὔτε μεγέθει, οὔτε ἄλλως κεκοσμημένον· περὶ δὲ αὐτὸ κυπάρισσοι πεφύκασιν ἐς τοσοῦτον ὕψος ἀνήκουσαι, ὥστε καὶ τὸ ὄρος τὸ πρὸς τῇ Ψωφίδι κατεσκιάζετο ὑπ' αὐτῶν. ταύτας οὐκ ἐθέλουσιν ἐκκόπτειν ἱερὰς τοῦ Ἀλκμαίωνος νομίζοντες· καλοῦνται δὲ ὑπὸ τῶν ἐπιχωρίων παρθένοι. Ὁ δὲ Ἀλκμαίων ἡνίκα τὴν μητέρα ἀποκτείνας ἔφυγεν ἐξ Ἄργους, τότε εἰς τὴν

Erymanthii esse dicunt; sed nihil omnino ad fidem faciendam satis probabile afferunt. (3) Psophidiis fuerunt intra urbem templa duo, Veneris Erycinae cognomento alterum; cuius hac aetate solae exstant ruinae. Dedicasse creditur Psophis Erycis filia; neque id omnino a veritate abhorret. Nam et in Sicilia in subiecto Eryci *monti* agro Erycinae *Veneris* fanum visitur, magnae iam tum ab initio religionis; et eo, quod Paphi est, nihilo donariorum opulentia inferius. Exstant aetate etiamnum mea Promachi et Echephronis Psophidis filiorum heroica sepulcra, egregio opere exornata. (4) Alcmaeon etiam Amphiarai filius Psophide sepultus est. Eius tumulus neque aedificii magnitudine, neque ullo ornatus genere insignis. Creverunt circa eum cupressi eousque, ut earum proceritate mons etiam is, qui Psophidi imminet, obumbretur. Eas non caedunt, quod Alcmaeoni sacras putant: easdemque Virgines indigenae appellant. Enimvero Alcmaeon occisa matre Argis fugiens,

Ψωφῖδα ἐλθὼν, Φηγίαν ἔτι ἀπὸ τοῦ Φηγέως ὀνομαζομένην, συνῴκησεν Ἀλφεσιβοίᾳ τῇ Φηγέως θυγατρὶ, καὶ αὐτῇ δῶρα (ὡς τὸ εἰκὸς) καὶ ἄλλα καὶ τὸν ὅρμον δίδωσιν. ὡς δὲ οἰκοῦντι αὐτῷ παρὰ τοῖς Ἀρκάσιν οὐδὲν ἐγίνετο ἡ νόσος ῥάων, κατέφυγεν ἐπὶ τὸ μαντεῖον τὸ ἐν Δελφοῖς. καὶ αὐτὸν ἡ Πυθία διδάσκει, τὸν Ἐριφύλης ἀλάστορα ἐς ταύτην οἱ χώραν οὐ συνακολουθήσειν, ἥτις ἐστὶ νεωτάτη, καὶ ἡ θάλασσα τοῦ μητρῴου μιάσματος ἀνέφηνεν ὕστερον αὐτήν. καὶ ὁ μὲν ἐξευρὼν τοῦ Ἀχελώου τὴν πρόσχωσιν, ἐνταῦθα ᾤκησε καὶ γυναῖκα ἔσχε Καλλιρόην τοῦ Ἀχελώου θυγατέρα λόγῳ τῷ Ἀκαρνάνων· καὶ οἱ παῖδες Ἀκαρνάν τε καὶ Ἀμφότερος ἐγένοντο. ἀπὸ δὲ τοῦ Ἀκαρνᾶνος τοῖς ἐν τῇ ἠπείρῳ ταύτῃ τὸ ὄνομα τὸ νῦν γενέσθαι λέγουσι τὰ πρὸ τοῦ Κούρησι καλουμένοις. ἐς ἐπιθυμίας δὲ ἀνοήτους πολλοὶ μὲν ἄνδρες, γυναῖκες δὲ πλέον ἐξοκέλλουσιν. ἐπεθύμησεν ἡ Καλλιρόη τῆς Ἐριφύλης οἱ γενέσθαι τὸν ὅρμον, καὶ δι' αὐτὸ ἐς

Psophidem, quae tunc Phegia ac Phegeo nominabatur, se recipit: ibi Phegei filiam Alphesiboean uxorem duxit; cui inter cetera *nuptialia* dona, *decantatum* etiam illud monile dedit. Ubi vero in Arcadibus domicilium habenti insaniae morbus non decessit, ad Apollinem Delphos veniens responsum accepit, in eam terram ei migrandum, quae omnium esset recentissima, quamque mare edidisset, posteaquam ille se Eriphyles matris sanguine polluisset. Neque enim eo ultorem matris genium ipsum esse consecuturum. Quare nactus terram, Acheloi alluvione congestam, in ea consedit; ibique Callirhoen, quam Acheloi *ipsius* filiam fuisse Acarnanes dictitant, in matrimonio habuit. Ex ea Acarnana et Amphoterum suscepit. Ab Acarnane gentem, quae illam continentis oram tenet, denominatam existimant, quum ante Curetes vocarentur. Extimulant saepe viros, multo vero saepius foeminas acriores cupiditatum aculei. *Quare et* Callirhoe monilis, quod Eriphyles fuerat, potiundi *vehementi*

τὴν Φηγίαν τὸν Ἀλκμαίωνα ἔπεισεν ἐλθεῖν ἄκοντα, καὶ αὐτὸν ὑπὸ Φηγέως τῶν παίδων Τημένου καὶ Ἀξίονος δολοφονηθέντα ἐπέλαβεν ἡ τελευτή· τοῦ Φηγέως δὲ οἱ παῖδες 647
τῷ Ἀπόλλωνι ἀναθεῖναι τῷ ἐν Δελφοῖς λέγονται τὸν ὅρμον. καὶ ἐπὶ τῶν βασιλευόντων ἐν Φηγίᾳ, ὅτε ἔτι καλουμένῃ τῇ πόλει Φηγίᾳ, στρατεῦσαί φασιν Ἕλληνας ἐς Τροίαν· σφᾶς δὲ οἱ Ψωφίδιοι τοῦ στόλου φασὶν οὐ μετασχεῖν, ὅτι αὐτῶν τοῖς βασιλεῦσιν οἱ Ἀργείων ἀπηχθάνοντο ἡγεμόνες, κατὰ γένος τε τῷ Ἀλκμαίωνι οἱ πολλοὶ προσήκοντες, καὶ τῆς ἐπιστρατείας αὐτῷ κοινωνήσαντες ἐς Θήβας. (5) Τὰς δὲ Ἐχινάδας νήσους ὑπὸ τοῦ Ἀχελῴου μὴ σφᾶς ἤπειρον ἄχρι ἡμῶν ἀπειργάσθαι, γέγονεν αἰτία τὸ Αἰτωλῶν ἔθνος· γεγόνασι δὲ αὐτοί τε ἀνάστατοι καὶ ἡ γῆ σφισι πᾶσα ἠρήμωται. ταῖς Ἐχινάσιν οὖν, ἅτε ἀσπόρου μενούσης τῆς Αἰτωλίας, οὐχ ὁμοίως ὁ Ἀχελῷος ἐπάγει τὴν ἰλύν. μαρτύριον δέ μοι τοῦ λόγου· ὁ γὰρ Μαίανδρος διὰ τῆς Φρυγῶν καὶ Καρῶν ἀρουμένης ὅσα ἔτη ῥέων, τὴν μεταξὺ Πριήνης καὶ Μιλήτου θάλασ-

flagravit cupiditate: Alcmaeonem itaque etiam invitum, ut Phegian iret, perpulit: ubi ille Phegei filiorum Temeni et Axionis insidiis circumventus, periit. Iidem vero Phegei filii monile Delphico Apollini dedicarunt. Graecos quidem ad Troianum bellum profectos dicunt Psophidii, quo tempore urbs Phegia adhuc dicebatur, suosque reges habebat: non tamen fuisse se eius expeditionis socios propter simultates Argivorum ducum cum regibus suis susceptas; quod eorum bona pars Alcmaeonem propinquitate attingebant, et ad Thebas *altero* bello eum secuti fuerant. (5) Quod vero Echinades insulae non sint adhuc continenti terrae annexae, Aetolorum opera factum est. Sedibus enim suis pulsi, agrum colere desierunt. Eo factum, ut Achelous *minus iam lutulentus* per deserta fluens, medium *inter continentis terrae litus et eas insulas* fretum non oblimaverit. Huic rei Maeander argumento esse possit: qui Phrygum et Carum cultissimos agros perlabens, medium inter Prienen et Miletum

σαν ἐν οὐ πολλῷ χρόνῳ πεποίηκεν ἤπειρον. (6) Ψωφιδίοις δὲ καὶ παρὰ τῷ Ἐρυμάνθῳ ναός ἐστιν Ἐρυμάνθου καὶ ἄγαλμα. ποιεῖται δὲ πλὴν τοῦ *Αἰγυπτίου Νείλου* ποταμοῖς τοῖς ἄλλοις λίθου λευκοῦ τὰ ἀγάλματα· τῷ Νείλῳ δὲ, ἅτε διὰ τῆς *Αἰθιόπων* κατιόντι ἐς θάλασσαν, μέλανος λίθου τὰ ἀγάλματα ἐργάζεσθαι νομίζουσιν. (7) Ὃν δὲ ἤκουσα ἐν Ψωφῖδι ἐπὶ *Ἀγλαῷ* λόγον ἀνδρὶ Ψωφιδίῳ κατὰ Κροῖσον τὸν *Λυδὸν*, ὡς ὁ *Ἀγλαὸς* τὸν χρόνον τοῦ βίου πάντα γένοιτο εὐδαίμων, οὔ με ἔπειθεν ὁ λόγος. ἀλλὰ ἀνθρώπων μὲν τῶν ἐφ᾽ ἑαυτοῦ κακὰ ἄν τις ἐλάσσονα ἀναδέξαιτο, καθὰ καὶ ναῦς ἧσσον ἂν χειμασθείη νεὼς ἄλλης· ἄνδρα δὲ συμφορῶν ἀεὶ πάντα ἐκτὸς
648 ἢ τὰ πάντα οὐρίῳ ναῦν χρησαμένην πνεύματι οὐκ ἔστιν ὅπως δυνησόμεθα ἐξευρεῖν. ἐπεὶ καὶ Ὅμηρος κατακείμενον παρὰ τῷ *Διῒ* ἀγαθῶν πίθον, τὸν δὲ ἕτερον κακῶν ἐποίησεν, ὑπὸ τοῦ ἐν *Δελφοῖς* θεοῦ δεδιδαγμένος, ὃς *αὐτόν* ποτε Ὅμηρον κακοδαίμονά τε προσεῖπε καὶ ὄλβιον, ὡς φύντα ἐπὶ ἀμφοτέροις ὁμοίως.

mare brevi in continentis orae naturam vertit. (6) Est etiam Psophidiis ad Erymanthum, Erymanthi templum, cum signo *ipsius herois*. Ac praeter Aegyptium Nilum reliquis fluviis simulacra fiunt e candido lapide: Nilo autem, ut qui per Aethiopiam in mare labitur, nigro lapide statuas fabricare solemne est. (7) Quod vero Psophide audivi Aglaum Psophidium, tempore Croesi Lydorum regis totum vitae spatium in perpetua felicitate transegisse, id ego ut credam, non facile adducor. Fieri quidem potest ut alicui minus obtingat malorum quam aliis sui temporis hominibus, sicut scilicet navis nave minus experitur tempestates: at hominem qui toto vitae spatio extra calamitatum aleam fuerit, aut navem quae secundis semper ventis usa fuerit, invenire haud quaquam poterimus. Nam et Homerus *id sensisse videtur, quo loco duo,* bonorum unum, alterum malorum, dolia apud Iovem statuit. Id enim ille ex Delphico Apolline didicerat; qui ipsum et miserum simul, et beatum dixerat, utpote ad utramque vitae sortem genitum.

CAPUT XXV.

Memoranda ad viam a Psophide Thelpusam versus, Tropaea, Aphrodisium — de urbe Thelpusa, et fluvii Ladonis meatu ac memorandis ad illum — templo XII deorum Thelpusae et templo Cereris Erinnyos in Oncio — origine cognominum Cereris Erinnyos et Lusiae, ac Neptuni Hippii — Arione equo — de Trygone, Aesculapii nutrice, narratio — de amne Tuthoa et insulis Ladonis.

Ἐς δὲ Θέλπουσαν ἰόντι ἐκ Ψωφῖδος πρῶτα μὲν χωρίον Τρόπαιά ἐστιν ὀνομαζόμενον ἐν ἀριστερᾷ τοῦ Λάδωνος· Τροπαίων δὲ ἔχεται δρυμὸς Ἀφροδίσιον. τρίτα δέ ἐστιν ἀρχαῖα ἐν στήλῃ γράμματα, ὅροι Ψωφιδίοις πρὸς τὴν Θελπουσίαν. ἐν δὲ τῇ γῇ τῇ Θελπουσίᾳ ποταμός ἐστιν Ἄρσην καλούμενος. τοῦτον δὴ διαβήσῃ, καὶ ὅσον πέντε ἀπ' αὐτοῦ σταδίους ἀφίξῃ καὶ εἴκοσι ἐπὶ ἐρείπια Καοῦντος κώμης, οὗ καὶ ἱερὸν Ἀσκληπιοῦ Καουσίου πεποιημένον ἐν τῇ ὁδῷ. (2) Τοῦ δὲ ἱεροῦ τούτου σταδίους τεσσαράκοντα μάλιστα ἀφέστηκεν ἡ πόλις· τεθῆναι δὲ αὐτῇ ὄνομα ἀπὸ νύμφης λέγουσι Θελπούσης, ταύτην δὲ θυγατέρα εἶναι Λάδωνος. τῷ δὲ Λάδωνι ἄρχεται μὲν τὸ ὕδωρ ἐν πηγαῖς τῆς Κλειτορίας, καθὰ ὁ λόγος ἐδήλωσεν

Cap. XXV. Thelpusan a Psophide iter habentibus, ad laevam Ladonis, vicus est, cui Trophaea nomen. Trophaeis adiacet saltus, *quod* Aphrodisium *vocatur*, incisae illic in columna pervetustae literae, fines eos esse inter Thelpusios et Psophidios indicant. In Thelpusiaco agro amnis labitur Arsen. Eum ubi transieris, progressus inde stadia circiter XXV, pervenies ad rudera vici, cui Calunti nomen: quem *vicum* Aesculapii etiam fanum appellant, *quod* in via *dei huius templum* erectum est. (2) Ab Aesculapii distat stadia ferme XL urbs, cui a nympha Thelpusa nomen impositum tradunt; eam vero Ladonis filiam fuisse. Ladonis ipsius fontes in agro Clitorio sunt, sicuti et ante exposui.

ἤδη μοι· ῥεῖ δὲ πρῶτον μὲν παρὰ Λευκάσιον χωρίον καὶ Μεσόβοα, καὶ διὰ τῶν Νάσων, ἐπί τε Ὀρυγά τε καὶ Ἁλοῦντα ὀνομαζόμενον· ἐξ Ἁλοῦντος δὲ ἐπὶ Θαλιάδας γε καὶ ἐπὶ Δήμητρος ἱερὸν κάτεισιν Ἐλευσινίας. τὸ δὲ ἱερὸν τοῦτο ἔστι μὲν Θελπουσίων ἐν ὅροις· ἀγάλματα δὲ ἐν αὐτῷ, ποδῶν ἑπτὰ οὐκ ἀποδέον ἕκαστον, Δήμητρός ἐστι καὶ ἡ παῖς καὶ ὁ Διόνυσος, τὰ πάντα ὁμοίως λίθου. μετὰ δὲ τῆς Ἐλευσινίας τὸ ἱερὸν καὶ Θέλπουσαν τὴν πόλιν ὁ Λάδων παρέξεισιν ἐν ἀριστερᾷ, κειμένην μὲν ἐπὶ λόφου μεγάλου, τὰ πλείω δὲ ἐφ' ἡμῶν ἔρημον· ὥστε καὶ τὴν ἀγορὰν ἐπὶ τῷ πέρατι οὖσάν φασιν ἐν τῷ με-
649 σαιτάτῳ ποιηθῆναι τὸ ἐξ ἀρχῆς. (3) Ἔστι δὲ ἐν Θελπούσῃ ναὸς Ἀσκληπιοῦ, καὶ θεῶν ἱερὸν τῶν δώδεκα· τούτου τὰ πολλὰ ἐς ἔδαφος ἔκειτο ἤδη. μετὰ δὲ Θέλπουσαν ἐπὶ τὸ ἱερὸν τῆς Δήμητρος ὁ Λάδων κάτεισι τὸ ἐν Ὀγκείῳ· καλοῦσι δὲ Ἐρινὺν οἱ Θελπούσιοι τὴν θεόν· ὁμολογεῖ δέ σφισι καὶ Ἀντίμαχος ἐπιστρατείαν Ἀργείων ποιήσας ἐς Θήβας· καί οἱ τὸ ἔπος ἔχει·

Primum autem praeter Leucasium vicum, et Mesoboa, perque Nasos, ad Orygem, et eum quem Haluntem vocant, elapsus, inde ad Thaliadas, et Cereris *cognomento* Eleusiniae fanum evadit. Est hoc templum in Thelpusiorum finibus. Signa in eo sunt, septenum haud minus eorum quodlibet pedum, Cereris, Proserpinae, Liberi Patris, e marmore aeque omnia. Ab Eleusiniae, Thelpusan urbem a laeva praeterfluit Ladon. Eminet illa in praecelso tumulo; sed aetate nostra maiore ex parte deserta: quandoquidem forum quod olim fuisse dicunt in ipso urbis umbilico, in extremo nunc recessu est. (3) Aesculapii *inter* Thelpusae *ruinas*, et duodecim deorum delubrum extat: cuius tamen magnam partem solo aequavit *vetustas*. Thelpusan praeterlapsus, ad Cereris, quod in Oncio est, templum Ladon defluit: Thelpusii deam Erinnyn nominant: quod ipsum *cognomen* agnoscit Antimachus, *illud usurpans* eo carmine, quo Argivorum in Thebanos expeditionem persecutus est. Versus sic habet,

Δήμητρος τόθι φασὶν Ἐριννύος εἶναι ἔεθλον.

ὁ μὲν δὴ Ὄγκος Ἀπόλλωνός ἐστι κατὰ τὴν φήμην, καὶ ἐν τῇ Θελπουσίᾳ περὶ τὸ χωρίον ἐδυνάστευε τὸ Ὄγκειον. (4) Τῇ θεῷ δὲ Ἐριννὺς γέγονεν ἐπίκλησις· πλανωμένῃ γὰρ τῇ Δήμητρι, ἡνίκα τὴν παῖδα ἐζήτει, λέγουσιν ἕπεσθαί οἱ τὸν Ποσειδῶνα ἐπιθυμοῦντα αὐτῇ μιχθῆναι, καὶ τὴν μὲν ἐς ἵππον μεταβάλλουσαν ὁμοῦ ταῖς ἵπποις νέμεσθαι ταῖς Ὄγκου· Ποσειδῶν δὲ συνίησιν ἀπατώμενος, καὶ συγγίνεται τῇ Δήμητρι, ἄρσενι ἵππῳ καὶ αὐτὸς εἰκασθείς· τὸ μὲν δὴ παραυτίκα τὴν Δήμητρα ἐπὶ τῷ συμβάντι ἔχειν ὀργίλως, χρόνῳ δὲ ὕστερον τοῦ τε θυμοῦ παύσασθαι, καὶ τῷ Λάδωνι ἐθελῆσαί φασιν αὐτὴν λούσασθαι. ἐπὶ τούτῳ καὶ ἐπικλήσεις τῇ θεῷ γεγόνασι, τοῦ μηνίματος εἵνεκα Ἐριννὺς, ὅτι τῷ θυμῷ χρῆσθαι καλοῦσιν ἐριννύειν οἱ Ἀρκάδες, Λουσία δὲ ἐπὶ τῷ λούσασθαι τῷ Λάδωνι. τὰ δὲ ἀγάλματά ἐστι τὰ ἐν τῷ ναῷ ξύλου, πρόσωπα δέ σφισι καὶ χεῖρες ἄκραι καὶ πόδες εἰσὶ Παρίου λίθου· τὸ μὲν δὴ τῆς Ἐριννύος τήν τε κίστην καλουμένην ἔχει, καὶ ἐν τῇ δεξιᾷ δᾷδα· μέγεθος δὲ εἰκά-

Delubrum Cereris fama est ubi Erinnydos esse.

Hanc quidem aedem Apollinis fuisse *demum* fama proditum. Is enim ad Oncium in Thelpusio agro *aliquando* principatum obtinuit. (4) Dea vero ipsa Erinnys cognomento appellata est *ob huiusmodi causam.* Neptunum aiunt Cereri, dum illa errans filiam quaereret, eius amore captum, vitium offerre conatum. Sed quum in equam se dea vertisset, et ad Oncium armentis permista pasceret, Neptunum non fefellit. Nam et ipse in equum mutatus, eam compressit. Quod illa primum iracunde tulit: verum postea placabilior facta, lavisse dicitur in Ladone. Cognomina itaque deae attributa; Erinnys, a verbo ἐριννύειν, quod furere Arcadibus est: Lusia vero, quod se in flumine abluisset. Signa eius templi, os, summas manus, et imos pedes, a Pario marmore habent; *reliquae partes* ligneae sunt. Erinnys cistam laeva, dextera facem tenet: proceritate pedum novem

ζομεν ἐννέα εἶναι ποδῶν αὐτήν· ἡ Λουσία δὲ ποδῶν ἓξ ἐφαίνετο εἶναι. ὅσοι δὲ Θέμιδος, καὶ οὐ Δήμητρος τῆς Λουσίας, τὸ ἄγαλμα εἶναι νομίζουσι, μάταια ἴστωσαν ὑπειληφότες. (5) Τὴν δὲ Δήμητερα τεκεῖν φασιν ἐκ τοῦ Ποσειδῶνος θυγατέρα, ἧς τὸ ὄνομα ἐς ἀτελέστους λέγειν οὐ νομίζουσι, καὶ ἵππον τὸν Ἀρίονα· ἐπὶ τούτῳ δὲ παρὰ σφίσιν Ἀρκάδων πρώτοις Ἵππιον Ποσειδῶνα ὀνομασθῆναι. ἐπάγονται δὲ ἐξ Ἰλιάδος ἔπη καὶ ἐκ Θηβαΐδος μαρτυρίας σφίσιν εἶναι τῷ λόγῳ. ἐν μὲν Ἰλιάδι ἐς αὐτὸν Ἀρίονα πεποιῆσθαι·

Οὐδ' εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνειν,
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν.

ἐν δὲ [τῇ] Θηβαΐδι, ὡς Ἄδραστος ἔφευγεν ἐκ Θηβῶν·

Εἵματα λυγρὰ φέρων σὺν Ἀρίονι κυανοχαίτῃ.

αἰνίσσεσθαι οὖν ἐθέλουσι τὰ ἔπη, Ποσειδῶνα Ἀρίονι εἶναι πατέρα. Ἀντίμαχος δὲ παῖδα εἶναι γῆς φησιν·

Ἄδραστος Ταλαοῦ υἱὸς Κρηθηϊάδαο

esse coniicio. Lusia pedes non amplius quam sex eminere videtur. Qui vero Themidis, non Lusiae Cereris signum hoc esse dictitant, neutiquam audiendi sunt. (5) Cererem quidem ipsam Neptuno filiam peperisse tradunt; cuius nomen ne ad profanos ederetur, religione sanxerunt: equum praeterea, cui nomen Arion fuit. Et Hippium *(id est Equutium)* Neptunum, eam ob causam apud se ex omnibus Arcadibus primos nuncupatum autumant. Testimonia ex Iliade et Thebaide afferunt. Ex Iliade quidem versus eos:

Non etiam si a tergo agitans, vel Ariona divum
Adrasti moderetur equum, divinitus ortum.

Ex Thebaide vero, ubi de Adrasti fuga agitur:

Cum pullo ornatu, glaucus quem vexit Arion.

His certe versibus innui putant, Neptuni satu ortum Arionem, etsi Antimachus e terra genitum Arionem *his versibus* cecinit:

Adrastus Talao Crethide natus, Achivum

Πρώτιστος Δαναῶν νέω, αὐτοῦ ἤλασεν ἵππους,
Καιρόν τε κραιπνὸν καὶ Ἀρίονα Θελπουσαῖον·
Τόν ῥά τ' Ἀπόλλωνος σχεδὸν ἄλσεος Ὀγκαίοιο
Αὐτὴ γαῖ' ἀνέδωκε, σέβας θνητοῖσιν ἰδέσθαι.

δύναιτο δὲ καὶ ἀναφύντι ἐκ γῆς τῷ ἵππῳ ἐκ θεοῦ τε εἶναι τὸ γένος, καὶ αἱ τρίχες οἱ τὴν χροιὰν ἐοικέναι κυανῷ. λέγεται δὲ καὶ τοιάδε· Ἡρακλέα πολεμοῦντα Ἠλείοις αἰτῆσαι παρ' Ὄγκου τὸν ἵππον, καὶ ἑλεῖν τὴν Ἦλιν ἐπὶ τῷ Ἀρίονι ὀχούμενον ἐς τὰς μάχας. δοθῆναι δὲ ὑπὸ Ἡρα- 651
κλέους ὕστερον Ἀδράστῳ τὸν ἵππον. ἐπὶ τούτῳ δὲ ἐς τὸν Ἀρίονα ἐποίησεν Ἀντίμαχος·

Ὅς ῥα τότ' Ἀδράστῳ τριτάτῳ δέδμηθ' ὑπ' ἄνακτι.

(6) Ὁ δὲ *Λάδων* τῆς Ἐριννύος τὸ ἱερὸν ἀπολιπὼν, [ἐν ἀριστερᾷ] παρέξεισιν ἐν ἀριστερᾷ μὲν τοῦ Ἀπόλλωνος τοῦ Ὀγκαιάτου τὸν ναὸν, τὰ δὲ ἐν δεξιᾷ παρ' Ἀσκληπιοῦ Παιδὸς ἱερὸν, ἔνθα ἐστὶ Τρυγόνος μνῆμα τροφοῦ· τροφὸν δὲ Ἀσκληπιοῦ τὴν Τρυγόνα εἶναι λέγουσιν. ἐν γὰρ τῇ Θελπούσῃ τῷ Ἀσκληπιῷ παιδὶ ἐκκειμένῳ φασὶν

Primus duxit equos insigni laude superbos,
Et Caerum pernicem, et Ariona Thelpusaeum,
Quem iuxta Oncei Phoebi nemus edidit ipsa
Terra parens, cunctorum oculis mirabile monstrum.

Sed potest ille equus, etiamsi e terra sit editus, nihilominus et genus a deo ducere, et caerulei coloris crines habere. Narrantur et alia quaedam ad hunc prope modum: Herculem cum Eleis bellantem Arionem ab Onco poposcisse: eoque invectum, Elidem expugnasse: ab Hercule deinde Adrasto concessum. Insuper *hoc* de Arione versibus mandavit Antimachus:

Tertium ab Adrasto est domitus ductore Pelasgum.

(6) At Ladon Erinnys templo relicto, a laeva Apollinis Onceatae praeterlabitur; a dextera, Aesculapii pueri aedem; ubi Trygonis nutricis est sepulcrum. Aesculapii ipsius hanc nutricem fuisse memorant. Quum Aesculapium enim expositum in Thelpusio agro offendisset Autolaus Arcadis nothus

ἐπιτυχόντα Αὐτόλυκον Ἀρκάδος υἱὸν νόθον ἀναθέσθαι τὸ παιδίον. καὶ ἐπὶ τούτῳ παῖδα Ἀσκληπιὸν εἰκότα εἶναι μᾶλλον ἡγούμην, ὃ καὶ ἐδήλωσα ἐν τοῖς Ἐπιδαυρίων. (7) Ἔστι δὲ Τουθόα ποταμός· ἐμβάλλει δὲ ἐς τὸν Λάδωνα καὶ ἡ Τουθόα κατὰ τὸν Θελπουσίων ὅρον πρὸς Ἡραιεῖς, καλούμενον δὲ ὑπὸ Ἀρκάδων Πεδίον. καθότι δὲ αὐτὸς ὁ Λάδων ἐκδίδωσιν ἐς τὸν Ἀλφειὸν, Κοράκων ὀνόμασται Νῆσος. Οἱ δὲ ἥγηνται, τὴν Ἐνίσπην καὶ Στρατίην τε καὶ Ῥίπην τὰς ὑπὸ Ὁμήρου καταλεγμένας γενέσθαι νήσους ποτὲ ἐν τῷ Λάδωνι ὑπὸ ἀνθρώπων οἰκουμένας· ἃ οἱ πεπιστευκότες μάταια ἴστωσαν· οὐ γὰρ ἄν ποτε οὐδὲ νηῒ παρισουμένας πορθμίδι παράσχοιτο ὁ Λάδων νήσους. κάλλους μὲν γὰρ εἵνεκα οὐδενὸς ποταμῶν δεύτερος, οὔτε τῶν βαρβαρικῶν ἐστιν οὔτε Ἕλληνος, μέγεθος δὲ οὐ τοιοῦτος, ὡς ἐν αὐτῷ καὶ νήσους ἀναφαίνεσθαι, καθάπερ ἐν Ἴστρῳ τε καὶ Ἠριδανῷ.

filius, infantem dicitur sustulisse. Hinc facile adducor Aesculapio puero aedem dicatam: quod ipsum in explicandis etiam Epidauriorum rebus exposui. (7) Influit in Ladonem Tuthoa amnis in Thelpusiorum et Heraeensium confinio; quem locum Arcades Planitiem nuncupant. Qua vero Ladon ipse in Alpheum erumpit, locus ille Coracon nasos *(id est Corvorum insula)* nominatur. Non defuerunt, qui Enispen, Stratiam, et Rhipen, quae loca Homerus enumerat, insulas in Ladone fuisse putarent, ab hominibus olim habitatas. Quod ego qui credant, magnopere errare arbitror. Vix enim portoribus pares insulas Ladon habet: qui ut sit fluviorum omnium, qui vel Barbarorum vel Graecorum terras permeant, multo pulcherrimus; non tamen ea est magnitudine, ut in eo, quales vel in Istro, vel in Pado, insulae existere potuerint.

CAPUT XXVI.

De Heraea urbe eiusque memorandis — templis Bacchi Politae et Axitae — Coroebi sepulcro — urbe Aliphera eiusque memorandis, Iovis Lecheatae ara, fonte Tritonide et Myiagri herois sacris — urbe Melaeneis et Buphagio.

Ἡραιεῦσι δὲ οἰκιστὴς μὲν γέγονεν Ἡραιεὺς ὁ Λυκάονος, κεῖται δὲ ἡ πόλις ἐν δεξιᾷ τοῦ Ἀλφειοῦ, τὰ μὲν πολλὰ ἐν ἠρέμα προσάντει, τὰ δὲ καὶ ἐπ' αὐτὸν καθήκει τὸν Ἀλφειόν. δρόμοι τε παρὰ τῷ ποταμῷ πεποίηνται μυρσίναις καὶ ἄλλοις ἡμέροις διακεκριμένοι δένδροις· καὶ τὰ λουτρὰ αὐτόθι. (2) Εἰσὶ δὲ καὶ Διονύσῳ ναοί, τὸν μὲν καλοῦσι Πολίτην, τὸν δὲ Ἀξίτην· καὶ οἴκημά ἐστί σφισιν, ἔνθα τῷ Διονύσῳ τὰ ὄργια ἄγουσιν. ἔστι καὶ ναὸς ἐν τῇ Ἡραίᾳ Πανός, ἅτε τοῖς Ἀρκάσιν ἐπιχωρίου. τῆς δὲ Ἥρας τοῦ ναοῦ καὶ ἄλλα ἐρείπια καὶ κίονες ἔτι ἐλείποντο. ἀθλητὰς δέ, ὁπόσοι γεγόνασιν Ἀρκάσιν, ὑπερῆρκε τῇ δόξῃ Δημάρατος Ἡραιεύς, ὃς τὸν ὁπλίτην δρόμον ἐνίκησεν ἐν Ὀλυμπίᾳ πρῶτος. ἐς δὲ τὴν Ἠλείαν κατιὼν ἐξ Ἡραίας, στάδια μέν που πεντεκαίδεκα ἀποσχὼν Ἡραίας, διαβήσῃ τὸν Λάδωνα· ἀπὸ τούτου δὲ ἐς Ἐρύ- 652

Cap. XXVI. Heraeam condidit Heraeeus Lycaonis filius, ad Alphei amnis dexteram. oppidi pars maior in clivo molliter surgenti; altera ad Alphei ipsius ripas sita est. Curricula prope amnem myrtis et aliis felicibus intersepta arboribus. Ibidem balneae sunt: (2) templa praeterea Liberi Patris duo; Politen unum, Axiten alterum vocant: *seorsum* aedes, in qua initia Liberi Patris celebrantur. Habet et Pan templum suum: quippe qui Arcadibus indigena deus est. Fani quidem eius, quod *olim* Iunoni dicatum fuit, rudera tantum et columnae reliquae sunt. Athletas vero omnes, quicunque Arcadici nominis fuerunt, gloria vicit Demaratus Heraeensis, qui primus ex armatorum cursu Olympicam palmam tulit. Ab Heraea in Eleum agrum stadia ferme xv progressus, Ladonem traiicias; atque inde stadiis

μανθον ὅσον εἴκοσι ἀφίξῃ σταδίους. (3) Τῇ δὲ Ἡραίᾳ ὅροι πρὸς τὴν Ἠλείαν λόγῳ μὲν τῶν Ἀρκάδων ἐστὶν ὁ Ἐρύμανθος· Ἠλεῖοι δὲ τὸν Κοροίβου τάφον φασὶ τὴν χώραν σφίσιν ὁρίζειν. ἡνίκα δὲ τὸν ἀγῶνα τὸν Ὀλυμπιακὸν ἐκλιπόντα ἐπὶ χρόνον πολὺν ἀνεσώσατο Ἴφιτος, καὶ αὖθις ἐξ ἀρχῆς Ὀλύμπια ἦγον, τότε δρόμου σφίσιν ἆθλα ἐτέθη μόνον, καὶ ὁ Κόροιβος ἐνίκησε· καὶ ἔστιν ἐπίγραμμα ἐπὶ τῷ μνήματι, ὡς Ὀλυμπίασιν ὁ Κόροιβος ἐνίκησε, καὶ ἀνθρώπων πρῶτος, καὶ ὅτι τῆς Ἠλείας ἐπὶ τῷ πέρατι ὁ τάφος αὐτῷ πεποίηται. (4) Ἔστι δὲ Ἀλίφηρα πόλισμα οὐ μέγα· ἐξελείφθη γὰρ ὑπὸ οἰκητόρων πολλῶν, ὑπὸ τὸν συνοικισμὸν τῶν Ἀρκάδων ἐς Μεγάλην πόλιν. ἐς τοῦτο οὖν τὸ πόλισμα ἐρχόμενος ἐξ Ἡραίας, τόν τε Ἀλφειὸν διαβήσῃ, καὶ σταδίους μάλιστά που δέκα διελθὼν πεδίον, ἐπὶ ὄρος ἀφίξῃ· καὶ αὖθις στάδια ὅσον τριάκοντα ἐς τὸ πόλισμα ἀναβήσῃ διὰ τοῦ ὄρους. Ἀλιφηρεῦσι δὲ τὸ μὲν ὄνομα τῇ πόλει γέγονεν ἀπὸ Ἀλιφήρου Λυκάονος παιδός. ἱερὰ δὲ Ἀσκληπιοῦ τέ ἐστι καὶ Ἀθηνᾶς, ἣν θεῶν σέβονται μάλιστα, γενέσθαι

confectis circiter xx, ad Erymanthum pervenies. (3) Heraeae fines et Eleae terrae medios, Arcades Erymanthum ipsum produnt: at Elei Coroebi sepulcrum agri sui terminum dictitant. Atenim quum Olympicos ludos diu intermissos Iphitus restituisset, et cursus duntaxat certamina proposuisset, *primis ludis* Coroebus vicit. Hoc inscriptio tumuli testatur, primum scilicet Olympiae vicisse, et sepulcrum ei in ipsis Elei agri finibus erectum esse. (4) Est et Aliphera civitas haud sane magna, quod multitudinis bona pars tunc discessit, quo tempore communi Arcadum consilio Megalopolis colonia deducta est. Huc ab Heraea si veniendum fuerit, Alpheum ubi transieris, campo decem ferme stadiorum peragrato, ad montem accedas: unde stadium pene xxx itinere per clivum in oppidum adscendas. Nomen Alipherae, a Lycaonis filio Aliphero inditum. Aedes ibi sacrae Aesculapii, et Minervae; quam, quod apud se

καὶ τραφῆναι παρὰ σφίσιν αὐτὴν λέγοντες· καὶ Διός τε ἱδρύσαντο Λεχεάτου βωμὸν, ἅτε ἐνταῦθα τὴν Ἀθηνᾶν 653
τεκόντος· καὶ κρήνην καλοῦσι Τριτωνίδα, τὸν ἐπὶ τῷ ποταμῷ Τρίτωνι οἰκειούμενοι λόγον. τῆς δὲ Ἀθηνᾶς τὸ ἄγαλμα πεποίηται χαλκοῦ, Ὑπατοδώρου τε ἔργον, θέας ἄξιον μεγέθους τε εἵνεκα καὶ ἐς τὴν τέχνην. ἄγουσι δὲ καὶ πανήγυριν ὅτῳ δὴ θεῶν· δοκῶ δὲ σφᾶς ἄγειν τῇ Ἀθηνᾷ. ἐν ταύτῃ τῇ πανηγύρει Μυιάγρῳ προθύουσιν, ἐπευχόμενοί τε κατὰ τῶν ἱερείων τῷ ἥρωϊ, καὶ ἐπικαλούμενοι τὸν Μυίαγρον· καί σφισι ταῦτα δράσασιν, οὐδὲν ἔτι ἀνιαρόν εἰσιν αἱ μυῖαι. (5) Κατὰ δὲ τὴν ἐξ Ἡραίας ἄγουσαν ἐς Μεγάλην πόλιν εἰσὶ Μελαινέαι· ταύτας ᾤκισε μὲν Μελαινεὺς ὁ Λυκάονος· ἔρημος δὲ ἦν ἐφ' ἡμῶν, ὕδατι δὲ καταῤῥεῖται. Μελαινεῶν δὲ τεσσαράκοντά ἐστιν ἀνωτέρω σταδίοις Βουφάγιον, καὶ ὁ ποταμὸς ἐνταῦθα ἔχει πηγὰς ὁ Βουφάγος κατιὼν ἐς τὸν Ἀλφειόν. τοῦ Βουφάγου δὲ περὶ τὰς πηγὰς ὅροι πρὸς Μεγαλοπολίτας Ἡραιεῦσίν εἰσιν.

natam et educatam praedicant, praecipuis dignantur honoribus. *Quo loco* et Lecheatae Iovi aram dedicarunt; *cognomine ab eo ducto*, quod ibi Minervam pepererit. Fontem etiam Tritonidem nuncupant, fabulam de Tritone fluvio sibi ceu peculium vindicantes. Deae ipsius ex aere signum est, Hypatodori opus, spectatu dignum tum magnitudinis tum artificii causa. Iam vero et nundinas celebrant; cui deo, non satis constat; Minervae arbitror. In iis nundinis *uni* ante omnes Myiagro rem divinam faciunt, heroemque super hostiis precati, et Myiagri nomine implorato, securitatem sibi fore *inter immolandum* ab omni muscarum protervitate pro certo habent. (5) Circa viam, quae ab Heraea Megalopolin ducit, Melaeneae sunt; quas Lycaonis filius Melaeneus condidit: aetate vero nostra desertus vicus aquis *stagnantibus* diluitur. Supra Melaeneas stadia abest XL Buphagium, ubi fontes habet suos Buphagus amnis. Is in Alpheum influit. Ad ipsos Buphagi fontes, inter Heraeenses et Megalopolitanos fines sunt.

CAPUT XXVII.

De Megalopoli urbe — Megalopolis conditore — nomina civitatum enumerantur, quarum incolae Megalopolin migrarunt — de Trapezuntiis emigrantibus — Megalopolitanorum vicis — tempore Megalopolis conditae — Megalopolitani a Lacedaemoniis eiiciuntur — Aristodemo Megalopolitan. imperium obtinente Lacedaemonii Megalopolin invadunt et superantur — Lydiade Megalopolitanis imperante Lacedaemonii Megalopolin obsident — Cleomenes Megalopolin expugnat — de Buphago amne et heroë.

Ἡ δὲ Μεγάλη πόλις νεωτάτη πόλεών ἐστιν, οὐ τῶν Ἀρκαδικῶν μόνον, ἀλλὰ καὶ τῶν ἐν Ἕλλησι, πλὴν ὅσον κατὰ συμφορὰν ἀρχῆς τῆς Ῥωμαίων μεταβεβήκασιν οἰκήτορες. συνῆλθον δὲ ὑπὲρ ἰσχύος ἐς αὐτὴν οἱ Ἀρκάδες, ἅτε καὶ Ἀργείους ἐπιστάμενοι τὰ μὲν ἔτι παλαιότερα μονονοὺ κατὰ μίαν ἡμέραν ἑκάστην κινδυνεύοντας ὑπὸ Λακεδαιμονίων παραστῆναι τῷ πολέμῳ· ἐπεὶ δὲ ἀνθρώπων πλήθει τὸ Ἄργος ἐπηύξησαν καταλύσαντες Τίρυνθα καὶ Ὑσιάς τε καὶ Ὀρνεὰς καὶ Μυκήνας καὶ Μιδείαν, καὶ εἰ δή τι ἄλλο πόλισμα οὐκ ἀξιόλογον ἐν τῇ Ἀργολίδι ἦν, τά τε ἀπὸ Λακεδαιμονίων ἀδεέστερα τοῖς Ἀργείοις ὑπάρ-

Cap. XXVII. Megalopolis quidem ipsa non solum Arcadicarum, sed Graecarum etiam *omnium* civitatum recentissima est; iis tamen exceptis, in quas post imperii calamitatem ab urbe Roma coloni immigrarunt. Roboris autem sui *confirmandi* gratia, Megalopolin Arcades coloniam deduxerunt. Meminerant enim Argivos iam tum ab initio nullo non pene die, summo cum libertatis periculo, a Lacedaemoniis bello vexari solitos. Eosdem aliquot non sane magnae aestimationis oppidis, Tirynthe, Hysiis, Orneis, Mycenis, et Midea excisis, *traductaque ex illis* Argos *multitudine*, civitatem inquilinorum numero adeo auxisse, ut in posterum et a Lacedaemoniis minus multo sibi metuerent, et adversus alios finitimos firmiora haberent praesidia. Hoc

ξαντα, καὶ ἅμα ἐς τοὺς περιοίκους ἰσχὺν γενομένην αὐ- 654
τοῖς· γνώμῃ μὲν τοιαύτῃ συνῳκίζοντο οἱ Ἀρκάδες. (2) Τῆς πόλεως δὲ οἰκιστὴς Ἐπαμινώνδας ὁ Θηβαῖος σὺν τῷ δικαίῳ καλοῖτο ἄν· τούς τε γὰρ Ἀρκάδας οὗτος ἦν ὁ ἐπεγείρας ἐς τὸν συνοικισμὸν, Θηβαίων τε χιλίους λογάδας, καὶ Παμμένην ἀπέστειλεν ἡγεμόνα ἀμύνειν τοῖς Ἀρκάσιν, εἰ κωλύειν πειρῶνται οἱ Λακεδαιμόνιοι τὸν οἰκισμόν. ᾑρέθησαν δὲ καὶ ὑπὸ τῶν Ἀρκάδων οἰκισταὶ, Λυκομήδης καὶ Ὁπολέας, καὶ Τίμων τε καὶ Πρόξενος· οὗτοι μὲν ἐκ Τεγέας, Λυκομήδης δὲ καὶ Ὁπολέας Μαντινεῖς· Κλειτορίων δὲ Κλεόλαος καὶ Ἀκρίφιος· Εὐκαμπίδας δὲ καὶ Ἱερώνυμος ἐκ Μαινάλου· Παῤῥασίων δὲ Πασικράτης τε καὶ Θεόξενος. (3) Πόλεις δὲ τοσαίδε ἦσαν, ὁπόσας ὑπό τε προθυμίας καὶ διὰ τὸ ἔχθος τὸ Λακεδαιμονίων πατρίδας σφίσιν οὔσας ἐκλιπεῖν ἐπείθοντο οἱ Ἀρκάδες· Ἀλέα, Παλλάντιον, Εὐταία, Σουματία, Ἰασαία, Περαιθεῖς, Ἑλισσὼν, Ὀρεσθάσιον, Δίπαια, Ἀλυκαία· ταύτας μὲν ἐκ Μαινάλου· ἐκ δὲ Εὐτρησίων, Τρι-

igitur consilio Arcades e *suis quique urbibus Megalopolin* commigrarunt. (2) Coloniae vero auctor Thebanus Epaminondas iure optimo vocetur. Is enim Arcadas in unum congregavit; et mille Thebanorum delectam manum, duce Pammene, Arcadibus misit, qui auxilio essent, si forte Lacedaemonii, colonia quo minus deduceretur, impedire essent aggressi. Ab ipsis etiam Arcadibus viri *decem*, quorum ductu et auspiciis in coloniam iretur, delecti sunt: e Tegea Timon et Proxenus; ex Mantinea Lycomedes et Poleas; e Clitoriis Cleolaus et Acriphius; a Maenalo Eucampidas et Hieronymus; ex Parrhasiis Pasicrates et Theoxenus. (3) Civitates vero, quae tum novae coloniae studio, tum Lacedaemoniorum odio, ut patriam suam quaeque desererent, *facile* sibi ab Arcadibus persuaderi passae sunt, hae fuere: E Maenalo Halia, Pallantium, Eutaeum, Amatium, Iasaea, Aperethes, Helisson, Oresthasium, Dipaea, Alycaea. Ab Eutresiis, Tri-

κόλωνοι, καὶ Ζοίτιον, καὶ Χαρισία, καὶ Πτολέδερμα, καὶ
Κναῦσον, καὶ Παρωρία· παρὰ δὲ Αἰγυτῶν * καὶ Σκιρ-
τώνιον, καὶ Μαλαία, καὶ Κρῶμοι, καὶ Βλένινα, καὶ
Λεῦκτρον· Παῤῥασίων, Λυκοσουρεῖς, Θωκνεῖς, Τραπε-
ζούντιοι, Προσεῖς, Ἀκακήσιον, Ἀκόντιον, Μακαρία, Δα-
σέα· ἐκ δὲ Κυνουραίων τῶν ἐν Ἀρκαδίᾳ, Γόρτυς, καὶ
655 Θείσοα ἡ πρὸς Λυκαίῳ, καὶ Λυκοᾶται, καὶ Ἀλίφηρα· ἐκ
δὲ τῶν συντελούντων ἐς Ὀρχομενὸν, Θείσοα, Μεθύδριον,
Τεῦθις· προσεγένετο δὲ καὶ Τρίπολις ὀνομαζομένη, Καλ-
λία, καὶ Δίποινα, καὶ Νώνακρις. τὸ μὲν δὴ ἄλλο Ἀρκα-
δικὸν οὔτε τι παρέλυε τοῦ κοινοῦ δόγματος, καὶ συνε-
λέγοντο ἐς τὴν Μεγάλην πόλιν σπουδῇ· Λυκαιᾶται δὲ
καὶ Τρικολωνεῖς καὶ Λυκοσουρεῖς τε καὶ Τραπεζούντιοι,
μετεβάλλοντο Ἀρκάδων μόνοι, καὶ (οὐ γὰρ συνεχώρουν
ἔτι τὰ ἄστεα τὰ ἀρχαῖα ἐκλιπεῖν) οἱ μὲν αὐτῶν καὶ ἄκον-
τες ἀνάγκῃ κατήγοντο ἐς τὴν Μεγάλην πόλιν. (4) Τρα-
πεζούντιοι δὲ ἐκ Πελοποννήσου τὸ παράπαν ἐξεχώρησαν,
ὅσοι τε αὐτῶν ἐλείφθησαν, καὶ μὴ σφᾶς ὑπὸ τοῦ θυμοῦ

coloni, Zoetium, Charisia, Ptolederma, Cnauson, Parorea. Ab Aegiensibus, Scirtonium, Malaea, Cromi, Blenina, Leuctron. *Ad hos*, Parrhasiorum, Lycosurenses, Thocnenses, Trapezuntii, Prosenses, Acacesium, Acontimacaria, Dasea. Ex Cynuraeis, iis nempe, qui in Arcadia sunt, Gortys, Thisa, quae ad Lycaeum est; Lycotae, et Aliphera. Iam ex iis qui cum Orchomeniis censebantur, Thisoa, Methydrium, Teuthis: quibus et Tripolis, Callia nomine, accessit; necnon Dipoenae, et Nonacris. Ex iis omnibus populis, ceteri communi Arcadum decreto, nihil omnino recusantes paruerunt, summaque alacritate nomina in coloniam dedere: Lycosurenses duntaxat et Trapezuntii ab Arcadibus descivere: quippe qui antiqua patriae suae ut relinquerent moenia, adduci non poterant. horum pars magna inviti et necessitate coacti Megalopolin convenerunt: (4) at Trapezuntii, in quos primo irae impetu Arcades non saevierant, e *tota* prorsus Peloponneso abierunt: eos quum navibus in

παραυτίκα διεχρήσαντο οἱ Ἀρκάδες· τοὺς δὲ αὐτῶν ἀνασωθέντας ἀναπλεύσαντας ναυσὶν ἐς τὸν Πόντον, συνοίκους ἐδέξαντο μητρόπολιν νέμοντες καὶ ὁμωνύμους οἱ Τραπεζοῦντα ἔχοντες τὴν ἐν τῷ Εὐξείνῳ. Λυκοσουρεῦσι δὲ καὶ ἀπειθήσασιν ἐγένετο ὅμως παρὰ τῶν Ἀρκάδων αἰδὼς, Δήμητρός τε ἕνεκα καὶ Δεσποίνης ἐλθόντας τὸ ἱερόν. (5) Τῶν δὲ ἄλλων τῶν κατειλεγμένων πόλεων, αἱ μὲν ἐς ἅπαν εἰσὶν ἐφ' ἡμῶν ἔρημοι, τὰς δὲ ἔχουσιν οἱ Μεγαλοπολῖται κώμας, Γόρτυνα, Διποίνας, Θεισόαν τὴν πρὸς τῷ Ὀρχομενῷ, Μεθύδριον, Τεῦθιν, Καλλιὰς, Ἑλισσόντα. μόνη δὲ ἐξ αὐτῶν Παλλάντιον ἔμελλεν ἄρα ἠπιωτέρου πειρᾶσθαι καί ποτε τοῦ δαίμονος. τοῖς δὲ Ἀλιφηρεῦσι παραμεμένηκεν, ἐξ ἀρχῆς πόλιν σφᾶς καὶ ἐς τόδε νομίζεσθαι. (6) Συνῳκίσθη δὲ ἡ Μεγάλη πόλις 656
ἐνιαυτῷ τε τῷ αὐτῷ, καὶ μησὶ τε ὀλίγοις ὕστερον, ἢ τὸ πταῖσμα ἐγένετο Λακεδαιμονίων τὸ ἐν Λεύκτροις, Φρασικλείδου μὲν Ἀθήνησιν ἄρχοντος, δευτέρῳ δὲ ἔτει τῆς ἑκατοστῆς Ὀλυμπιάδος καὶ δευτέρας, ἣν Δάμων Θούριος

Pontum incolumes appulissent, qui Trapezuntem iam metropolim in Euxini ora condebant, tanquam gentiles suos recepere. Lycosurenses vero, etsi neque ipsi in officio permanserant, quod tamen in Cereris et Proserpinae confugerant, violare Arcades veriti sunt. (5) Aliarum certe omnium, quas percensuimus urbium, partim hodie plane desertae sunt; partim in vicorum formam redactas Megalopolitani tenent, Gortynam videlicet, Dipoenas, Thisoam ad Orchomenum, Methydrion, Teuthidem, Callias, Helissontem. Unum Pallantium tunc quoque deos habuit mitiores. Sed et Alipherenses in hunc usque diem urbis suae vetus nomen retinuerunt. (6) Deducta autem Megalopolis est, eodem anno, paucis post mensibus, quam Lacedaemonii Leuctricam cladem acceperunt, Athenis summum magistratum gerente Phrasiclide, Olympiadis centesimae secundae anno altero, qua Thurius Damon e stadio palmam tulit.

ἕνδεκα σταδίοις. (7) Μεγαλοπολίταις δὲ ἐς τὴν Θηβαίων συμμαχίαν ἐγγραφεῖσιν, ἀπὸ Λακεδαιμονίων δεῖμα ἦν οὐδέν. ὡς δὲ ἐς τὸν πόλεμον τὸν ἱερὸν ὀνομασθέντα οἱ Θηβαῖοι κατέστησαν, καὶ αὐτοῖς ἐπέκειντο οἱ Φωκεῖς, τήν τε ὅμορον τὴν Βοιωτῶν ἔχοντες, καὶ ὄντες οὐκ ἀδύνατοι χρήμασιν, ἅτε τὸ ἱερὸν τὸ ἐν Δελφοῖς κατειληφότες, τηνικαῦτα οἱ Λακεδαιμόνιοι προθυμίας μὲν εἵνεκα Ἀρκάδας τε ἂν τοὺς ἄλλους, καὶ τοὺς Μεγαλοπολίτας ἐποίησαν ἀναστάτους· ἀμυνομένων δὲ τῶν τότε οὐκ ἀθύμως, καὶ ἅμα τῶν περιοίκων ἀπροφασίστως σφίσιν ἐπικουρούντων, λόγου μὲν συνέπεσεν οὐδὲν ἄξιον γενέσθαι παρὰ οὐδετέρων. Φίλιππον δὲ τὸν Ἀμύντου καὶ Μακεδόνων τὴν ἀρχὴν οὐχ ἥκιστα αὐξηθῆναι τὸ ἔχθος τὸ Ἀρκάδων
277 ἐς Λακεδαιμονίους ἐποίησε· καὶ Ἕλλησιν ἐν Χαιρωνείᾳ, καὶ αὖθις περὶ Θεσσαλίαν τοῦ ἀγῶνος οὐ μετέσχον οἱ Ἀρκάδες. (8) Χρόνου δὲ οὐ μετὰ πολὺν Ἀριστόδημος Μεγαλοπολίταις ἀνέφυ τύραννος, Φιγαλεὺς μὲν γένος καὶ υἱὸς Ἀρτύλα, ποιησαμένου δὲ αὐτὸν Τριταίου τῶν οὐκ

(7) Ac tunc quidem Megalopolitani Thebanorum societate freti, nihil omnino sibi a Lacedaemoniis metuebant. At posteaquam Thebani a Phocensibus, qui et Boeotorum vicinitate nitebantur, et capto Delphici Apollinis templo pecunia abundabant, armis lacessiti, in id bellum, quod Sacrum fuit appellatum, incubuere: Lacedaemonii, qua erant animorum alacritate, cum ceteros Arcadas tum Megalopolitanos, suis deturbare sedibus adorti sunt. Verum quum cives acriter obsisterent, et a finitimis alacritate summa adiuvarentur, nihil utrinque memoratu dignum geri contigit. Philippum quidem Amyntae filium, et Macedonum imperium, Arcadum in Lacedaemonios odium ad summas opes provexit. Neque enim aut ad Chaeroneam, aut in eo praelio, quod in Thessalia commissum est, Graecis Arcades praesto fuere. (8) Non longo vero post tempore Megalopolitanis Aristodemus tyrannus exortus est, Phigalensis ille quidem patria, Artylae filius; quem tamen Tritaeus, homo

ἀδυνατωτάτων ἐν Μεγάλῃ πόλει· τούτῳ τῷ Ἀριστοδήμῳ καὶ τυραννοῦντι ἐξεγένετο ὅμως ἐπικληθῆναι Χρηστῷ. καὶ τούτου τυραννοῦντος ἐσβάλλουσιν ἐς τὴν Μεγαλοπολῖτιν στρατιᾷ Λακεδαιμόνιοι, καὶ τοῦ βασιλέως Κλεομένους ὁ πρεσβύτατος τῶν παίδων Ἀκρότατος. ἐγενεαλόγησα δὲ ἤδη τά τε ἐς τοῦτον καὶ ἐς τὸ πᾶν γένος τῶν ἐν Σπάρτῃ βασιλέων. γενομένης δ' ἰσχυρᾶς μάχης, καὶ ἀποθανόντων πολλῶν παρ' ἀμφοτέρων, κρατοῦσιν οἱ Μεγαλοπολῖται τῇ συμβολῇ· καὶ ἄλλοι τε διεφθάρησαν Σπαρτιατῶν, καὶ Ἀκρότατος, οὐδέ οἱ τὴν πατρῴαν παραλαβεῖν ἐξεγένετο ἀρχήν. (9) Μετὰ δὲ Ἀριστόδημον τελευτήσαντα δύο μάλιστα ὕστερον γενεαῖς ἐτυράννησε Λυδιάδης οἴκου μὲν ἀφανοῦς, φύσιν δὲ φιλότιμος ὢν καὶ οὐχ ἥκιστα, ὡς 657 ἐπέδειξεν ὕστερον, καὶ φιλόπολις. ἔσχε μὲν γὰρ ἔτι νέος ὢν τὴν ἀρχήν· ἐπεὶ δὲ ἤρξατο φρονεῖν, κατέπαυσεν ἑαυτὸν ἑκὼν τυραννίδος, καίπερ ἐς τὸ ἀσφαλὲς ἤδη οἱ τῆς ἀρχῆς καθωρμισμένης. Μεγαλοπολιτῶν δὲ συντελούντων ἤδη τότε ἐς τὸ Ἀχαϊκὸν, ὁ Λυδιάδης ἔν τε αὐτοῖς Με-

non tenuis in civitate census, sibi adoptaverat. Huic nihil dominatus obfuit, quo minus Frugi cognomento diceretur. Aristodemo dominante Lacedaemoniorum exercitus duce Acrotato Cleomenis filiorum natu maximo, (cuius gentilitatem omnem, et Spartanorum omnium regum iampridem percensuimus) in Megalopolitanorum fines invasit, ibi acerrimo praelio commisso, multis utrinque caesis, superiores tamen Megalopolitani ex eo certamine discessere. In acie praeter alios Lacedaemonios et ipse Acrotatus cecidit: quare ad eum paterni imperii successio non pervenit. (9) Post Aristodemum duabus fere aetatibus ad tyrannidem aggressus est Lydiades, obscuro genere, sed apprime generosae indolis vir, et (ut res ipsa postea indicavit) etiam publicae libertatis amator. Quum enim admodum adolescens imperare coepisset, ubi ad aetatem prudentia accessit, eo ipso tempore, quo imperii opes iam in tuto collocarat, ultro se tyrannide abdicavit: quumque se ad Achaicum concilium Me-

γαλοπολίταις καὶ ἐν τοῖς πᾶσιν Ἀχαιοῖς ἐγένετο οὕτω δόκιμος, ὡς Ἀράτῳ παρισωθῆναι τὰ ἐς δόξαν. Λακεδαιμόνιοι δὲ αὐτοί τε πανδημεὶ καὶ ὁ τῆς οἰκίας βασιλεὺς τῆς ἑτέρας Ἆγις ὁ Εὐδαμίδου στρατεύουσιν ἐπὶ Μεγάλην πόλιν παρασκευῇ μείζονι καὶ ἀξιολογωτέρᾳ τῆς ὑπὸ Ἀκροτάτου συναχθείσης· καὶ μάχῃ τε ἐπεξελθόντας τοὺς Μεγαλοπολίτας ἐνίκησαν, καὶ μηχάνημα ἰσχυρὸν προσάγοντες τῷ τείχει, τὸν πύργον τὸν ταύτῃ δι' αὐτοῦ σείουσι, καὶ ἐς τὴν ὑστεραίαν καταρρίψειν τῷ μηχανήματι ἤλπιζον. ἔμελλε δ' ἄρα οὐχ Ἕλλησιν ὁ Βορέας ἔσεσθαι μόνον τοῖς πᾶσιν ὄφελος, τοῦ Μήδων ναυτικοῦ ταῖς Σηπιάσι προσράξας τὰς πολλὰς, ἀλλὰ καὶ Μεγαλοπολίτας ὁ ἄνεμος οὗτος ἐρρύσατο μὴ ἁλῶναι· κατέλυσέ τε γὰρ τὸ μηχάνημα τοῦ Ἄγιδος καὶ διεφόρησεν ἐς ἀπώλειαν παντελῆ, βιαίῳ τῷ πνεύματι ὁμοῦ καὶ συνεχεῖ. ὁ δὲ Ἆγις, ὅτῳ τὰ ἐκ τοῦ Βορέου μὴ ἑλεῖν τὴν Μεγαλόπολιν ἐγένετο ἐμποδὼν, ἔστιν ὁ τὴν ἐν Ἀχαΐᾳ Πελλήνην ἀφαιρε-

galopolitani aggregassent, et suis est civibus, et Achaeis universis tantopere probatus, ut unus cum Arato vitae dignitate comparari posse videretur. *Iam tertio* Lacedaemonii magno totius populi concursu, Agide Eudamidae filio ex altera familia regia imperante, maiore *multo* copiarum apparatu, atque instructiore, quam is fuit exercitus, cui Acrotatus praefuit, Megalopolin adorti sunt; ac in pugnam quidem prodeuntes oppidanos *primo congressu* fuderunt: deinde admota ad muros praevalida machina, turrim ex ea moenium parte tam vehementer concusserunt, ut nihil iam dubitarent, se illam postero die deiecturos. Verum Boreas non universos tantum Graecos suo adiutos auxilio voluit, quum scilicet Persicae classis magnam partem ad Sepiadas allisit: sed idem etiam Megalopolitanos quominus caperentur tutatus est; continuo namque ac violento flatu machinam Agidis ita convulsit et dissipavit, ut plane pessumdaretur. Hic vero ipse Agis, qui Boream in oppugnatione Megalopolis adversarium habuit, is nempe est, cui Aratus

θεὶς ὑπὸ Ἀράτου καὶ Σικυωνίων, καὶ ὕστερον πρὸς Μαντινείᾳ χρησάμενος τῷ τέλει. (10) Μετὰ δὲ οὐ πολὺν χρόνον Κλεομένης ὁ Λεωνίδου Μεγαλόπολιν κατέλαβεν ἐν σπονδαῖς· Μεγαλοπολιτῶν δὲ οἱ μὲν ἐν τῇ νυκτὶ εὐθὺς τότε ἀμύνοντες τῇ πατρίδι ἐκπεπτώκεσαν, ἔνθα καὶ Λυδιάδην ἀγωνιζόμενον ἀξίως λόγου κατέλαβεν ἐν τῇ μάχῃ τὸ χρεών· τοὺς δὲ αὐτῶν Φιλοποίμην ὁ Κραύγιδος ὅσον τε τὰ δύο μέρη τῶν ἐν ἡλικίᾳ καὶ παῖδας ἅμα ἔχων καὶ γυναῖκας, διέφυγεν ἐς τὴν Μεσσηνίαν. Κλεομένης δὲ τούς τε ἐγκαταλειφθέντας ἐφόνευε καὶ κατέσκαπτέ τε καὶ ἔκαιε τὴν πόλιν. Μεγαλοπολῖται μὲν δὴ τρόπον ὁποῖον ἀνεσώσαντο τὴν αὐτῶν, καὶ ὁποῖα κατελθοῦσιν αὖθις ἐπράχθη σφίσι, δηλώσει τοῦ λόγου μοι τὰ 658
ἐς Φιλοποίμενα. Λακεδαιμονίων δὲ τῷ δήμῳ τοῦ τῶν Μεγαλοπολιτῶν παθήματος μέτεστιν αἰτίας οὐδὲν, ὅτι σφίσιν ἐκ βασιλείας μετέστησεν ἐς τυραννίδα ὁ Κλεομένης τὴν πολιτείαν. (11) Μεγαλοπολίταις δὲ καὶ Ἡραιεῦσι κατὰ τὰ εἰρημένα ἤδη μοι τοῦ Βουφάγου ποταμοῦ

Sicyoniorum dux in Achaia Pellenen ademit, quique postea ad Mantineam dimicans cecidit. (10) Post haec non sane longo interiecto tempore, Cleomenes Leonidae filius Megalopolin foederis religione neglecta oppressit. Megalopolitanorum pars, dum noctu correptis subito armis vim a patria propulsare nituntur, in conflictu occumbunt: inter quos Lydiades fortiter dimicans memoria hominum dignum vitae exitum reperit: Philopoemen autem cum duabus circiter militaris aetatis partibus, pueris praeterea et mulieribus effugit in Messeniam: reliquos Cleomenes urbe excisa trucidavit. Sed quonam modo suos fines, et urbis aream receperint Megalopolitae, quaeque reduces gesserint, id a nobis in explicandis Philopoemenis rebus gestis exponetur. Eius certe Megalopolitarum cladis culpa Lacedaemoniorum civitas prorsus vacavit: unus iniuriae auctor fuit Cleomenes, quum reipublicae formam a regno ad tyrannidem traduxisset. (11) Fines quidem inter Megalopolitas et Heraeenses (uti ante

περὶ τὰς πηγάς εἰσιν ὅροι τῆς χώρας. γενέσθαι δὲ τῷ ποταμῷ τὸ ὄνομα ἀπὸ Βουφάγου φασὶν ἥρωος, εἶναι δὲ Ἰαπετοῦ τε παῖδα αὐτὸν καὶ Θόρνακος· ἀπὸ ταύτης καὶ ἐν τῇ Λακωνικῇ Θόρνακα ὀνομάζουσι. λέγουσι δὲ καὶ ὡς ἐν Φολόῃ τῷ ὄρει τοξεύσειεν Ἄρτεμις Βούφαγον ἔργα τολμήσαντα οὐχ ὅσια ἐς τὴν θεόν.

CAPUT XXVIII.

De Gortyne vico eiusque memorandis — fluvio Lusio seu Gortynio frigore reliquos amnes superante — Teuthide vico, et de Theutide, Arcadum duce ad Troiam, narratio — monumento Paraebasio dicto et Berenthes urbis reliquiis.

Ἰόντα δὲ ἀπὸ τοῦ ποταμοῦ τῶν πηγῶν, πρῶτα μέν σε ἐκδέξεται Μάραθα χωρίον· μετὰ δὲ αὐτὸ, Γόρτυς κώμη τὰ ἐπ' ἐμοῦ, τὰ δὲ ἔτι ἀρχαιότερα πόλις. ἔστι δὲ αὐτόθι ναὸς Ἀσκληπιοῦ λίθου Πεντελησίου· καὶ αὐτός γε οὐκ ἔχων πω γένεια, καὶ Ὑγιείας, ἄγαλμα· Σκόπα δὲ ἦν ἔργα. λέγουσι δὲ οἱ ἐπιχώριοι καὶ τάδε· ὡς Ἀλέξανδρος ὁ Φιλίππου τὸν θώρακα καὶ δόρυ ἀναθείη τῷ Ἀσκληπιῷ· καὶ ἐς ἐμὲ ἔτι ὁ θώραξ καὶ τοῦ δόρατος ἦν αἰχμή. (2) Τὴν δὲ Γόρτυνα ποταμὸς διέξεισιν, ὑπὸ μὲν τῶν

dictum est) ad Buphagi amnis fontes sunt. Nomen amni ab heroe Buphago, Iapeti et Thornacis filio, inditum tradunt. Thornacis ipsius in Laconica etiam terra nomen celebratur: sed Buphagum Dianae sagittis in Pholoe monte, impium in deam facinus molientem, confixum memorant.

Cap. XXVIII. A fluvii fontibus discedentes vicus excipit Maratha: dehinc pagus aetate nostra, olim oppidum, Gortys. Est illic Aesculapii ex Pentelico lapide delubrum, et signum impuberis Dei, et Hygiae, Scopae opus. Tradunt populares, ab Alexandro Philippi filio loricam et hastam in Aesculapii dedicatam. Mea certe etiamnum aetate, lorica, et hastae cuspis ibi cernuntur. (2) Gortynam flu-

περὶ τὰς πηγὰς ὀνομαζόμενος Λούσιος, ἐπὶ λουτροῖς δὴ τοῖς Διὸς τεχθέντος· οἱ δὲ ἀπωτέρω τῶν πηγῶν καλοῦσιν ἀπὸ τῆς κώμης Γορτύνιον. οὗτος ὁ Γορτύνιος ὕδωρ ψυχρότατον παρέχεται ποταμῶν. Ἴστρον μέν γε καὶ Ῥῆνον, ἔτι δὲ Ὕπανίν τε καὶ Βορυσθένην, καὶ ὅσων ἄλλων ἐν ὥρᾳ χειμῶνος τὰ ῥεύματα πήγνυται, τούτους μὲν χειμερίους κατὰ ἐμὴν δόξαν ὀρθῶς ὀνομάσαι τις ἄν· οἳ ῥέουσι μὲν διὰ γῆς τὸ πολὺ τοῦ χρόνου νιφομένης, ἀνάπλεως δὲ κρυμοῦ καὶ ὁ περὶ αὐτούς ἐστιν ἀήρ. ὅσοι δὲ γῆν διεξίασιν εὖ τῶν ὡρῶν ἔχουσαν, καὶ θέρους σφίσι τὸ
ὕδωρ πινόμενόν τε καὶ λουομένους ἀνθρώπους ἀναψύχει, 659
χειμῶνος δὲ ἀνιαρὸν οὐκ ἔστι, τούτους ἐγώ φημι παρέχεσθαι σφᾶς ὕδωρ ψυχρόν. ψυχρὸν μὲν δὴ ὕδωρ καὶ Κύδνου τοῦ διεξιόντος Ταρσεῖς, καὶ Μέλανος τοῦ παρὰ Σίδην τὴν Παμφύλων· Ἄλεντος δὲ τοῦ ἐν Κολοφῶνι καὶ ἐλεγείων ποιηταὶ τὴν ψυχρότητα ᾄδουσι. Γορτύνιος δὲ προέχει καὶ ἐς πλέον ψυχρότητος, μάλιστα δὲ ὥρᾳ θέ-

vius perlabitur, quem circa suos fontes Lusium appellant; quod in eo Iovem recens natum lotum credunt: qua vero longius a fontibus discedit, Gortynius a Gortyna dicitur. Hic unus omnium aqua fluit *multo* frigidissima. Istrum enim, Rhenum, Hypanim, Borysthenem, et alios quorum aquae hyeme congelascunt, eos meo quidem iudicio glaciales rectius, et brumales, quam frigidos appellare possimus: meant siquidem illi per terras quovis fere anni tempore multa nive obductas, et praegelido aëre undique circumfuso rigentes. Nam et eos amnes, quotcunque ii numerari possint, qui temperatas regiones perfluentes, aestate omni vel bibentium vel lavantium aestum levent, hyeme vero *multo* sint inclementissimi, illos neutiquam frigidam aquam suppeditare *hominum usibus* dixerim. Sed *maxime iucundo* aquarum frigore sunt Cydnus, qui Tarsensium fines perlabitur; Melas, qui praeter Sidam Pamphylorum decurrit: tum vero Halesi ad Colophonem frigidam aquam, qui elegos fecerunt, poetae celebrant: sed hos omnes aestate prae-

ρους. ἔχει μὲν δὴ τὰς πηγὰς ἐν Θεισόᾳ τῇ Μεθυδριεῦσιν ὁμόρῳ· καθότι δὲ τῷ Ἀλφειῷ τὸ ῥεῦμα ἀνακοινοῖ, καλοῦσι Ῥαιτέας. (3) Τῇ χώρᾳ δὲ τῇ Θεισόᾳ προσεχὴς κώμη Τεῦθίς ἐστι· πάλαι δὲ ἦν πόλισμα ἡ Τεῦθις. ἐπὶ δὲ τοῦ πολέμου τοῦ πρὸς Ἴλιον ἰδίᾳ παρείχοντο οἱ ἐνταῦθα ἡγεμόνα· ὄνομα δὲ αὐτῷ Τεῦθιν, οἱ δὲ Ὄρνυτόν φασιν εἶναι. ὡς δὲ τοῖς Ἕλλησιν οὐκ ἐγίνετο ἔκφορα ἐξ Αὐλίδος πνεύματα, ἀλλὰ ἄνεμος σφᾶς βίαιος ἐπὶ χρόνον εἶχεν ἐγκλείσας, ἀφίκετο ὁ Τεῦθις Ἀγαμέμνονι ἐς ἀπέχθειαν, καὶ ὀπίσω τοὺς Ἀρκάδας, ὧν ἦρχεν, ἀπάξειν ἔμελλεν. ἐνταῦθα Ἀθηνᾶν λέγουσι Μέλανι τῷ Ὄπος εἰκασμένην ἀποτρέπειν τῆς ὁδοῦ Τεῦθιν τῆς οἴκαδε. ὁ δὲ, ἅτε οἰδοῦντος αὐτῷ τοῦ θυμοῦ, παίει τὴν θεὸν τῷ δόρατι ἐς τὸν μηρόν· ἀπήγαγε δὲ καὶ ἐκ τῆς Αὐλίδος ὀπίσω τὸν στρατόν. ἀναστρέψας δὲ ἐς τὴν οἰκίαν, τὴν θεὸν ἔδοξεν αὐτὴν τετρωμένην φανῆναί οἱ τὸν μηρόν. τὸ δὲ ἀπὸ τούτου κατέλαβε Τεῦθιν φθινώδης νόσος, μόνοις δὲ Ἀρκάδων τοῖς ἐνταῦθα οὐκ ἀπεδίδου καρπὸν οὐδένα

sertim vincit Gortynius. Fontes habet ad Thisoam proximo Methydriensibus loco: Rhaeteas vocant, Alphei et Gortynii confluentem. (3) Thisoa reguncula est, cui finitimus pagus Teuthis: oppidum olim fuit; ac Troiano quidem bello ducem hinc missum narrant, cui nomen Teuthis: Ornytam tamen alii appellant. Inter hunc, dum Graeci Aulide ob adversas tempestates interclusi detinerentur, et Agamemnonem, simultates fuere: quare quum cohortem suam Teuthis domum reportaturus esset, Palladem aiunt, assimulantem Melanem Opis filium, illum retrahere conatam: sed is, quod erat in tumore prae ira animus, hasta dicitur deae femur percusisse, exercitumque ex Aulide domum reduxisse: ubi vero domum rediit, deam se ei ostendisse, nudantem saucium femur: atque ab eo *primum* tempore Teuthidem lethali tabis morbo correptum: in ea vero una parte Arcadiae nullos plane fructus e terra editos. Intariecto dehinc

ἡ γῆ. χρόνῳ δὲ ὕστερον ἄλλα τε ἐχρήσθη σφίσιν ἐκ Δωδώνης, ὁποῖα δρῶντες ἱλάσασθαι τὴν θεὸν ἔμελλον, καὶ ἄγαλμα ἐποιήσαντο Ἀθηνᾶς ἔχον τραῦμα ἐπὶ τοῦ μηροῦ. τοῦτο καὶ αὐτὸς τὸ ἄγαλμα εἶδον, τελαμῶνι πορφυρῷ τὸν μηρὸν κατειλημένον. καὶ ἄλλα ἐν Τεύθιδι, Ἀφροδί- 660
της τε ἱερὸν καὶ Ἀρτέμιδός ἐστι. ταῦτα μὲν δὴ ἐνταῦθά ἐστι. (4) Κατὰ δὲ τὴν ὁδὸν τὴν ἐκ Γόρτυνος ἐς Μεγάλην πόλιν πεποίηται μνῆμα τοῖς ἀποθανοῦσιν ἐν τῇ πρὸς Κλεομένην μάχῃ. τὸ δὲ μνῆμα τοῦτο ὀνομάζουσιν οἱ Μεγαλοπολῖται Παραιβάσιον, ὅτι ἐς αὐτοὺς παρεσπόνδησεν ὁ Κλεομένης. Παραιβασίου δὲ ἔχεται πεδίον ἑξήκοντα σταδίων μάλιστα· καὶ πόλεως ἐρείπια Βρένθης ἐστὶν ἐν δεξιᾷ τῆς ὁδοῦ, καὶ ποταμὸς ἔξεισιν αὐτόθι Βρενθεάτης, ὅσον δὲ σταδίους προελθόντι πέντε, κάτεισιν ἐς τὸν Ἀλφειόν.

tempore e Dodona oraculum redditum, ut deam placarent. Faciundum itaque oppidani signum curarunt, saucio femore: quod ipse etiam vidi, purpurea fascia vulnus obligante. Sunt Teuthide tum alia, tum Veneris et Dianae fana. (4) Atque haec quidem illic. Ad eam vero viam, qua Gortyne Megalopolin iter, sepulcrum eorum visitur, qui contra Cleomenem pugnantes occubuerunt. Appellant monumentum illud Megalopolitae Paraebasium, violatum nempe foedus a Cleomene eo nomine testificantes. Adiacet Paraebasio campus stadium ferme LX. Brenthes urbis ruinae ad viae dexteram se ostendunt; praeterfluente Brentheate amne, qui se hinc non longius, quam stadiis V, in Alpheum demittit.

CAPUT XXIX.

De Trapezuntis urbis reliquiis, loco Bathos dicto et fonte Olympiade — Gigantum pugna cum diis — de Orontis cadavere reperto narratio — de urbis Basilidis reliquiis et Thocnia urbe.

Διαβάντων δὲ Ἀλφειὸν χώρα τε καλουμένη Τραπεζουντία, καὶ πόλεώς ἐστιν ἐρείπια Τραπεζοῦντος. καὶ αὖθις ἐπὶ τὸν Ἀλφειὸν ἐν ἀριστερᾷ καταβαίνοντι ἐκ Τραπεζοῦντος, οὐ πόῤῥω τοῦ ποταμοῦ, Βάθος ἐστὶν ὀνομαζόμενον, ἔνθα ἄγουσι τελετὴν διὰ ἔτους τρίτου θεαῖς μεγάλαις· καὶ πηγή τε αὐτόθι ἐστὶν Ὀλυμπιὰς καλουμένη τὸν ἕτερον τῶν ἐνιαυτῶν οὐκ ἀποῤῥέουσα· καὶ πλησίον τῆς πηγῆς πῦρ ἄνεισι. (2) Λέγουσι δὲ οἱ Ἀρκάδες, τὴν λεγομένην Γιγάντων μάχην καὶ θεῶν ἐνταῦθα, καὶ οὐκ ἐν τῇ Θρᾳκίᾳ γενέσθαι Παλλήνῃ, καὶ θύουσιν ἀστραπαῖς αὐτόθι καὶ θυέλλαις τε καὶ βρονταῖς. Γιγάντων δὲ ἐν μὲν Ἰλιάδι οὐδεμίαν ἐποιήσατο ὁ Ὅμηρος μνήμην· ἐν Ὀδυσσείᾳ δὲ ἔγραψε μὲν, ὡς ταῖς Ὀδυσσέως ναυσὶ Λαιστρυγόνες ἐπέλθοιεν Γίγασι καὶ οὐκ ἀνδράσιν εἰκασμένοι· ἐποίησε δὲ καὶ τὸν βασιλέα τῶν Φαιάκων λέγοντα, εἶναι

Cap. XXIX. Trans Alpheum ager est Trapezuntius, in quo Trapezuntis urbis ruinae. Inde quum rursus ad Alpheum sinistrorsum descenderis, non longe ab ipso flumine *alte subsidentem vallem* videas, cui Bathos nomen: illic tertio quoque anno initia Magnarum dearum peragunt. Fons ibidem est; Olympias appellatur; e quo alternis annis aquae manant. (2) Proxime ignis erumpit. Vulgatum inter Arcades est, Gigantes hoc in loco, non autem ad Thraciae Pallenen, cum diis praeliatos. Rem itaque divinam ibi fulguribus, procellis, et tonitribus faciunt. Gigantum quidem Homerus nullam omnino in Iliade mentionem fecit: in Odyssea memorat Laestrygonas Gigantibus persimiles homines, Ulyssis classem adortos. Phaeacum etiam regem dicentem fecit, Phaeacas deorum propinquos esse, sicuti Cyclopas,

τοὺς Φαίακας θεῶν ἐγγὺς ὥσπερ Κύκλωπας, καὶ τὸ Γιγάντων φῦλον. ἔν τε οὖν τούτοις δηλοῖ, θνητοὺς ὄντας καὶ οὐ θεῖον γένος τοὺς Γίγαντας, καὶ σαφέστερον ἐν τῷδε ἔπει·

Ὅς ποθ' ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν·
Ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτός.

ἐθέλουσι δὲ αὐτῷ λαὸς ἐν τοῖς ἔπεσιν ἀνθρώπων οἱ πολλοὶ καλεῖσθαι. (3) Δράκοντας δὲ ἀντὶ ποδῶν τοῖς Γίγασιν εἶναι, πολλαχῇ τε ὁ λόγος ἄλλῃ καὶ ἐν τῷδε ἐδείχθη μάλιστα ὡς ἔστιν εὐήθης. Ὀρόντην τὸν Σύρων ποτα- 661
μὸν, οὐ τὰ πάντα ἐν ἰσοπέδῳ μέχρι θαλάσσης ῥέοντα, ἀλλὰ ἐπὶ κρημνόν τε ἀποῤῥῶγα καὶ ἐς κάταντες ἀπ' αὐτοῦ φερόμενον, ἠθέλησεν ὁ Ῥωμαίων βασιλεὺς ἀναπλεῖσθαι ναυσὶν ἐκ θαλάσσης ἐς Ἀντιόχειαν πόλιν· ἔλυτρον οὖν σὺν πόνῳ τε καὶ δαπάνῃ χρημάτων ὀρυξάμενος ἐπιτήδειον ἐς τὸν ἀνάπλουν, ἐξέτρεψεν ἐς τοῦτο τὸν ποταμόν. ἀναξηρανθέντος δὲ τοῦ ἀρχαίου ῥεύματος κεραμέα τε ἐν αὐτῷ σορὸς πλέον ἢ ἑνός τε καὶ δέκα εὑρέθη πηχῶν, καὶ ὁ νεκρὸς μέγεθός τε ἦν κατὰ τὴν σορὸν, καὶ

et Gigantum progeniem. Quibus in locis haud obscure ostendit, mortales fuisse, non autem deorum satu ortos Gigantes: quod ipsum apertius illis versibus docet:

Imperio indomitos qui rexerat ante Gigantes:
At populo immani amisso confectus et ipse est.

Solet enim λαὸς ab eo in carmine nominari promiscua hominum multitudo, vulgus. (3) Dracones vero pro pedibus Gigantes habuisse, tum aliis rationibus facile refellitur, tum ex hoc maxime absurdum ostenditur. Orontem Syriae fluvium, ad mare non per campos ubique, sed per valde declivia et praerupta citato cursu descendentem, Romanorum Imperator navibus e mari Antiochiam usque pervium reddere instituit. Alveo igitur magnis laboribus et sumtibus perfosso, per quem commode ascendere naves possent, in eum flumen avertit. Vetere vero alveo exiccato loculus fictilis repertus est cubitorum XI, et in eo cadaver nihilo brevius,

ἀνθρωπίας δὲ κατὰ πᾶν τοῦ σώματος. τοῦτον τὸν νεκρὸν ἐν Κλάρῳ ὁ θεὸς, ἀφικομένων ἐπὶ τὸ χρηστήριον τῶν Σύρων, εἶπεν Ὀρόντην εἶναι, γένους δὲ αὐτὸν εἶναι τοῦ Ἰνδῶν. εἰ δὲ τὴν γῆν τὸ ἀρχαῖον οὖσαν ὑγρὰν ἔτι καὶ ἀνάπλεων νοτίδος θερμαίνων ὁ ἥλιος τοὺς πρώτους ἐποίησεν ἀνθρώπους, ποίαν εἰκός ἐστιν ἄλλην χώραν ἢ προτέραν τῆς Ἰνδῶν, ἢ μείζονας ἀνεῖναι τοὺς ἀνθρώπους, ἥ γε καὶ ἐς ἡμᾶς ἔτι καὶ ὄψεως τῷ παραλόγῳ καὶ μεγέθει διάφορα ἐκτρέφει θηρία; (4) Τοῦ δὲ χωρίου τοῦ ὀνομαζομένου Βάθους σταδίους ὡς δέκα ἀφέστηκε καλουμένη Βάσιλις· ταύτης ἐγένετο οἰκιστὴς Κύψελος, ὁ Κρεσφόντῃ τῷ Ἀριστομάχου τὴν θυγατέρα ἐκδούς· ἐπ' ἐμοῦ δὲ ἐρείπια ἡ Βάσιλις ἦν, καὶ Δήμητρος ἱερὸν ἐν αὐτοῖς ἐλείπετο Ἐλευσινίας. ἐντεῦθεν δὲ προϊὼν, τὸν Ἀλφειὸν αὖθις διαβήσῃ, καὶ ἐπὶ Θωκνίαν ἀφίξῃ, τὸ ὄνομα ἀπὸ Θώκνου τοῦ Λυκάονος ἔχουσαν, ἐς ἅπαν δὲ ἐφ' ἡμῶν ἔρημον· ἐλέγετο δὲ ὁ Θῶκνος ἐν τῷ λόφῳ κτίσαι τὴν πόλιν. ποταμὸς δὲ ὁ Ἀμίνιος ῥέων παρὰ τὸν λόφον,

humana specie ex omni parte corporis. Hunc Orontem fuisse, ex Indorum gente, Clarii Apollinis oraculo Syris consulentibus responsum fuit. Quod si, uda initio terra, et humore gravida, sole concalefacta, primos edidit homines, ecquamnam aliam regionem verisimile est vel priorem vel maiores edidisse homines quam Indiam? quae ad nostra usque tempora belluas alit inusitata specie ac magnitudine portentosas? Ab eo loco, qui Bathos dicitur, stadia ferme X distat Basilis. Eam *urbem* condidit Cypselus ille, qui Cresphonti Aristomachi filio filiam nuptum dedit. (4) Aetate nostra Basilidis ruinae solae extant; et inter eas Eleusiniae Cereris templum. Hinc pro gressus, Alpheum ubi iterum transieris, Thocniam pervenies; cui a Thocno Lycaonis filio nomen. Aetate nostra prorsus deserta est. Et urbem quidem eam in collis vertice munisse dicitur Thocnus, collem Aminio amne prae-

ἐς τὸν Ἑλισσόντα ἐκδίδωσι, καὶ οὐ πολὺ ἄπωθεν ἐς τὸν Ἀλφειὸν ὁ Ἑλισσών.

CAPUT XXX.

De Helissonis fluvii meatu, Neptuni Epoptae templo — Megalopolis ab Helissone in II partes divisae memoranda, Iovis Lycaei templum, Panis Sinois et Apollinis Bassaei vel Epicurii signum — porticus Philippea, VI conclavia ἀρχεῖα dicta, et porticus Myropolis dicta — de Polybio, Lycortae filio — templo et signo Iovis Servatoris.

Ὁ δὲ Ἑλισσὼν οὗτος ἀρχόμενος ἐκ κώμης ὁμωνύμου
(καὶ γὰρ τῇ κώμῃ τὸ ὄνομα Ἑλισσών ἐστι) τήν τε Δι-
παιέων καὶ τὴν Λυκαιᾶτιν χώραν, τρίτα δὲ αὐτὴν διεξ-
ελθὼν Μεγάλην πόλιν, * σταδίοις ἀπωτέρω Μεγαλοπο- 662
λιτῶν τοῦ ἄστεως κάτεισιν ἐς τὸν Ἀλφειόν. πλησίον δὲ
ἤδη τῆς πόλεως Ποσειδῶνός ἐστιν Ἐπόπτου ναός· ἐλεί-
πετο δὲ τοῦ ἀγάλματος ἡ κεφαλή. (2) Διαιροῦντος δὲ
τὴν Μεγάλην πόλιν τοῦ ποταμοῦ τοῦ Ἑλισσόντος, καθὰ
δὴ καὶ Κνίδον καὶ Μιτυλήνην δίχα οἱ Εὔριποι νέμου-
σιν, ἐν μέρει τῷ πρὸς ἄρκτους, δεξιῷ δὲ κατὰ τὸ με-
τέωρον τοῦ ποταμοῦ, πεποίηταί σφισιν ἀγορά· περίβο-
λος δέ ἐστιν ἐν ταύτῃ λίθων, καὶ ἱερὸν Λυκαίου Διός·

terfluente. Is in Helissontem illabitur: nec procul inde in Alpheum influit Helisson.

Cap. XXX. Ortus Helisson habet suos e pago eiusdem nominis: inde Dipaeensium primum, Lycaeatem deinde agrum perlapsus, tertio stadium *prope XXX intervallo*, per ipsam Megalopolitarum urbem in Alpheum decurrit. Proxime ad urbis moenia templum est Neptuni *Speculatoris*, Epoptae *appellant:* simulacri solum caput relictum est. (2) Urbem ipsam, quum dividat amnis Helisson, non secus quam Cnidon et Mitylenen euripi intersecant, in dextera parte, qua fluminis ripae eminent, ad Septentriones forum expositum est. In eo septum lapideum, et Lycaei Iovis fanum,

ἔφοδος δ' ἐς αὐτὸ οὐκ ἔστι· τὰ γὰρ ἐντός ἐστι δὴ σύνοπτα· βωμοί τε εἰσὶ τοῦ θεοῦ καὶ τράπεζαι δύο, καὶ ἀετοὶ ταῖς τραπέζαις ἴσοι, καὶ ἄγαλμα Πανὸς λίθου πεποιημένον, ἐπίκλησιν δὲ Σινόεις ἐστίν· αὐτῷ δὲ τήν τε ἐπίκλησιν γενέσθαι τῷ Πανὶ ἀπὸ νύμφης Σινόης λέγουσι, ταύτην δὲ σὺν ἄλλαις τῶν νυμφῶν καὶ ἰδίᾳ γενέσθαι τροφὸν τοῦ Πανός. ἔστι δὲ πρὸ τοῦ τεμένους τούτου χαλκοῦν ἄγαλμα Ἀπόλλωνος θέας ἄξιον, μέγεθος μὲν ἐς πόδας δώδεκα· ἐκομίσθη δὲ ἐκ τῆς Φιγαλέων συντελείας ἐς κόσμον τῇ Μεγάλῃ πόλει. τὸ δὲ χωρίον, ἔνθα τὸ ἄγαλμα ἵδρυτο ἐξ ἀρχῆς ὑπὸ Φιγαλέων, ὀνομάζεται Βάσσαι· τῷ θεῷ δὲ ἡ ἐπίκλησις ἠκολούθηκε μὲν ἐκ τῆς Φιγαλέων· ἐφ' ὅτῳ δὲ ὄνομα ἔσχεν Ἐπικούριος, δηλώσει μοι τὰ ἐς Φιγαλέας τοῦ λόγου. ἔστι δὲ ἐν δεξιᾷ τοῦ Ἀπόλλωνος ἄγαλμα οὐ μέγα Μητρὸς θεῶν, τοῦ ναοῦ δέ, ὅτι μὴ οἱ κίονες, ἄλλο ὑπόλοιπον οὐδέν. πρὸ δὲ τοῦ ναοῦ τῆς Μητρὸς ἀνδριὰς μὲν οὐδείς ἐστι, δῆλα δὲ ἦν τὰ βάθρα, ἐφ' ὧν ἀνδριάντες ποτὲ ἐστήκεσαν. ἐλεγεῖον δὲ ἐπὶ

in quod nullus patet aditus. Nam quae sunt intus, in conspectu sunt omnia: altaria dei *duo*, mensae duae, *totidem* mensis pares aquilae: Panos lapideum signum, cui Sinois cognomentum, a Sinoe Nympha, quae una cum ceteris Nymphis, et seorsum *ab illis* Pana creditur aluisse. Ante sacram aream, Apollinis est ex aere simulacrum spectatu dignum, pedum XII magnitudine. Id e pagis, qui Phigalensium ditione continentur, ad exornandam Megalopolin huc portatum est. Locus autem ubi simulacrum a Phigalensibus initio fuit erectum, Bassae nominatur. Cognomen deum e Phigalensi agro Megalopolin usque comitatum est. Quam vero ob causam Epicurius sit cognominatus, quum de rebus eius civitatis agemus, ibi exponetur. Ad Apollinis dextram signum est non utique magnum, Deum matris. Templi vero praeter columnas iam aliud nihil reliquum. Pro Magnae matris aede nullum *omnino* stat *amplius* signum: extant scamilli, qui statuas olim sustinuere. Eorum unius

ἑνὸς γεγραμμένων τῶν βάθρων Διοφάνους φησὶν εἶναι τὴν εἰκόνα, Διαίου μὲν υἱοῦ, συντάξαντος δὲ ἀνδρὸς πρώτου Πελοπόννησον τὴν πᾶσαν ἐς τὸν ὀνομασθέντα Ἀχαϊκὸν σύλλογον. (3) Στοὰν δὲ τῆς ἀγορᾶς ὀνομαζομένην Φιλίππειον, οὐ Φίλιππος ἐποίησεν ὁ Ἀμύντου, χαριζόμενοι δὲ οἱ Μεγαλοπολῖται τὴν ἐπωνυμίαν διδόα- 663
σιν αὐτῷ τοῦ οἰκοδομήματος· Ἑρμοῦ δὲ Ἀκακησίου πρὸς αὐτῇ ναὸς κατεβέβλητο, καὶ οὐδὲν ἐλείπετο ὅτι μὴ χελώνη λίθου. ταύτης δὲ ἔχεται τῆς Φιλιππείου μέγεθος ἀποδέουσα ἑτέρα στοά· Μεγαλοπολίταις δὲ αὐτόθι ᾠκοδομημένα ἐστὶ τὰ ἀρχεῖα, ἀριθμὸν οἰκήματα ἕξ· ἐν ἑνὶ δέ ἐστιν αὐτῶν Ἐφεσίας ἄγαλμα Ἀρτέμιδος, καὶ ἐν ἑτέρῳ χαλκοῦς Πὰν πηχυαῖος ἐπίκλησιν Σκολείτας· μετεκομίσθη δὲ ἀπὸ λόφου τοῦ Σκολείτα· καὶ ὁ λόφος οὗτος τοῦ τείχους ἐστὶν ἐντός, ἀπὸ δὲ αὐτοῦ κάτεισιν ὕδωρ ἐς τὸν Ἑλισσόντα ἐκ πηγῆς. τῶν ἀρχείων δὲ ὄπισθεν ναὸς Τύχης καὶ ἄγαλμα λίθου πεποίηται ποδῶν πέντε οὐκ ἀποδέον. στοὰν δὲ ἥντινα καλοῦσι Μυρόπωλιν, ἔστι μὲν τῆς

inscriptio testatur elegis versibus, fuisse effigiem illam Diophanis Diaei filii qui primus cunctam Peloponnesum cum Achaico concilio coniunxit. (3) Porticus vero Philippea nominatur, non quod eam extruxerit Philippus, Amyntae filius, sed quod Megalopolitae gratiam regis captantes, sub eius nomine opus illud dedicarunt. Contingit eam porticum Mercurii Acacesii templum: cui reliqua iam pars nulla, praeter lapideam testudinem. Philippeam porticum excipit porticus altera, magnitudine illi neutiquam par. In ea Megalopolitae cellas praetorias *continenter* sex erexere. In earum una est Ephesiae Dianae signum; in altera Pan ex aere cognomento Scolitas, cubitali magnitudine. Transtulerunt huc eum e tumulo, qui intra muros est, eodem nomine nuncupatus: in quo fons, unde aqua in Helissontem effluit. A tergo cellarum praetoriarum aedes Fortunae sita est, cum signo marmoreo pedum V, nihilo breviore. Iam vero porticus, quam Myropolin *(hoc est Unguentariam)* nuncupant,

ἀγορᾶς, ᾠκοδομήθη δὲ ἀπὸ λαφύρων, ἡνίκα τὸ πταῖσμα ἐγένετο Ἀκροτάτῳ τῷ Κλεομένους καὶ Λακεδαιμονίων τοῖς συστρατεύσασι, μαχεσαμένοις πρὸς Ἀριστόδημον τυραννίδα ἐν Μεγάλῃ πόλει ποτὲ ἔχοντα. (4) Μεγαλοπολίταις δὲ ἐπὶ τῆς ἀγορᾶς ἐστιν ὄπισθεν τοῦ περιβόλου, τοῦ ἀνειμένου τῷ Λυκαίῳ Διΐ, ἀνὴρ ἐπειργασμένος ἐπὶ στήλῃ, Πολύβιος Λυκόρτα· γέγραπται δὲ καὶ ἐλεγεῖα ἐπ' αὐτῷ λέγοντα, ὡς ἐπὶ γῆν καὶ θάλασσαν πᾶσαν πλανηθείη, καὶ ὅτι σύμμαχος γένοιτο Ῥωμαίων, καὶ παύσειεν αὐτοὺς ὀργῆς ἐς τὸ Ἑλληνικόν. συνέγραψε δὲ ὁ Πολύβιος οὗτος καὶ ἄλλα ἔργα Ῥωμαίων, καὶ ὡς Καρχηδονίοις κατέστησαν ἐς πόλεμον, αἰτία δὲ ἥτις ἐγένετο αὐτοῦ, καὶ ὡς ὀψὲ οὐκ ἄνευ κινδύνων μεγάλων Ῥωμαῖοι Σκιπίωνά τινα Καρχηδονιακὸν ὀνομάζουσι, τέλος τε ἐπιθέντα τῷ πολέμῳ, καὶ τὴν Καρχηδόνα καταβαλόντα ἐς ἔδαφος. ὅσα μὲν δὴ Πολυβίῳ παραινοῦντι ὁ Ῥωμαῖος ἐπείθετο, ἐς ὀρθὸν ἐχώρησεν αὐτῷ· ἃ δὲ οὐκ ἠκροᾶτο διδάσκοντος, γενέσθαι οἱ λέγουσιν ἁμαρτήματα. Ἑλλήνων δὲ ὁπόσαι πό-

fori pars est: aedificarunt vero eam de manubiis Lacedaemoniorum, qui duce Acrotato Cleomenis filio, ab Aristodemo Megalopolitarum tyranno fusi sunt. (4) In eodem foro a tergo septi eius, quod est Iovi Lycaeo dicatum, pilae insistit Polybius, Lycortae filius cum inscriptione, quae elegis indicat, vagatum illum esse per terras et maria omnia: amicum et socium Romanorum fuisse quos etiam iratos Graecis placarit. Scripsit Polybius hic et alias res gestas populi Romani et bella cum Carthaginiensibus suscepta: quae fuerit illorum causa, et quam spisse et vix multis defuncti periculis, civis cuiusdam sui virtute, quem Scipionem Africanum cognomento appellarunt, excisa Carthagine bellum Romani confecerint. Et sane, quae Polybii monitu gessit Romanus Imperator omnia bene et feliciter ei evenisse: in quibus vero minus se eius viri dicto audientem praebuit, in iis offendisse memoriae proditum est.

λεις ἐς τὸ Ἀχαϊκὸν συντέλουν, παρὰ Ῥωμαίων εὕραντο
αὐταὶ Πολύβιόν σφισι πολιτείας τε καταστήσασθαι καὶ
νόμους θεῖναι. τῆς δ' εἰκόνος τοῦ Πολυβίου τὸ βουλευ-
τήριόν ἐστιν ἐν ἀριστερᾷ. τοῦτο μὲν δή ἐστιν ἐνταῦθα.
(5) Στοὰν δὲ τῆς ἀγορᾶς Ἀριστάνδρειον ἐπίκλησιν ἄν-
δρα τῶν ἀστῶν Ἀρίστανδρον οἰκοδομῆσαι λέγουσι· ταύ-
της τῆς στοᾶς ἐστιν ἐγγυτάτω ὡς πρὸς ἥλιον ἀνίσχοντα 664
ἱερὸν Σωτῆρος ἐπίκλησιν Διός· κεκόσμηται δὲ πέριξ κίοσι.
καθεζομένῳ δὲ τῷ Διῒ ἐν θρόνῳ παρεστήκασι τῇ μὲν ἡ
Μεγάλη πόλις, ἐν ἀριστερᾷ δὲ Ἀρτέμιδος Σωτείρας ἄγαλ-
μα· ταῦτα μὲν λίθου τοῦ Πεντελησίου Ἀθηναῖοι Κηφι-
σόδοτος καὶ Ξενοφῶν εἰργάσαντο.

Civitates plane omnes, quae se Achaeis contribuissent, Polybium nactae sunt rerum suarum publicarum auctorem, legum etiam latorem. Ad laevam Polybii statuae, curia est. (5) Fori porticum, quam Aristandream nominant, ab Aristandro cive suo exaedificatam tradunt. Proxime eam porticum, contra solis vere ortum, templum est Iovis cognomento Servatoris, columnis circumquaque *suffultum et* exornatum. Iovi in solio sedenti a dextera parte adsistit Megalopolis; a laeva Dianae Sospitae simulacrum: quae e Pentelico lapide Cephisodotus et Xenophon Athenienses elaborarunt.

CAPUT XXXI.

Memoranda Megalopolis porro recensentur, templum et signa magnarum dearum, Cereris et Proserpinae Sospitae cum aliis signis additis — Nympharum Arcadicarum signa ac templum et signum Iovis Philii — templum Veneris machinatricis — signa eorum, qui primi Megalopolitanis initia instituerunt, et deorum signa quadrangula forma — templum Proserpinae — templum Minervae Poliadis et Iunonis Teleae ac fonte Bathyllo.

Τὸ δὲ ἕτερον πέρας τῆς στοᾶς παρέχεται τὸ πρὸς ἡλίου δυσμῶν περίβολον θεῶν ἱερὸν τῶν μεγάλων· αἱ δέ εἰσιν αἱ μεγάλαι θεαὶ Δημήτηρ καὶ Κόρη, καθότι ἐδήλωσα ἤδη καὶ ἐν τῇ Μεσσηνίᾳ συγγραφῇ· τὴν Κόρην δὲ Σώτειραν καλοῦσιν οἱ Ἀρκάδες. ἐπειργασμένοι δὲ ἐπὶ τύπων πρὸ τῆς ἐσόδου, τῇ μὲν Ἄρτεμις, τῇ δὲ Ἀσκληπιός ἐστι καὶ Ὑγίεια. Θεαὶ δὲ αἱ μεγάλαι Δημήτηρ μὲν λίθου διὰ πάσης, ἡ δὲ Σώτειρα τὰ ἐσθῆτος ἐχόμενα ξύλου πεποίηται· μέγεθος δὲ ἑκατέρας πέντε που καὶ δέκα εἰσὶ πόδες. τὰ ἀγάλματα καὶ πρὸ αὐτῶν κόρας * ἐποίησεν οὐ μεγάλας, ἐν χιτῶσί τε καθήκουσιν ἐς σφυρά, καὶ ἀνθῶν ἀνάπλεων ἑκατέρα τάλαρον ἐπὶ τῇ κεφαλῇ φέρει· εἶναι δὲ θυγατέρες τοῦ Δαμοφῶντος λέγονται· τοῖς δὲ ἐπανάγουσιν ἐς τὸ θειότερον δοκεῖ, σφᾶς Ἀθηνᾶν τε εἶναι καὶ Ἄρτεμιν

Cap. XXXI. Extremae porticus latus alterum, quod ad occasum porrigitur, Magnarum dearum circumseptam aream continet. Sunt vero Magnae deae, sicuti in Messeniorum rebus exposui, Ceres et Proserpina: sed Proserpinam Sotiran *(id est Sospitam)* vocant Arcades. Pro areae aditu signa erecta spectantur, qua Diana, qua Aesculapius, et Salus. Deae ipsae magnae, Ceres e marmore tota est: Sospita, qua veste velatur, e ligno. Utriusque magnitudo quindecim ferme pedum. Praeferunt puellae duae, talaribus amictae tunicis, calathos utraque capite floribus refertos. Damophontis eas aiunt fuisse filias. Sed qui ad coelites signa illa referunt, Minervam et Dianam flores in Pro-

τὰ ἄνθη μετὰ τῆς Περσεφόνης συλλεγούσας. ἔστι δὲ καὶ
Ἡρακλῆς παρὰ τῇ Δήμητρι μέγεθος μάλιστα πῆχυν· τοῦ-
τον τὸν Ἡρακλῆν εἶναι τῶν Ἰδαίων καλουμένων Δακτύ-
λων, Ὀνομάκριτός φησιν ἐν τοῖς ἔπεσι· κεῖται δὲ ἔμπρο-
σθεν. ἐπειργασμέναι τε ἐπ' αὐτῇ δύο τε εἰσιν Ὧραι, καὶ
ἔχων Πὰν σύριγγα, καὶ Ἀπόλλων κιθαρίζων. ἔστι δὲ καὶ
ἐπίγραμμα ἐπ' αὐτοῖς, εἶναι σφᾶς θεῶν τῶν πρώτων.
(2) Πεποίηνται δὲ ἐπὶ τραπέζῃ καὶ Νύμφαι· Νέδα μὲν
Δία φέρουσά ἐστι νήπιον παῖδα, Ἀνθρακία δὲ, νύμφη
τῶν Ἀρκαδικῶν καὶ αὕτη, δᾷδα ἔχουσά ἐστιν, Ἁγνὼ δὲ,
τῇ μὲν ὑδρίαν, ἐν δὲ τῇ ἑτέρᾳ χειρὶ φιάλην· Ἀρχιρόης
δὲ καὶ Μυρτωέσσης εἰσὶν ὑδρίαι τὰ φορήματα, καὶ ὕδωρ
δῆθεν ἀπ' αὐτῶν κάτεισιν. τοῦ περιβόλου δέ ἐστιν ἐν-
τὸς Φιλίου Διὸς ναὸς, Πολυκλείτου μὲν τοῦ Ἀργείου τὸ
ἄγαλμα, Διονύσῳ δὲ ἐμφερές· κόθορνοί τε γὰρ τὰ ὑπο- 665
δήματά ἐστιν αὐτῷ, καὶ ἔχει τῇ χειρὶ ἔκπωμα, τῇ δὲ
ἑτέρᾳ θύρσον, κάθηται δὲ ἀετὸς ἐπὶ τῷ θύρσῳ· καίτοι
γε τοῖς εἰς Διόνυσον λεγομένοις τοῦτο οὐχ ὁμολογοῦν

serpinae comitatu legentes, esse putant. Ante Cereris pedes Hercules collocatus est magnitudine cubitali. Hunc Herculem unum de iis fuisse, qui sunt Idaei Dactyli nuncupati, versibus mandavit Onomacritus. Horae praeterea duae ibidem *affabre* effictae; et Pan fistula, cithara Apollo canens. Indicat inscriptio esse eos e primoribus diis. (2) In mensa Nymphae eminent: Nais *inter eas* infantulum Iovem *gremio* ferens: Anthracia, et ipsa de Arcadicis Nymphis una, facem praefert: Hagno manu altera hydriam, phialam altera: Archiroe et Myrtoëssa, et ipsae hydrias effluente aqua praeferunt. Intra *circumseptum eum* ambitum cella est Iovis *amicitiarum praesidis*, Philium *appellant*. Simulacrum Libero Patri *ornatu* persimile fecit Argivus Polycletus. Nam et ei cothurni pro calceamentis sunt; et altera poculum, thyrsum altera tenet. Thyrso aquila insistit: quod unum cum iis, quae Libero Patri attribuuntur, non satis quadrat.

ἐστι. τούτου δὲ ὄπισθεν τοῦ ναοῦ δένδρων ἐστὶν ἄλσος οὐ μέγα θριγκῷ περιεχόμενον· ἐς μὲν δὴ τὸ ἐντὸς ἔσοδος οὐκ ἔστιν ἀνθρώποις· πρὸ δὲ αὐτοῦ Δήμητρος καὶ Κόρης ὅσον τε ποδῶν τριῶν εἰσιν ἀγάλματα. (3) Ἔστι δὲ ἐντὸς τοῦ περιβόλου τῶν μεγάλων θεῶν καὶ Ἀφροδίτης ἱερόν· πρὸ μὲν δὴ τῆς ἐσόδου ξόανά ἐστιν ἀρχαῖα, Ἥρα καὶ Ἀπόλλων τε καὶ Μοῦσαι· ταῦτα κομισθῆναί φασιν ἐκ Τραπεζοῦντος. ἀγάλματα δὲ ἐν τῷ ναῷ Δαμοφῶν ἐποίησεν, Ἑρμῆν ξύλου καὶ Ἀφροδίτης ξόανον· καὶ ταύτης χεῖρές εἰσι λίθου καὶ πρόσωπόν τε καὶ ἄκροι πόδες. τὴν δὲ ἐπίκλησιν τῇ θεῷ Μαχανῖτιν ὀρθότατα ἔθεντο, ἐμοὶ δοκεῖν, Ἀφροδίτης τε εἵνεκα, καὶ ἔργων τῶν ταύτης· πλεῖσται μὲν γὰρ ἐπιτεχνήσεις, παντοῖα δὲ ἀνθρώποις ἀνευρημένα ἐς λόγους ἐστίν. (4) Ἑστήκασι δὲ καὶ ἀνδριάντες ἐν οἰκήματι, Καλλιγνώτου τε καὶ Μέντα, καὶ Σωσιγένους τε καὶ Πώλου· καταστήσασθαι δὲ οὗτοι Μεγαλοπολίταις λέγονται πρῶτον τῶν μεγάλων θεῶν τὴν τελετήν, καὶ τὰ δρώμενα τῶν ἐν Ἐλευσῖνί ἐστι μιμήματα. κεῖται δὲ ἐντὸς τοῦ περιβόλου θεῶν τοσάδε ἀγάλματα

A postico templi lucus est non utique magnus, maceria circumseptus: intra quem nullus hominibus ingressus patet. Ante eum lucum posita sunt Cereris et Proserpinae, non maiora, pedum trium signa. (3) In septo interiore Magnarum dearum, et Veneris aedes est. In vestibulo, prisci operis ligneae effigies, Iuno, Apollo, Musae. E Trapesunte huc deportatas ferunt. In ipsa aede simulacra, Mercurium e ligno, ac Venerem ligneam, et *ipsa prisci operis*, Damophon fecit. Veneris manus, os, et imi pedes, e lapide sunt. Cognomen deae Machinatrix, ac merito quidem, inditum; quod Veneris causa homines quodvis artium et fraudum genus, tam in factis, quam in dictis excogitarunt. (4) Virorum etiam in cella erectae statuae sunt, Callignoti, Mentae, Sosigenis, et Poli: qui primi Megalopolitanis initia Magnarum dearum ad exemplar Eleusiniorum sacrorum tradidisse dicuntur. Intra ambitum haec posita sunt aliorum

ἄλλων, τὸ τετράγωνον παρεχόμενα σχῆμα, Ἑρμῆς τε ἐπί-
κλησιν Ἀγήτωρ, καὶ Ἀπόλλων, καὶ Ἀθηνᾶ τε καὶ Πο-
σειδῶν· ἔτι δὲ Ἥλιος ἐπωνυμίαν ἔχων Σωτήρ τε εἶναι καὶ
Ἡρακλῆς. Ὠικοδόμηται δὲ καὶ σφίσιν ἱερὸν μεγέθει μέγα,
καὶ ἄγουσιν ἐνταῦθα τὴν τελετὴν ταῖς θεαῖς. (5) Τοῦ
ναοῦ δὲ τῶν μεγάλων θεῶν ἐστιν ἱερὸν ἐν δεξιᾷ καὶ Κό-
ρης· λίθου δὲ τὸ ἄγαλμα ποδῶν ὀκτὼ μάλιστα· ταινίαι δὲ
ἐπέχουσι διαπαντὸς τὸ βάθρον. ἐς τοῦτο τὸ ἱερὸν γυναιξὶ
τὸν πάντα ἐστὶν ἔσοδος χρόνον; οἱ δὲ ἄνδρες οὐ πλέον ἢ 666
ἅπαξ κατὰ ἔτος ἕκαστον ἐς αὐτὸ ἐσίασι. (6) Γυμνάσιον
δὲ τῇ ἀγορᾷ συνεχὲς κατὰ ἡλίου δυσμάς ἐστιν ᾠκοδομημέ-
νον. τῆς στοᾶς δὲ, ἣν ἀπὸ τοῦ Μακεδόνος Φιλίππου κα-
λοῦσι, ταύτης εἰσὶ δύο ὄπισθεν λόφοι, οὐκ ἐς ὕψος ἀνή-
κοντες· ἐρείπια δὲ Ἀθηνᾶς ἱεροῦ Πολιάδος ἐπὶ αὐτῷ,
καὶ τῷ ἑτέρῳ ναός ἐστιν Ἥρας Τελείας, ὁμοίως καὶ ταῦτα
ἐρείπια. ὑπὸ τούτῳ τῷ λόφῳ Βάθυλλος καλουμένη πηγή·
συντελεῖ καὶ αὕτη τῷ ποταμῷ Ἑλισσόντι ἐς μέγεθος. το-
σάδε ἐνταῦθα ἀξιόχρεα ἦν.

deorum signa, quadrangula forma: Mercurius cognomento *Dux*, Agetorem *nuncupant:* Apollo, Minerva, Neptunus: Sol praeterea cognomine Servator: et cum his Hercules. Templum insigni sane magnitudine erexere, in quo Dearum magnarum initia peragunt. (5) Ad eius templi dexteram fanum est Cereris et Proserpinae; signa marmorea sunt pedum octo magnitudine: basin undique incingunt taeniae. Huc foeminis quovis tempore aditus patet, viris quotannis duntaxat semel. (6) Continenter solem occidentem versus foro gymnasium adhaeret. A tergo vero porticus eius, quam Philippi vocant, tumuli duo, non valde quidem editi, consurgunt: in altero Minervae Poliadis rudera; Iunonis in altero est Teleae *(id est, Adultae)* aedes, cuius nihil praeter ruinas reliquum est. Sub hoc eodem colle fons est Bathyllus, et ipse aquas ad Helissontis auctus conferens. Haec sunt ibi, quorum sit ratio aliqua habenda.

CAPUT XXXII.

Memoranda alterius urbis Megalopolis partis, theatrum in Graecia maximum, curia Thersilium dicta et Ammonis signum cornutum — Martis ara et stadium — templum Dianae Agroterae, et deorum, qui Ergatae dicuntur, signa quadrangula forma — ossa Gigantis.

Ἡ δὲ ἐπέκεινα τοῦ ποταμοῦ μοῖρα ἡ κατὰ μεσημβρίαν παρείχετο ἐς μνήμην θέατρον μέγιστον τῶν ἐν τῇ Ἑλλάδι· ἐν δὲ αὐτῷ καὶ ἀένναός ἐστιν ὕδατος πηγή. τοῦ θεάτρου δὲ οὐ πόῤῥω λείπεται τοῦ βουλευτηρίου θεμέλια, ὃ τοῖς Μυρίοις ἐπεποίητο Ἀρκάδων· ἐκαλεῖτο δὲ ἀπὸ τοῦ ἀναθέντος Θερσίλιον· πλησίον δὲ οἰκία, ἰδιώτου κατ' ἐμὲ κτῆμα ἀνδρὸς, ὃ Ἀλεξάνδρῳ τῷ Φιλίππου τὸ ἐξ ἀρχῆς ἐποίησαν. Ἔστι δὲ ἄγαλμα Ἄμμωνος πρὸς τῇ οἰκίᾳ, τοῖς τετραγώνοις Ἑρμαῖς εἰκασμένον, κέρατα ἐπὶ τῆς κεφαλῆς ἔχον κριοῦ. τὸ δὲ τῶν Μουσῶν Ἀπόλλωνός τε ἱερὸν καὶ Ἑρμοῦ κατασκευασθὲν σφισιν ἐν κοινῷ· παρείχετο δὲ ἐς μνήμην θεμέλια οὐ πολλά· ἦν δὲ τῶν Μουσῶν μία· ἔστι καὶ Ἀπόλλωνος ἄγαλμα κατὰ τοὺς Ἑρμᾶς τοὺς

Cap. XXXII. Iam vero urbis pars ea, quae in ulteriore amnis ripa, ad meridiem conversa est, theatrum habet ad memoriam insigne, et eorum omnium, quae in Graecia sunt, maximum; in quo aquae perennis fons. Non longe a theatro curiae fundamenta reliqua sunt: ea curia infinitae prope Arcadum multitudini fuerat destinata. Nomen ei a conditore, Thersilia. Proxima domus, aetate mea privati hominis praedium, Alexandro olim Philippi filio publice exaedificata. Ante eam domum situm est signum Ammonis, eadem qua Hermae quadrati figura: arietis cornua capite praefert. Fani vero eius, quod Musis, Apollini, et Mercurio commune dicarunt, sola supersunt fundamenta, neque ea multis in locis. De Musis una reliqua est. Apollinis etiam effigies eodem est, quo quadrati Hermae, opificio

τετραγώνοις τέχνην. ἐρείπια δὲ καὶ τῆς Ἀφροδίτης ἦν τὸ ἱερόν, πλὴν ὅσον πρόναός τε ἐλείπετο ἔτι καὶ ἀγάλματα ἀριθμὸν τρία, ἐπίκλησιν δὲ οὐρανία, τῇ δ' ἐστι πάνδημος, τῇ τρίτῃ δὲ οὐδὲν ἐτίθεντο. (2) Ἀπέχει δὲ οὐ πολὺ Ἄρεως βωμός· ἐλέγετο δὲ ὡς καὶ ἱερὸν ἐξ ἀρχῆς ᾠκοδομήθη τῷ θεῷ. πεποίηται δὲ καὶ στάδιον ὑπὲρ τῆς Ἀφροδίτης, τῇ μὲν ἐπὶ τὸ θέατρον καθῆκον· καὶ κρήνη σφίσιν ἐστὶν αὐτόθι, ἣν ἱερὰν Διονύσου νομίζουσι· κατὰ 667
δὲ τὸ ἕτερον τοῦ σταδίου πέρας Διονύσου ναὸς ἐλέγετο ὑπὸ τοῦ θεοῦ κεραυνωθῆναι γενεαῖς δύο ἐμοῦ πρότερον· καὶ ἐρείπια οὐ πολλὰ ἔτι ἐς ἐμὲ ἦν αὐτοῦ. Ἡρακλέους δὲ κοινὸς καὶ Ἑρμοῦ πρὸς τῷ σταδίῳ ναὸς μὲν οὐκ ἔτι ἦν, μόνος δέ σφισι βωμὸς ἐλείπετο. (3) Ἔστι δ' ἐν τῇ μοίρᾳ ταύτῃ λόφος πρὸς ἀνίσχοντα ἥλιον, καὶ Ἀγροτέρας ἐν αὐτῷ ναὸς Ἀρτέμιδος, ἀνάθημα Ἀριστοδήμου καὶ τοῦτο. τῆς δὲ Ἀγροτέρας ἐστὶν ἐν δεξιᾷ τέμενος· ἐνταῦθα ἔστι μὲν ἱερὸν Ἀσκληπιοῦ καὶ ἀγάλματα, αὐτός τε καὶ Ὑγίεια· εἰσὶ δὲ ὑποκαταβάντι ὀλίγον θεοὶ (παρέχονται

elaborata. Veneris etiam aedes aliud nihil est, quam ruinosae reliquae: antica duntaxat templi pars manet, et *in ea deae* simulacra tria: unum Coelestem Venerem, alterum popularem cognominant: tertium sine *proprio* colunt nomine. (2) Non longe hinc abest Martis ara: erectam tradunt iam tum ab initio. Supra Veneris, stadium exstructum est, quod uno latere ad theatrum pertingit. Fons illic, quem Libero Patri sacrum censent. In altera vero stadii extremitate Liberi aedes; quam tactam de coelo fuisse duabus ante nos aetatibus memorant: non multa sane eius vestigia nunc inter ruinas apparent. Herculis vero et Mercurii commune ante stadium templum non amplius extat: sola eis ara reliqua est. (3) In hac *eadem urbis* parte collis ad orientem solem expositus consurgit. In eo Dianae est Agroterae (*id est Agrestis, sive Venatricis*) aedes, ab Aristodemo ipsa etiam dedicata. Ad Agroterae dexteram sacra est area, ubi Aesculapii templum: signa in eo dei

δὲ καὶ οὗτοι σχῆμα τετράγωνον, Ἐργάται δὲ ἔστιν αὐτοῖς ἐπίκλησις) Ἀθηνᾶ τε Ἐργάνη, καὶ Ἀπόλλων Ἀγυιεύς· τῷ δὲ Ἑρμῇ καὶ Ἡρακλεῖ καὶ Εἰλειθυίᾳ πρόσεστιν ἐξ ἐπῶν τοῦ Ὁμήρου φήμη, τῷ μὲν, Διός τε αὐτὸν διάκονον εἶναι, καὶ ὑπὸ τὸν ᾅδην ἄγειν τῶν ἀπογιγνομένων τὰς ψυχάς· Ἡρακλεῖ δὲ, ὡς πολλούς τε καὶ χαλεποὺς τελέσειεν ἄθλους· Εἰλειθυίᾳ δὲ ἐποίησεν ἐν Ἰλιάδι ὠδῖνας γυναικῶν μέλειν. ἔστι δὲ καὶ ἄλλο ὑπὸ τὸν λόφον τοῦτον Ἀσκληπιοῦ Παιδὸς ἱερόν· τούτου μὲν δὴ τὸ ἄγαλμα ὀρθὸν πεποίηται πηχυαῖον μάλιστα· Ἀπόλλωνος δὲ ἐν θρόνῳ κάθηται ποδῶν ἓξ οὐκ ἀποδέον μέγεθος. (4) Ἀνάκειται δὲ αὐτόθι καὶ ὀστᾶ ὑπερήκοντα, ἢ ὡς ἀνθρώπου δοκεῖν· καὶ δὴ καὶ ἐλέγετο ἐπ᾽ αὐτοῖς, εἶναι τῶν Γιγάντων ἑνός, οὓς ἐς τὴν συμμαχίαν τῆς Ῥέας ἤθροισεν Ὁπλάδαμος, ἃ δὴ καὶ ἐς ὕστερον ἐπέξεισιν ἡμῖν ὁ λόγος. τούτου δέ ἐστι πηγὴ τοῦ ἱεροῦ πλησίον, καὶ ἀπ᾽ αὐτῆς ὁ Ἑλισσὼν τὸ ὕδωρ δέχεται κατερχόμενον.

ipsius, et Bonae valetudinis. Pauxillum descendentibus dii se ostendunt e quadratis lapidibus, Ergatae (*id est Operarii*) cognomento: Minerva *inter eos* Ergane, et Agyieus (*quasi Compitalicium dicas*) Apollo. Mercurio, Herculi, et Lucinae sua sunt ex Homeri versibus attributa munera. Mercurius enim a Iove mandata perfert; idemque animos eorum, qui e vita excesserunt, ad inferos deducit: Hercules multis et gravibus aerumnis est exercitus: Lucina (uti Iliados carmina testantur) mulierum partus levat. Est ad imum collem aliud Pueri Aesculapii templum; cuius recto statu signum nihilo est cubitali maius. Apollinis sedentis in solio forma est magnitudine pedum sex, ac nihilo omnino breviore. (4) Eo ipso in loco ossa spectantur, maiora multo, quam ut humana existimari possint. Esse vero ea dictitant eorum Gigantum unius, quos in auxilium Rheae Hoplodamus advocavit: qua de re suus erit in sequenti historia sermo. Huic templo fons proximus; ex quo manantem aquam excipit Helisson.

CAPUT XXXIII.

De Megalopoli diruta aliisque nobilibus urbibus fortunae arbitrio eversis — insula Chryse fluctibus hausta et insula Hiera.

Εἰ δὲ ἡ Μεγάλη πόλις προθυμίᾳ τε τῇ πάσῃ συνοικισθεῖσα ὑπὸ Ἀρκάδων, καὶ ἐπὶ μεγίσταις τῶν Ἑλλήνων ἐλπίσιν ἐς αὐτὴν, κόσμον τὸν ἅπαντα καὶ εὐδαιμονίαν τὴν ἀρχαίαν ἀφῄρηται, καὶ πολλά ἐστιν αὐτῆς ἐρείπια ἐφ' ἡμῶν· θαῦμα οὐδὲν ἐποιησάμην, εἰδὼς τὸ δαιμόνιον νεώτερα ἀεί τινα ἐθέλον ἐργάζεσθαι, καὶ ὁμοίως τὰ πάντα τά τε ἐχυρὰ, καὶ τὰ ἀσθενῆ, καὶ τὰ γινόμενά τε καὶ 668
ὁπόσα ἀπόλλυται, μεταβάλλουσαν τὴν τύχην, καὶ ὅπως ἂν αὐτῇ παρίστηται, μετὰ ἰσχυρᾶς ἀνάγκης ἄγουσαν. Μυκῆναι μέν γε τοῦ πρὸς Ἰλίῳ πολέμου τοῖς Ἕλλησιν ἡγησαμένη, καὶ Νῖνος, ἔνθα ἦν Ἀσσυρίοις βασίλεια, καὶ Βοιώτιαι Θῆβαι προστῆναι τοῦ Ἑλληνικοῦ ποτε ἀξιωθεῖσαι, αἱ μὲν ἠρήμωνται πανώλεθροι, τὸ δὲ ὄνομα τῶν Θηβῶν ἐς ἀκρόπολιν μόνην καὶ οἰκήτορας καταβέβηκεν οὐ πολλούς. τὰ δὲ ὑπερηρκότα πλούτῳ τὸ ἀρχαῖον, Θη-

Cap. XXXIII. Megalopolis quidem ipsa, magna alacritate et conspiratione Arcadum, omnia sibi ad spem optimam de nova urbe proponentium, condita, *veteribus* iam omnibus ornamentis ac pristinis opibus amissis, magna iam ex parte inter ruinas et rudera iacet. Quae res nullam mihi omnino admirationem affert, quum sciam novi semper aliquid fata moliri, et arbitratu suo Fortunam aeque valida atque imbecilla, neque minus orientia, quam iam occidentia, impotenti quadam necessitatis vi agere ac ferre. Nam et Mycenae, quae urbs Troicis temporibus Graeciae *cunctae* imperabat, et regia Assyriorum Ninus, funditus deletae sunt. In Boeotia vero Thebae, quae sibi olim Graeciae principatum vindicabant, ad arcem iam unam, et non ita multos incolas redactae, vetus nomen vixdum servant. Iam vero quae *cunctas* olim *urbes* opum magnitudine ante-

βαί τε αἱ Αἰγύπτιοι καὶ ὁ Μινύης Ὀρχομενὸς, καὶ ἡ Δῆλος, τὸ κοινὸν Ἑλλήνων ἐμπόριον, αἱ μὲν ἀνδρὸς ἰδιώτου μέσου δυνάμει χρημάτων καταδέουσιν ἐς εὐδαιμονίαν, ἡ Δῆλος δὲ, ἀφελόντι τοὺς ἀφικνουμένους παρ' Ἀθηναίων ἐς τοῦ ἱεροῦ τὴν φρουρὰν, Δηλίων γε ἕνεκα ἔρημός ἐστιν ἀνθρώπων. Βαβυλῶνος δὲ τοῦ μὲν Βήλου τὸ ἱερὸν λείπεται· Βαβυλῶνος δὲ ταύτης, ἥντινα εἶδε πόλεων τῶν τότε μεγίστην ἥλιος, οὐδὲν ἔτι ἦν εἰ μὴ τεῖχος, καθὰ καὶ Τίρυνθος τῆς ἐν τῇ Ἀργολίδι. ταῦτα μὲν ἐποίησεν ὁ δαίμων εἶναι τὸ μηδέν. Ἡ δὲ Ἀλεξάνδρου πόλις ἐν Αἰγύπτῳ καὶ ἡ Σελεύκου παρὰ τῷ Ὀρόντῃ, χθές τε ᾠκισμέναι καὶ πρώην, ἐς τοσοῦτο ἐπιδεδώκασι μεγέθους καὶ εὐδαιμονίας, ὅτι σφᾶς ἡ τύχη δεξιοῦται. (2) Ἐπιδείκνυται δὲ καὶ ἐν τῷδε ἔτι τὴν ἰσχὺν μείζονα καὶ θαύματος πλείονος ἢ κατὰ συμφορὰς καὶ εὐπραγίας πόλεων· Λήμνου γὰρ πλοῦν ἀπεῖχεν οὐ πολὺν Χρύση νῆσος, ἐν ᾗ καὶ τῷ Φιλοκτήτῃ γενέσθαι συμφορὰν ἐκ

cellebant, Aegyptiae Thebae, et Minyarum Orchomenus, ne mediocres quidem nunc privati hominis fortunas adaequant. Delos commune olim Graecorum conciliabulum, tantopere iam deserta est, ut praesidio templi amoto, quod Athenienses mittunt, hominibus, si Delios tantum numeres, prorsus orbata sit. Babylone reliquum est Beli templum: de Babylone autem ipsa, qua sol tunc maiorem urbem non vidit, nihil iam superest praeter moenia: quod ipsum de Tirynthe Argolica urbe evenit. Haec inquam ad nihilum Fortuna redegit. At ea, quae ab Alexandro in Aegypto, et ad Orontem amnem a Seleuco nuper, atque adeo heri aut nudiustertius conditae fuerunt, eo felicitatis et magnitudinis progressae sunt, ut eas in conplexum prope suum Fortuna recepisse videatur. (2) Quin etiam hac in re multo magis et mirificentius quam in urbium vel secundis vel adversis casibus vires suas ostendit. Chryse enim insula fuit, in quam e Lemno modicus erat navigationis cursus. Ibi olim Philoctetes a serpentis ictu graviter dicitur

τοῦ ὕδρου φασί· ταύτην κατέλαβεν ὁ κλύδων πᾶσαν, καὶ κατέδυ τε ἡ Χρύση καὶ ἠφάνισται κατὰ τοῦ βυθοῦ. 669 *νῆσον δὲ ἄλλην, καλουμένην Ἱερὰν, ἀνέδωκεν, ἣ τόνδε οὐκ ἦν χρόνον· οὕτω μὲν τὰ ἀνθρώπινα πρόσκαιρά τε καὶ οὐδαμῶς ἐστιν ἐχυρά.*

CAPUT XXXIV.

Memoranda in via a Megalopoli Messeniam versus, templum dearum Maniarum — Dactyli monumentum, locus Ace dictus, et de Orestis insania narratio — via ex Mantinensi agro ad Alpheum, Nymphas, Hermaeum.

Ἐκ δὲ Μεγάλης πόλεως ἰόντι ἐς Μεσσηνίαν, καὶ σταδίους μάλιστα προελθόντι ἑπτὰ, ἔστιν ἐν ἀριστερᾷ τῆς λεωφόρου θεῶν ἱερόν· καλοῦσι δὲ καὶ αὐτὰς τὰς θεὰς, καὶ τὴν χώραν τὴν περὶ τὸ ἱερὸν, Μανίας· δοκεῖ δέ μοι, θεῶν τῶν Εὐμενίδων ἐστὶν ἐπίκλησις, καὶ Ὀρέστην ἐπὶ τῷ φόνῳ τῆς μητρός φασιν αὐτόθι μανῆναι. (2) *Οὐ πόῤῥω δὲ τοῦ ἱεροῦ γῆς χῶμά ἐστιν οὐ μέγα, ἐπίθημα ἔχον λίθου πεποιημένον δάκτυλον, καὶ δὴ καὶ ὄνομα τῷ χώματί ἐστι Δακτύλου μνῆμα· ἐνταῦθα ἔκφρονα Ὀρέστην*

laborasse. Eam insulam aestus alluvies ad ima maris depressam abolevit. Alia vero, cui nunc Hiera nomen, tunc emersit, quum ante nulla omnino fuisset eo in loco insula. Caducae nimirum et fluxae res humanae sunt; neque est quicquam stabile perpetuo et firmum.

Cap. XXXIV. Distat a Megalopoli Messeniam versus stadia haud amplius VII, ad laevam viae militaris, dearum fanum, quas, et circumiacentem fano agrum, Manias vocant: est (quantum coniectura assequor) Furiarum appellatio. Eoque in loco ob matris caedem insanisse Orestem tradunt. (2) Non longe ab eo fano terrae agger surgit non utique magnus, e lapide excisum digitum insigne praetendens: unde et illi tumulo Digiti monumentum nomen est. Ibi furentem Orestem tradunt alterius manus di-

γενόμενον λέγουσιν ἕνα τῆς ἑτέρας τῶν χειρῶν ἀποφα-
γεῖν δάκτυλον. τούτῳ δὲ ἐστιν ἕτερον συνεχὲς χωρίον
Ἄκη καλούμενον, ὅτι ἐγένετο ἐν αὐτῷ τῆς νόσου τῷ
Ὀρέστῃ τὰ ἰάματα· πεποίηται δὲ Εὐμενίσι καὶ αὐτόθι
ἱερόν. ταύτας τὰς θεὰς, ἡνίκα τὸν Ὀρέστην ἔκφρονα
ἔμελλον ποιήσειν, φασὶν αὐτῷ φανῆναι μελαίνας· ὡς δὲ
ἀπέφαγε τὸν δάκτυλον, τὰς δὲ αὖθις δοκεῖν οἱ λευκὰς
εἶναι, καὶ αὐτὸν σωφρονῆσαί τε ἐπὶ τῇ θέᾳ, καὶ οὕτω
ταῖς μὲν ἐνήγισεν ἀποτρέπων τὸ μήνιμα αὐτῶν, ταῖς δὲ
ἔθυσε ταῖς λευκαῖς· ὁμοῦ δὲ αὐταῖς καὶ Χάρισι θύειν
νομίζουσι. πρὸς δὲ τῷ χωρίῳ τοῖς Ἄκεσιν ἕτερόν ἐστιν
ὀνομαζόμενον Ἱερὸν, ὅτι Ὀρέστης ἐνταῦθα ἐκείρατο τὴν
κόμην, ἐπειδὴ ἐντὸς ἐγένετο αὑτοῦ. Πελοποννησίων δὲ
οἱ τὰ ἀρχαῖα μνημονεύοντες, πρότερα τῷ Ὀρέστῃ τὰ ἐν
Ἀρκαδίᾳ γενέσθαι φασὶν ὑπὸ Ἐριννύων τῶν Κλυταιμνή-
στρας, ἢ ἐν Ἀρείῳ πάγῳ τὴν κρίσιν, καὶ αὐτῷ κατήγο-
670 ρον ἀντὶ Τυνδάρεω (περιεῖναι γὰρ οὐκέτι ἐκεῖνον) Πε-
ρίλαον δὲ ἐπιστῆναι, δίκην ἐπὶ τῷ αἵματι τῆς μητρὸς
αἰτοῦντα, ἅτε ἀνεψιὸν τῆς Κλυταιμνήστρας· Ἰκαρίου γὰρ

gitum *alterum* abrosisse. Huic contiguus est alius locus, Ace nomine, quod ad eum insaniae medelam Orestes nactus fuerit: et illic est alterum Furiarum templum. Has deas Oresti, quum primum est mente captus, nigras obvias factas memorant: easdem quum digitum abedisset, albas apparuisse, et earum aspectu statim illum ad se redisse: atque ita illis quidem inferias misit ad avertendas earum iras: albis autem mactavit hostiam. Cum iis etiam Gratiis sacrificare solemne habent. Prope Ace, est templum aliud: Tonstrinam appellant, quod huc ingressus comam Orestes totonderit. E Peloponnesiis, qui priscas res memoriae produnt, Oresti haec in Arcadia a furiis matris caede persequentibus accidisse affirmant, priusquam de eius facto in Areopago iudicium fieret. Accusatorem quidem non fuisse Tyndareum, quod e vita iam excessisset: sed a Perilao Clytaemnestrae patruele de matris caede accusatum.

παῖδα εἶναι Περίλαον, γενέσθαι δὲ ὕστερον καὶ θυγατέρας τῷ Ἰκαρίῳ. (3) Ἐκ Μαντινεῶν δὲ ὁδὸς ἐπὶ τὸν Ἀλφειόν, ὁπόσον πέντε σταδίων καὶ δέκα· κατὰ τοῦτο Γαθεάτας ποταμὸς ἐκδίδωσιν ἐς τὸν Ἀλφειόν· ἐς δὲ τὸν Γαθεάταν πρότερον ἔτι κάτεισιν ὁ Καρνίων· τούτῳ μὲν δὴ αἱ πηγαὶ γῆς εἰσι τῆς Αἰγύτιδος ὑπὸ τοῦ Ἀπόλλωνος τοῦ Κερεάτα τὸ ἱερόν, τῷ Γαθεάτᾳ δὲ τῆς Κρωμίτιδος χώρας ἐν Γαθέαις. ἡ δὲ Κρωμῖτις ἀνώτερον τοῦ Ἀλφειοῦ σταδίοις ὡς τεσσαράκοντά ἐστι, καὶ ἐν αὐτῇ πόλεως Κρώμων παντάπασι τὰ ἐρείπια ἦν ἐξίτηλα. Ἐκ δὲ Κρώμων εἴκοσι στάδιά ἐστιν ἐπὶ Νυμφάδα· καταῤῥεῖται δὲ ὕδατι, καὶ δένδρων ἀνάπλεώς ἐστιν ἡ Νυμφάς. Καὶ ἀπ' αὐτῆς στάδια εἴκοσί ἐστιν ἐπὶ τὸ Ἑρμαῖον, ἐς ὃ Μεσσηνίοις καὶ Μεγαλοπολίταις εἰσὶν ὅροι· πεποίηται δὲ αὐτόθι καὶ Ἑρμῆς ἐπὶ στήλῃ.

Fuit vero Perilaus Icarii filius, quum filias etiam post eum Icarius genuisset. (3) A Mantineatibus ad Alpheum via XV ferme stadium ducit: qua parte Gatheatas amnis, assumto prius Carnione, in Alpheum influit. Et huius quidem fontes in Aepytide terra sunt, infra Cereatae Apollinis templum: Gatheatae vero, in *vico* Gatheis agri Cromitis, stadiis ferme XL supra Alpheum: et ibi Cromonis urbis iam prope abolita vestigia: unde ad Nymphada *vicum* stadium circiter XX intervallum. Est Nymphas *valde* irrigua, et arboribus condensa. Intersunt ab ea ad Hermaeum *(quod est Mercurio sacrum)* stadia prope XX: quo in loco terminus est inter Messenios et Megalopolitanos; et Mercurius e pila eminens.

CAPUT XXXV.

Via a Megalopoli Carnasium versus oppidum Messen. — Hermaeum et termini Megalopolit. et Messen. ibique signa deorum posita — via a Megalopoli Lacedaemonem versus — de Belemina — viae a Megalopoli in interiorem Arcadiam, Scias vicus — Tricolonorum, Zoetiae aliarumque urbium reliquiae — Callistus sepulcrum et templum Dianae Callistae — campus Schoenus, et Atalantae curricula.

Αὕτη μὲν ἐπὶ Μεσσήνην, ἑτέρα δὲ ἐκ Μεγάλης πόλεως ἐπὶ Καρνάσιον ἄγει τὸ Μεσσηνίων· καὶ ταύτῃ πρῶτα μέν σε ὁ Ἀλφειὸς ἐκδέξεται, καθότι καὶ Μαλλοῦς καὶ ὁ Σύρος ἐς αὐτὸν κατέρχονται προσανακοινωσάμενοι τὸ ῥεῦμα. αὐτόθεν δὲ ἔχων τὸν Μαλλοῦντα ἐν δεξιᾷ, μετὰ σταδίους ὡς τριάκοντα μεταβήσῃ τε αὐτὸν, καὶ ἀναβήσῃ δι' ὁδοῦ προσαντεστέρας ἐς χωρίον καλούμενον Φαιδρίαν. (2) Φαιδρίου δὲ ὡς πέντε ἀπέχει καὶ δέκα σταδίους κατὰ Δεσποίνης ὀνομαζόμενον Ἑρμαῖον· ὅροι πρὸς Μεγαλοπολίτας Μεσσηνίων καὶ οὗτοι, καὶ ἀγάλματα οὐ μεγάλα Δεσποίνης τε καὶ Δήμητρος· ἔστι δὲ καὶ Ἑρμοῦ, πεποίηται δὲ καὶ Ἡρακλέους· δοκεῖν δέ μοι καὶ τὸ ὑπὸ Δαιδάλου ποιηθὲν τῷ Ἡρακλεῖ ξόανον ἐν μεθορίῳ τῆς

Cap. XXXV. Atque haec quidem *via* Messenen; altera Carnasium, *quod* Messeniorum *oppidum est*, ducit. Ea progressos Alpheus excipiet, eo potissimum loco, quo aquis communicatis Mallus et Syrus ei immiscentur. Inde, Mallunte ad dexteram labente, *secundum laevam eius ripam*, ubi XXX circiter stadiis confectis fluvium traieceris, per accliviorem sui extrema parte tramitem, ad vicum, quem Phaedrian nuncupant, pervenias. (2) Abest a Phaedria stadia XV, prope Dominae aedem, *vicus Mercurio sacer*, quod Hermaeum dicitur. Sunt hi etiam inter Messenios et Megalopolitanos termini: et *eodem in loco* non magna utique signa Dominae ipsius, et Cereris; Mercurii etiam, Herculis praeterea. Quin etiam quod Daedalus Herculi e ligno

Μεσσηνίας καὶ Ἀρκάδων, ἐνταῦθα εἱστήκει. (3) Ἡ δὲ εἰς Λακεδαίμονα ἐκ Μεγάλης πόλεως ὁδὸς, ἐπὶ μὲν τὸν Ἀλφειὸν, στάδιοι τριάκοντά εἰσιν· ἀπὸ δὲ τοῦδε παρὰ ποταμὸν ὁδεύσας Θειοῦντα, (κάτεισι δὲ καὶ ὁ Θειοῦς οὗτος ἐς τὸν Ἀλφειὸν) ἀπολιπὼν οὖν τὸν Θειοῦντα ἐν ἀριστερᾷ, σταδίους ἀπὸ τοῦ Ἀλφειοῦ τεσσαράκοντα ἥξεις μάλιστα ἐς Φαλαισίας· ἀπέχουσι δὲ αἱ Φαλαισίαι σταδίους 671
εἴκοσι τοῦ Ἑρμαίου τοῦ κατὰ Βελεμίναν. (4) Λέγουσι μὲν δὴ οἱ Ἀρκάδες, τὴν Βελεμίναν τῆς σφετέρας οὖσαν τὸ ἀρχαῖον ἀποτεμέσθαι Λακεδαιμονίους· λέγειν δὲ οὐκ εἰκότα ἐφαίνοντό μοι, καὶ ἄλλων εἵνεκα, καὶ μάλιστα, ὅτι μοι δοκοῦσι Θηβαῖοι μηδὲ τοῦτο ἠλασσωμένους περιϊδεῖν τοὺς Ἀρκάδας, εἴ σφισιν ἔσεσθαι σὺν τῷ δικαίῳ τὸ ἐπανόρθωμα ἔμελλεν. (5) Εἰσὶ δὲ ἐκ Μεγάλης πόλεως καὶ ἐς τὰ χωρία ὁδοὶ τὰ ἐντὸς Ἀρκαδίας, εἰς Μεθύδριον ἑβδομήκοντα στάδιοι καὶ ἑκατόν. τρισὶ δὲ ἀπὸ Μεγάλης πόλεως ἀπωτέρω σταδίοις καὶ δέκα Σκιάς τε καλούμενον χωρίον, καὶ Ἀρτέμιδος Σκιάτιδος ἐρείπια

simulacrum fecit in Messeniae et Arcadum confinio, hic olim stetisse coniicio. (3) Viae, quae Megalopoli Lacedaemonem ducit, triginta sunt ad Alpheum stadia. Inde iuxta Thiuntem fluvium iter est: hic etiam Thius in Alpheum influit. Relicto ad laevam Thiunte, confectis XL circiter ab Alpheo stadiis, ad Phalaesias accedas. Absunt Phalaesiae stadia XX a Mercurii templo, quod ad Beleminam est. (4) Narrant Arcades Beleminam olim ad suos fines pertinentem, a Lacedaemoniis abscissam. Sed enim non satis rationi consentanea dicere mihi videntur. Neque enim fuisset hac in parte Arcadum causa a Thebanis neglecta, si iure vindicari eum agrum posse arbitrati essent. (5) Megalopoli ad castella aliquot, quae intra Arcadiae fines sunt; *ac primum quidem* ad Methydrium via est stadiorum C et LXX. Tredecim a Megalopoli stadiis longius abest vicus, qui Scias dicitur; ubi templi eius, quod Sciatidis Dianae

ἐστιν ἱεροῦ· ποιῆσαι δὲ αὐτὸ ἐλέγετο Ἀριστόδημος ὁ τυραννήσας. ἐντεῦθεν μετὰ σταδίους ὡς δέκα πόλεως Χαρισιῶν ὑπομνήματά ἐστιν οὐ πολλά· σταδίων δὲ ἄλλων δέκα ἐστὶν ἀπὸ Χαρισιῶν ἐς Τρικολώνους ὁδός. (6) Πόλις δὲ ἦσαν καὶ οἱ Τρικόλωνοί ποτε· μένει δὲ αὐτόθι καὶ ἐς ἡμᾶς ἔτι ἐπὶ λόφου Ποσειδῶνος ἱερὸν, καὶ ἄγαλμα τετράγωνον, καὶ δένδρων περὶ τὸ ἱερόν ἐστιν ἄλσος· ταύτας μὲν δὴ οἱ Λυκάονος παῖδες ἐγένοντο οἰκισταί. Ζοιτίαν δὲ ἀπωτέρω μὲν Τρικολώνων πέντε που καὶ δέκα σταδίοις, κειμένην δὲ οὐ κατ' εὐθὺ, ἀλλ' ἐκ Τρικολώνων ἐς ἀριστερὰν, Ζοιτέα οἰκίσαι τὸν Τρικολώνου λέγουσι. Παρωρεὺς δὲ ὁ νεώτερος Τρικολώνου τῶν παίδων, Παρωρίαν καὶ οὗτος ἔκτισεν, ἀπέχουσαν Ζοιτίας σταδίους δέκα· ἔρημοι δὲ καὶ ἐς ἐμὲ ἦσαν ἀμφότεραι. μένει δὲ ἐν Ζοιτίᾳ Δήμητρος ναὸς καὶ Ἀρτέμιδος, οἳ καὶ ἐς ἐμὲ ἦσαν. ἐρείπια δὲ πόλεων καὶ ἄλλα· Θυραίου μὲν σταδίοις πέντε ἀπωτέρω Παρωρίας καὶ δέκα· τὰ δὲ Ὑψοῦντός ἐστιν ἐν ὄρει κειμένῳ μὲν ὑπὲρ τοῦ πεδίου,

fuit, reliquiae: condidisse dicitur Aristodemus, dum *in Arcadibus* dominaretur. Abhinc X ferme stadiis Charisiorum (urbs ea *quondam* fuit) vestigia *nunc* ostenduntur, et ea quidem non ita multa. inde ad Tricolonos totidem stadium via est. (6) Fuerunt olim et ipsi Tricoloni urbs. Mansit ibi ad haec usque tempora in colle Neptuni templum, cum quadrato signo. Lucus templum ambit *multis opacus* arboribus. Eam *urbem* Lycaonis filii condiderunt. Zoetiam vero a Tricolonis XV plus minus stadiis distantem, non recto sane itinere, sed ad laevam divertentibus, Zoeteum Tricoloni filium coloniam deduxisse tradunt. At Parereus Tricoloni *et ipse* minor natu filius, Parorian excitavit, a Zoetia non longius stadia X. Deserta aetate mea utraque est. Extant hac aetate Zoetiae, Cereris et Dianae delubra. Alia etiam urbium ruinosa visuntur monumenta: Thyraei a Paroria intervallo stadium XV: Hypsuntis in monte; supra planitiem. Monti idem quod oppido nomen. Media inter

καλουμένῳ δὲ Ὑψοῦντι· ἡ δὲ Θυραίου τε καὶ Ὑψοῦντος
μεταξὺ ὀρεινὴ πᾶσά ἐστι καὶ θηριώδης· Λυκάονος δὲ
εἶναι Θυραῖόν τε καὶ Ὑψοῦντα, προεδήλωσεν ἡμῖν ὁ λό-
γος. (7) Τρικολώνων δέ ἐστιν ἐν δεξιᾷ πρῶτα μὲν ἀνάν-
της ὁδὸς ἐπὶ πηγὴν καλουμένην Κρουνούς· σταδίους δὲ
ὡς τριάκοντα καταβάντι ἐκ Κρουνῶν, τάφος ἐστὶ Καλλι-
στοῦς, χῶμα γῆς ὑψηλὸν, δένδρα ἔχον πολλὰ μὲν τῶν 672
ἀκάρπων, πολλὰ δὲ καὶ ἥμερα· ἐπὶ δὲ ἄκρῳ τῷ χώματι
ἱερόν ἐστιν Ἀρτέμιδος ἐπίκλησιν Καλλίστης· δοκεῖν δέ
μοι καὶ Πάμφως μαθών τι παρὰ Ἀρκάδων, πρῶτος Ἄρ-
τεμιν ἐν τοῖς ἔπεσιν ὠνόμασε Καλλίστην. Σταδίους δὲ
αὐτόθεν μὲν πέντε καὶ εἴκοσι, Τρικολώνων δὲ ἑκατὸν
τοὺς σύμπαντας ἀπέχουσα ἐπί γε τοῦ Ἑλισσόντος, κατὰ
δὲ τὴν εὐθεῖαν Μεθυδρίου (αὕτη γὰρ δὴ ἐκ Τρικολώ-
νων ἔτι λείπεται) Ἀνεμῶσά τέ ἐστι χωρίον, καὶ ὄρος
Φάλανθον, ἐν αὐτῷ δὲ ἐρείπιά ἐστι Φαλάνθου πόλεως·
Ἀγελάου δὲ τοῦ Στυμφήλου παῖδα εἶναι τὸν Φάλανθον
λέγουσιν. (8) Ὑπὲρ τούτου δὲ πεδίον τέ ἐστιν Πώλου

Thyraeum et Hypsuntem regio tota montana, tota feris referta. Fuisse Lycaonis filios Thyraeum et Hypsuntem, superius a nobis est indicatum. (7) Tricolonis ad dexteram via primum acclivis est ad fontem, cui Cruni (*quasi* Salientes *dixeris*) nomen. A Crunis XXX stadium abest intervallo Callistus sepulcrum, editus terrae agger, multis quum infoecundis tum pomiferis vestitus arboribus. In extrema tumuli parte attollit se Dianae aedes, cui Callistae (*hoc est, Pulcherrimae*) cognomentum. Primus autem, quod sciam, Pamphus Dianam, accepto ab Arcadibus nomine, versibus Callisten appellavit. Iam vero stadia hinc XXV, a Tricolonis prorsus C, Helissontem versus; recta vero a Methydrio (sola enim haec de Tricolonis reliqua est) Anemosa vicus abest, et mons Phalanthum. In monte Phalanthi urbis reliquiae sunt. Agelai, qui Stympheli fuit, Phalanthum filium fuisse dicunt. (8) Campi subiacent monti, qui Pali nuncupantur. Inde Schoenus *oppi-*

καλούμενον, καὶ μετ' αὐτὸ Σχοινοῦς, ἀπὸ ἀνδρὸς Βοιωτοῦ Σχοινέως ἔχων τὴν κλῆσιν. εἰ δὲ ὁ Σχοινεὺς ἀπεδήμησεν οὗτος παρὰ τοὺς Ἀρκάδας, εἶεν ἂν καὶ οἱ τῆς Ἀταλάντης δρόμοι σύνεγγυς τῷ Σχοινοῦντι ὄντες, οἱ ἀπὸ τῆς τούτου θυγατρὸς τὸ ὄνομα εἰληφότες· ἑξῆς δὲ ἐστιν * * (ἐμοὶ δοκεῖ) καλούμενον, καὶ τοῖς πᾶσιν Ἀρκαδίαν εἶναι τὴν χώραν φασὶν ἐνταῦθα.

CAPUT XXXVI.

De Methydrio urbe eiusque memorandis — monte Thaumasio, ubi Rhea Iovem peperisse fertur — memorandis in via ad Maenalum, templo Boni Dei — Boreae venti sacris — memorandis ad Maenalium montem — colle, urbe et Mercurio Acaceaio — templo Despoenae.

Τὸ ἀπὸ τούτου δὲ ἐς μνήμην οὐδὲν ἄλλο, ὅτι μὴ αὐτὸ τὸ Μεθύδριον λείπεται· ὁδὸς δὲ ἐκ Τρικολώνων ἐς αὐτὸ σταδίων τριῶν δέοντες τεσσαράκοντα καὶ ἑκατόν. ὠνομάσθη μὲν δὴ Μεθύδριον, ὅτι κολωνός ἐστιν ὑψηλὸς, Μαλοιτᾶ τε ποταμοῦ καὶ Μυλάοντος μέσος, ἐφ' ᾧ τὴν πόλιν ὁ Ὀρχομενὸς ᾤκισε. πρὶν δὲ ἢ συντελεῖν ἐς τὸ
673 Μεγαλοπολιτικὸν, γεγόνασι καὶ Μεθυδριεῦσιν ἀνδράσιν

dum, cui a Schoeneo Boeoto nomen. Quod si Schoeneus ille in Arcadiam aliquando venit, curricula etiam, quae Schoenunti proxima, Atlantae dicuntur, ab eius filia nomen accepisse videri possunt. Dehinc, uti mea fert opinio, alia etiam ferunt oppida. Arcadiae enim finibus haec omnia ab omnibus loca adscribuntur.

Cap. XXXVI. Sed ad hominum memoriam iam solum relictum est Methydrium: quo a Tricolonis via perducit stadium CXXXVII. Id nominis oppido est, quod medio loco inter Maloetan et Mylaontem flumina, illud *olim* Orchomenus in excelso colle condidit. Ac Methydrienses quidem, antequam se Megalopolitanis adiungerent, suos et ipsi Olympicorum ludorum victores praedicare potuerunt.

Ὀλυμπιονῖκαι. (2) Ἔστι δὲ ἐν Μεθυδρίῳ Ποσειδῶνός τε Ἱππίου ναός, οὗτος μὲν ἐπὶ τῷ Μυλάοντί ἐστι· τὸ δὲ ὄρος τὸ Θαυμάσιον καλούμενον κεῖται μὲν ὑπὲρ τὸν ποταμὸν τὸν Μολοττόν. ἐθέλουσι δὲ οἱ Μεθυδριεῖς, τὴν Ῥέαν, ἡνίκα τὸν Δία εἶχεν ἐν τῇ γαστρί, ἐς τοῦτο ἀφικέσθαι τὸ ὄρος, παρασκευάσασθαι δὲ αὑτῇ καὶ βοήθειαν, ἢν ὁ Κρόνος ἐπ' αὐτήν ἴῃ, τόν τε Ὁπλάδαμον καὶ ἄλλους, ὅσοι περὶ ἐκεῖνον ἦσαν Γίγαντες· καὶ τεκεῖν μὲν συγχωροῦσιν αὐτὴν ἐν μοίρᾳ τινὶ τοῦ Λυκαίου, τὴν δὲ ἐς τὸν Κρόνον ἀπάτην καὶ ἀντὶ τοῦ παιδὸς τὴν λεγομένην ὑπὸ Ἑλλήνων ἀντίδοσιν τοῦ λίθου γενέσθαι φασὶν ἐνταῦθα. ἔστι δὲ πρὸς τῇ κορυφῇ τοῦ ὄρους σπήλαιον τῆς Ῥέας, καὶ ἐς αὐτὸ ὅτι μὴ γυναιξὶ μόναις ἱεραῖς τῆς θεοῦ, ἀνθρώπων δὲ οὐδενὶ ἐσελθεῖν ἔστι τῶν ἄλλων. Μεθυδρίου δὲ ὡς τριάκοντα ἀπέχει σταδίους Νυμφασία πηγή· τοσοῦτοι δὲ ἀπὸ Νυμφασίας ἕτεροι πρὸς τοὺς Μεγαλοπολιτῶν εἰσι καὶ Ὀρχομενίων τε κοινοὺς καὶ Καφυατῶν ὅρους. (3) Μεγαλοπολίταις δὲ διὰ τῶν ἐπὶ τὸ Ἕλος ὀνομαζομένων πυλῶν, διὰ τούτων ὁδὸς ἰοῦσιν

(2) Est Methydrii Neptuni Equestris aedes ad Mylaontem fluvium. Thaumasius vero mons, *qui est a miraculis* appellatus, supra Molossum amnem est. Huc se Rheam Iovem utero ferentem recepisse *credi* volunt Methydrienses, Hoplodamo et aliis eius sociis Gigantibus in auxilium accitis, si forte Saturnus vim ei ullam intentaret. Ac fatentur illi quidem Rheam in quadam Lycaei parte peperisse: dolo vero Saturnum, pro puero lapide apposito, in hoc ipso monte circumventum prodidere. Spectatur in montis iugo spelunca Rheae; quo nulli hominum, praeterquam solis deae sacra facientibus foeminis introire fas est. A Methydrio stadia plus minus XXX abest Nymphasia fons: totidem intersunt a Nymphasia ad communes Megalopolitanorum, Orchomeniorum, et Caphyatum fines. (3) Ac Megalopolitanis quidem per *angustias*, quas portae ad He-

ἐς Μαίναλον παρὰ τὸν ποταμὸν τὸν Ἑλισσόντα ἐστί. τῆς δὲ ὁδοῦ ἐν ἀριστερᾷ Ἀγαθοῦ Θεοῦ ναός· εἰ δὲ ἀγαθῶν οἱ θεοὶ δοτῆρές εἰσιν ἀνθρώποις, Ζεὺς δὲ ὕπατος θεῶν ἐστιν, ἑπομένως ἄν τις τῷ λόγῳ τὴν ἐπίκλησιν ταύτην Διὸς τεκμαίροιτο εἶναι. προελθόντι δὲ οὐ πολὺ, ἔστι μὲν γῆς χῶμα Ἀριστοδήμου τάφος, ὃν οὐδὲ τυραννοῦντα ἀφείλοντο μὴ ἐπονομάσαι Χρηστόν· ἔστι δὲ Ἀθηνᾶς ἱερὸν ἐπίκλησιν Μαχανίτιδος, ὅτι βουλευμάτων ἐστὶν ἡ θεὸς παντοίων καὶ ἐπιτεχνημάτων εὑρέτις. (4) Πεποίηται δὲ ἐν δεξιᾷ τῆς ὁδοῦ Βορέα τῷ ἀνέμῳ τέμενος, καὶ οἱ Μεγαλοπολῖται θυσίας θύουσιν ἀνὰ πᾶν ἔτος, καὶ θεῶν οὐδενὸς Βορέαν ὕστερον ἄγουσιν ἐς τιμὴν, ἅτε σωτῆρα γενόμενόν σφισιν ἀπὸ Λακεδαιμονίων τε καὶ Ἄγιδος. ἑξῆς δὲ Οἰκλέους τοῦ Ἀμφιαράου πατρὸς μνῆμά ἐστιν. εἴ γε δὴ ἐπέλαβεν αὐτὸν τὸ χρεὼν ἐν Ἀρκαδίᾳ, καὶ μὴ τῆς ἐπὶ Λαομέδοντα Ἡρακλεῖ στρατείας μετασχόντα. μετὰ
674 τοῦτό ἐστι Δήμητρος καλουμένης ἐν Ἕλει ναός τε καὶ

los nominantur, via patet ad Maenalum praeter Helissontem contendentibus. Ad eius viae laevam Boni Dei aedes est. Quod si di hominibus bonorum auctores sunt, deorum vero supremus est Iupiter, recte quidem hoc Iovis maxime proprium cognomen esse coniicere possis. Paulo hinc longius terrae agger est, Aristodemi sepulcrum: cui viro ne ipsa quidem tyrannis Boni cognomen eripuit. Minervae etiam *illic* Machinatricis delubrum: *hoc deae* cognomen *inde est*, quod ipsa omnis generis consiliorum et artium hominibus inventrix extitit. (4) Ad viae dexteram Boreae area dicata est, cui anniversarium sacrum Megalopolitani faciunt; neque ulli deorum maiores habent honores, quod per eum contra Lacedaemoniorum et Agidis conatum servati fuerint. Proximo loco est *recta progredienti* Oiclei Amphiarai patris sepulcrum: si modo in Arcadia ille, ac non ad Troiam, quum Herculem adversus Laomedontem profectum secutus esset, extremum diem obiit. Exinde est Cereris, quae ad Helos nominatur, fanum cum

ἄλσος. τοῦτο σταδίοις πέντε ἀπωτέρω τῆς πόλεως· γυναιξὶ δὲ ἐς αὐτὸ ἔσοδός ἐστι μόναις· τριάκοντα δὲ ἔστιν ἀπωτέρω σταδίοις Παλίσκιος ὀνομαζομένη χώρα. ἐκ Παλισκίου δὲ ἀφιέντι ἐν ἀριστερᾷ τὸν Ἔλαφον ὄντα οὐκ ἀέναον, καὶ προελθόντι ὅσον εἴκοσι σταδίους, ἄλλα τε ἐρείπια Περαιθέων, καὶ ἱερὸν λείπεται Πανός. (5) Ἢν δὴ τὸν χειμάῤῥουν διαβῇς, κατευθὺ πέντε μὲν σταδίοις καὶ δέκα ἀπωτέρω τοῦ ποταμοῦ πεδίον ἐστὶ, διελθόντι δὲ τοῦτο, ὄρος ὁμώνυμον τῷ πεδίῳ τὸ Μαινάλιον. τοῦ δὲ ὄρους ὑπὸ τοῖς καταλήγουσι πόλεως σημεῖα Λυκόας καὶ Ἀρτέμιδος ἱερὸν, καὶ ἄγαλμά ἐστι χαλκοῦν Λυκοάτιδος. ἐν δὲ τοῖς κατὰ μεσημβρίαν τοῦ ὄρους Σουμητία ᾤκιστο. ἐν τούτῳ δέ εἰσι τῷ ὄρει καὶ αἱ καλούμεναι Τρίοδοι, καὶ τὰ ὀστᾶ Ἀρκάδος τοῦ Καλλιστοῦς ἀνείλοντό ἐντεῦθεν κατὰ τὸ ἐκ Δελφῶν μάντευμα οἱ Μαντινεῖς. λείπεται δὲ καὶ αὐτῆς ἔτι ἐρείπια Μαινάλου, ναοῦ τε σημεῖα Ἀθηνᾶς, καὶ στάδιον ἐς ἀθλητῶν ἀγῶνα, καὶ τὸ ἕτερον αὐτῶν ἐς ἵππων δρόμον. τὸ δὲ ὄρος τὸ Μαινά-

luco: ab urbe nihilo longius abest quam stadia V. Huc solis mulieribus ingredi fas est. Mox stadium XXX spatio confecto, ager adiacet Paliscius nomine. Unde relicto ad sinistram Elapho *amne*, minime illo quidem perenni, intra stadia circiter XX, ad Perethaei reliquias pervenias; inter quas Panos templum reliquum est. (5) Quod si torrrentem transeas, illinc recta promoventi ad decimum quintum ferme stadium campi sunt, et eodem, quo campi nomine mons Maenalius. Ad imum montem Lycoae urbis vestigia; et Dianae fanum ac signum ex aere, *cognomento* Lycoatidis. In ea montis parte, quae ad meridiem est, Sumatia *olim* urbs munita fuit. In eodem monte *locus*, quae Trivia nuncupantur; unde Mantinenses Delphici oraculi monitu Arcadis Callistus filii ossa sustulerunt. Maenali etiam ipsius adhuc ruinae extant, et Minervae aedis. Stadia praeterea duo, ad athletarum pugnas alterum, ad equorum alterum cursus appositum. Maenalium certe montem tam

λιον ἱερὸν μάλιστα εἶναι Πανὸς ὀνομάζουσιν, ὥστε οἱ περὶ αὐτὸ καὶ ἐπακροᾶσθαι συρίζοντος τοῦ Πανὸς λέγουσι. (6) Τοῦ δὲ τῆς Δεσποίνης ἱεροῦ καὶ Μεγαλοπολιτῶν τοῦ ἄστεως στάδιοι τεσσαράκοντα μεταξύ εἰσιν· ἥμισυ μὲν τῆς ὁδοῦ, πρὸς τοῦ Ἀλφειοῦ τὸ ῥεῦμα διαβάντων· μετὰ δὲ δύο ἀπὸ τοῦ Ἀλφειοῦ σταδίους Μακαρεῶν ἐστιν ἐρείπια· αὐτόθεν δὲ ἐς ἐρείπια ἄλλα τὰ Δασεῶν ἑπτά εἰσι στάδιοι· τοσοῦτοι δὲ ἐκ Δασεῶν πρὸς τὸν Ἀκακήσιον ὀνομαζόμενον λόφον· ὑπὸ τούτῳ δὲ τῷ λόφῳ πόλις τε ἦν Ἀκακήσιον, Ἑρμοῦ τε Ἀκακησίου λίθου πεποιημένον ἄγαλμα καὶ ἐς ἡμᾶς ἐστιν ἐπὶ τοῦ λόφου· τραφῆναι δὲ Ἑρμῆν παῖδα αὐτόθι, καὶ Ἄκακον τὸν
675 Λυκάονος γενέσθαι οἱ τροφέα, Ἀρκάδων ἐστὶν ἐς αὐτὸν λόγος. διάφορα δὲ τούτοις Θηβαῖοι, καὶ αὖθις οὐχ ὁμολογοῦντα τοῖς Θηβαίων Ταναγραῖοι λέγουσιν.

(7) Ἀπὸ δὲ Ἀκακησίου τέσσαρας σταδίους ἀπέχει τὸ ἱερὸν τῆς Δεσποίνης. πρῶτα μὲν δὴ αὐτόθι Ἡγεμόνης ναός ἐστιν Ἀρτέμιδος, καὶ χαλκοῦν ἄγαλμα ἔχον δᾷδας· ποδῶν ἓξ εἶναι μάλιστα αὐτὸ εἰκάζομεν.

proprium esse Panos praedicant, ut fistula canentem deum se audire, accolae affirmare non dubitent. (6) Inter Dominae fanum et Megalopolitanorum moenia stadia intersunt XL. *Ibi iam* dimidia viae parte confecta, Alpheus transmittitur. Hinc stadia duo absunt Macareorum ruinae. Inde VII stadiis absunt rudera Daseorum; totidem a Daseis Acacesius tumulus. Infra eum Acacesium urbs fuit; et Mercurii Acacesii e marmore signum hac etiamnum aetate in eo tumulo exstat. Enutritum illic Mercurium puerum, et Acacum Lycaonis filium, eius nutricium fuisse, Arcadum sermo vulgavit. Longe diversa Thebani memorant: ac rursus a Thebanis dissentiunt Tanagraei. (7) Ab Acacesio distat stadia quatuor Dominae *(sive ea Hera sit)* fanum. Illic primum visitur Hegemones *(id est Ducis)* Dianae aedes. Aeneum *deae* signum faces praefert: pedum VI magnitudine id signum esse conicimus.

CAPUT XXXVII.

Sacri Despoenae septi memoranda — Despoenae et Cereris earumque solii, signa — de Anyto et Titanibus — speculo miro — Megaro et sacris Despoenae — de Despoena — luco Despoenae — Panis templo — Pane et Erato vaticinantibus.

Ἐντεῦθεν δὲ ἐς τὸν ἱερὸν περίβολον τῆς Δεσποίνης ἐστὶν ἔσοδος· ἰόντων δὲ ἐπὶ τὸν ναόν, στοά τέ ἐστιν ἐν δεξιᾷ, καὶ ἐν τῷ τοίχῳ λίθου λευκοῦ τύποι πεποιημένοι· καὶ τῷ μέν εἰσιν ἐπειργασμέναι Μοῖραι, καὶ Ζεὺς ἐπίκλησιν Μοιραγέτης, δευτέρῳ δὲ Ἡρακλῆς, τρίποδα Ἀπόλλωνα ἀφαιρούμενος· ὁποῖα δὲ ἐς αὐτοὺς ἐπυνθανόμην γενέσθαι, δηλώσω καὶ τοῦτο, ἢν ἐς τοῦ Φωκικοῦ λόγου τὰ ἔχοντα ἐς Δελφοὺς ἀφικώμεθα. ἐν δὲ τῇ στοᾷ τῇ παρὰ τῇ Δεσποίνῃ μεταξὺ τῶν τύπων τῶν κατειλεγμένων πινάκιόν ἐστι γεγραμμένα ἔχον τὰ ἐς τὴν τελετήν. Νύμφαι δέ εἰσι καὶ Πᾶνες ἐπὶ * τῶν τύπων, ἐπὶ δὲ τῷ τετάρτῳ Πολύβιος ὁ Λυκόρτα· καί οἱ ἐπίγραμμά ἐστιν, ἐξ ἀρχῆς τε μὴ ἂν σφαλῆναι τὴν Ἑλλάδα, εἰ Πολυβίῳ τὰ πάντα ἐπείθετο, καὶ ἁμαρτούσῃ δι' ἐκείνου βοήθειαν αὐτῇ γενέσθαι μόνου. πρὸ δὲ τοῦ ναοῦ Δήμητρί τε ἐστι βωμός,

Cap. XXXVII. Hinc ad sacrum Dominae septum aditus est. Accedentibus ad aedem, et porticus ad dexteram est, et in pariete inclusa sigilla e candido marmore: et una in parte Parcae, et *Parcarum dux* (Moeragetem *vocant*) Iupiter: in altera Hercules Apollini tripodem eripiens. Quae vero de his audierim, si quando ad eam Phocensis historiae partem, quae ad Delphos pertinet pervenero, tunc exponam. In porticu vero ad Dominae fanum, inter ea, quae percensui sigilla, tabula est, in qua pictae sunt initiorum ceremoniae. Tertio loco Nymphae inter sigilla, et Panes sunt: quarto, Polybius, Lycortae filius. Inscriptio testatur, nihil ab initio offensuram fuisse Graeciam, si Polybii consiliis paruisset: iam vero graviter affectae unum illum praesidio fuisse. Ante fanum arae erectae, Cereri una, Do-

καὶ ἕτερος Δεσποίνῃ, μετ' αὐτὸν δὲ μεγάλης μητρὸς θεῶν.
(2) Αὐτὰ δὲ τὰ ἀγάλματα, Δέσποινα καὶ ἡ Δημήτηρ τε
καὶ ὁ θρόνος, ἐν ᾧ καθέζονται, καὶ τὸ ὑπόθημα τὸ ὑπὸ
τοῖς ποσίν ἐστιν ἑνὸς ὁμοίως λίθου· καὶ οὔτε τῶν ἐπὶ
τῇ ἐσθῆτι, οὔτε ὁπόσα εἴργασται περὶ τὸν θρόνον, οὐ-
δέν ἐστιν ἑτέρου λίθου προσεχὲς σιδήρῳ καὶ κόλλῃ, ἀλλὰ
τὰ πάντα ἐστὶν εἷς λίθος. οὗτος οὐκ ἐκομίσθη σφίσιν ὁ
λίθος, ἀλλὰ κατὰ ὄψιν ὀνείρατος λέγουσιν αὐτὸν ἐξευ-
ρεῖν ἐντὸς τοῦ περιβόλου τὴν γῆν ὀρύξαντες. τῶν δὲ ἀγαλ-
μάτων ἐστὶν ἑκατέρου μέγεθος κατὰ τὸ Ἀθήνησιν ἄγαλ-
μα μάλιστα τῆς Μητρός· Δαμοφῶντος δὲ καὶ ταῦτα
ἔργα. ἡ μὲν οὖν Δημήτηρ δᾷδα ἐν δεξιᾷ φέρει, τὴν
δὲ ἑτέραν χεῖρα ἐπιβέβληκεν ἐπὶ τὴν Δέσποιναν· ἡ δὲ
676 Δέσποινα σκῆπτρόν τε καὶ τὴν καλουμένην κίστην ἐπὶ
τοῖς γόνασιν ἔχει· τῇ δὲ ἔχεται τῇ δεξιᾷ τῆς κίστης. τοῦ
θρόνου δὲ ἑκατέρωθεν Ἄρτεμις μὲν παρὰ τὴν Δήμητρα
ἕστηκεν ἀμπεχομένη δέρμα ἐλάφου, καὶ ἐπὶ τῶν ὤμων
φαρέτραν ἔχουσα· ἐν δὲ ταῖς χερσί, τῇ μὲν λαμπάδα
ἔχει, τῇ δὲ δράκοντας δύο· παρὰ δὲ τὴν Ἄρτεμιν κατά-

minae altera, Deum magnae matri tertia. (2) Signa Cereris et Herae, solium in quo sedent, et item quod pedibus subiacet scabellum, e *solido et* unico lapide sunt. Nam neque vestes, neque extranea *quaedam* solii ornamenta, ullo vel ferri vel glutinis coagmento compacta sunt, sed uno prorsus omnia lapide constant. Neque vero eum lapidem aliunde deportatum, sed somnii monitu, quo loco fodiendo tellurem aperuerant, inventum memorant. Utriusque simulacri *seorsum* magnitudo instar eius est, quod Matris *deum* Athenis visitur. Sunt et haec Damophontis opera. Ceres ipsa facem dextera praefert, laevam Herae admovet. Hera sceptrum, et vas, quae cista dicitur, genibus sustinet, dextera cistae adhibita. Sunt etiam ab utraque throni parte simulacra: Cereri assistit Diana cervina pelle velata, pendente ex humeris pharetra: altera manu lampadem, dracones duos altera gestat. Adiacet canis de

κειται νέων, οἷαι θηρεύειν εἰσὶν ἐπιτήδειοι. (3) Πρὸς δὲ τῆς Δεσποίνης τῷ ἀγάλματι ἕστηκεν Ἄνυτος, σχῆμα ὡπλισμένου παρεχόμενος· φασὶ δὲ οἱ περὶ τὸ ἱερὸν, τραφῆναι τὴν Δέσποιναν ὑπὸ τοῦ Ἀνύτου, καὶ εἶναι τῶν Τιτάνων καλουμένων καὶ τὸν Ἄνυτον. Τιτᾶνας δὲ πρῶτος ἐς ποίησιν ἐσήγαγεν Ὅμηρος, θεοὺς εἶναι σφᾶς ὑπὸ τῷ καλουμένῳ Ταρτάρῳ· καί ἐστιν ἐν Ἥρας ὅρκῳ τὰ ἔπη. παρὰ δὲ Ὁμήρου Ὀνομάκριτος παραλαβὼν τῶν Τιτάνων τὸ ὄνομα, Διονύσῳ τε συνέθηκεν ὄργια, καὶ εἶναι τοὺς Τιτᾶνας τῷ Διονύσῳ τῶν παθημάτων ἐποίησεν αὐτουργούς. τὰ μὲν δὴ ἐς τὸν Ἄνυτον ὑπὸ Ἀρκάδων λέγεται. Δήμητρος δὲ Ἄρτεμιν θυγατέρα εἶναι, καὶ οὐ Λητοῦς, ὄντα Αἰγυπτίων τὸν λόγον, Αἰσχύλος ἐδίδαξεν Εὐφορίωνος τοὺς Ἕλληνας. τὰ δὲ ἐς Κούρητας (οὗτοι γὰρ ὑπὸ τῶν ἀγαλμάτων πεποίηνται) καὶ τὰ ἐς Κορύβαντας ἐπειργασμένους ἐπὶ τοῦ βάθρου (ἑνὸς δὲ οἶδα ἀλλοῖον καὶ οὐ Κούρητος) τὰ ἐς τούτους παρίημι ἐπιστάμενος. (4) Τῶν δὲ ἡμέρων οἱ Ἀρκάδες δένδρων

venaticorum genere. (3) Herae signo Anytus adstat armati hominis habitu. Hunc aeditui Herae nutricium fuisse tradunt, illum quidem de Titanibus unum. Sane Titanas primus omnium Homerus suis carminibus commentus est, deos esse earum sedium incolas, quibus Tartara nomen est. Ea de re poëtae versus in Iunonis iureiurando sunt. Sumto deinde ab Homero Titanum nomine Onomacritus, *quo libro* Liberi Patris orgia exposuit, illorum opera gravibus affectum aerumnis Liberum, versibus mandavit. Sed quae ad Anytum pertinent, ab Arcadibus memoriae prodita sunt. Cereris vero filiam, non Latonae, Dianam fuisse, ab Aegyptiis acceptum sermonem Graecos docuit Aeschylus Euphorionis filius. Iam de Curetibus (nam hi infra ea signa cernuntur, etsi unius intellige longe alium, quam Curetis habitum esse) deque Corybantibus, qui in basi insculpti sunt, omnia consulto missa facio. (4) Infra hoc fanum Arcades pomiferarum omnium arborum praeterquam Puni-

ἁπάντων, πλὴν ῥοιᾶς ἐσκομίζουσιν ἐς τὸ ἱερόν. ἐν δεξιᾷ δὲ ἐξιόντι ἐκ τοῦ ναοῦ, κάτοπτρον ἡρμοσμένον ἐστὶν ἐν τῷ τοίχῳ· τοῦτο ἤν τις προσβλέπῃ τὸ κάτοπτρον, ἑαυτὸν μὲν ἤτοι κομιδῇ ἀμυδρῶς, ἢ οὐδὲ ὄψεται τὴν ἀρχήν· τὰ δὲ ἀγάλματα τῶν θεῶν καὶ αὐτὰ καὶ τὸν θρόνον ἔστιν ἐναργῶς θεάσασθαι. (5) Παρὰ δὲ τὸν ναὸν τῆς Δεσποίνης ὀλίγον ἐπαναβάντι ἐν δεξιᾷ Μέγαρόν ἐστι καλούμενον· καὶ τελετήν τε δρῶσιν ἐνταῦθα, καὶ τῇ Δεσποίνῃ θύουσιν ἱερεῖα οἱ Ἀρκάδες πολλὰ καὶ ἄφθονα· θύει μὲν δὴ αὐτῶν ἕκαστος, ὅ τι κέκτηται· τῶν ἱερείων δὲ οὐ τὰς φάρυγγας ἀποτέμνει, ὥσπερ ἐπὶ
677 ταῖς ἄλλαις θυσίαις· κῶλον δέ, ὅ τι ἂν τύχῃ, τοῦτο ἕκαστος ἀπέκοψε τοῦ θύματος. (6) Ταύτην μάλιστα θεῶν σέβουσιν οἱ Ἀρκάδες τὴν Δέσποιναν· θυγατέρα δὲ αὐτὴν Ποσειδῶνος εἶναί φασι καὶ Δήμητρος· ἐπίκλησις ἐς τοὺς πολλούς ἐστιν αὐτῇ Δέσποινα, καθάπερ καὶ τὴν ἐκ Διὸς Κόρην ἐπονομάζουσιν· ἰδίᾳ δέ ἐστιν ὄνομα Περσεφόνη, καθὰ Ὅμηρος καὶ ἔτι πρότερον Πάμφως

cae mali fructum inferunt. Ad dexteram e delubro egredienti speculum in *tectoria* parietis apte inclusum est; in quod, qui inspexerit, suam ipsius imaginem aut parum perspicue, aut prorsus nihil cernet: dearum tamen signa, et solium ipsum, dilucide intuebitur. (5) Praeter Herae fanum paululum ascendentibus ad dexteram est, quod Megaron vocant, *ac si magnifice exaedificatam basilicam dixeris.* Ibi arcana sacra celebrantur; Heraeque victimas complures et peropimas mactant Arcades; et immolant quidem pro suis quisque copiis. Neque vero hostiarum guttura desecant, uti aliis in sacris; sed artum, quem quisque fortuito primum apprehenderit, illum praecidit. (6) Hanc dearum omnium maxime venerantur Arcades. Filiam eam esse dicunt Neptuni et Cereris, eaque vulgo Hera (Domina) cognominatur, sicut eam quae e Iove et Cerere nata est, *κόρην* (Puellam) cognominare solent, quum peculiari nomine Proserpina vocitetur, ut Homerus et ante

ἐποίησαν· τῆς δὲ Δεσποίνης τὸ ὄνομα ἔδεισα ἐς τοὺς ἀτελέστους γράφειν. (7) Ὑπὲρ δὲ τὸ καλούμενον Μέγαρόν ἐστιν ἄλσος τῆς Δεσποίνης ἱερὸν θριγκῷ λίθων περιεχόμενον· ἐντὸς δὲ αὐτοῦ δένδρα καὶ ἄλλα, καὶ ἐλαῖαι καὶ πρῖνος ἐκ ῥίζης μιᾶς πεφύκασι· τοῦτο οὐ γεωργοῦ σοφίας ἐστὶν ἔργον. ὑπὲρ δὲ τὸ ἄλσος καὶ Ἱππίου Ποσειδῶνος, ἅτε πατρὸς τῆς Δεσποίνης, καὶ θεῶν ἄλλων εἰσὶ βωμοί· τῷ τελευταίῳ δὲ ἐπίγραμμά ἐστι, θεοῖς αὐτὸν τοῖς πᾶσιν εἶναι κοινόν. (8) Ἐντεῦθεν δὲ ἀναβήσῃ διὰ κλίμακος ἐς ἱερὸν Πανός· πεποίηται δὲ καὶ στοὰ ἐς τὸ ἱερὸν, καὶ ἄγαλμα οὐ μέγα. θεῶν δὲ ὁμοίως τοῖς δυνατωτάτοις καὶ τούτῳ μέτεστι τῷ Πανὶ, ἀνθρώπων τε εὐχὰς ἄγειν ἐς τέλος, καὶ ὁποῖα ἔοικεν, ἀποδοῦναι πονηροῖς· παρὰ τούτῳ τῷ Πανὶ πῦρ οὔ ποτε ἀποσβεννύμενον καίεται. (9) Λέγεται δὲ, ὡς τὰ ἔτι παλαιότερα καὶ μαντεύοιτο οὗτος ὁ θεὸς, προφῆτιν δὲ Ἐρατὼ νύμφην αὐτῷ γενέσθαι ταύτην, ἣ Ἀρκάδι τῷ Καλλιστοῦς συνῴκησε. μνημονεύουσι δὲ καὶ ἐπὶ τῆς

hunc Pamphus in sua poesi declarant. Is autem Herae nomen non est ausus ad profanos prodere. (7) Supra aedem eam, quod vocari diximus Megaron, Herae sacer lucus est, ambiente lapidum maceria. In eo luco et aliae sunt arbores, et ex una atque eadem radice oleae et ilices enatae, quod sane nulla effectum est agricolarum arte. Supra lucum, Equestris Neptuni (nempe qui Herae pater creditur) et aliorum deorum Arae sunt. Earum extremam indicat inscriptio communem esse illam dis omnibus. (8) Illinc per scalam in Panos delubrum ascendas. Adiacet delubro porticus: *intus est numinis* haud sane magnum simulacrum. Huic deo aeque ac potentissimis quibusque, et hominum vota rata habere, et merita improbos poena afficere, attributum est. Ignis ei perpetuus ardet. (9) Quin et responsa oraculorum priscis temporibus reddere solitum autumant; eiusque interpretem Erato Nympham fuisse, quae cum Arcade Callistus filio nupta fuerit: de qua eadem me-

Ἐρατοῦς, ἃ δὴ καὶ αὐτὸς ἐπελεξάμην. ἐνταῦθα ἔστι μὲν βωμὸς Ἄρεως, ἔστι δὲ ἀγάλματα Ἀφροδίτης ἐν ναῷ, λίθου τὸ ἕτερον λευκοῦ, τὸ δὲ ἀρχαιότερον αὐτῶν ξύλου· ὡσαύτως καὶ Ἀπόλλωνος καὶ Ἀθηνᾶς ξόανά ἐστι· τῇ δὲ Ἀθηνᾷ καὶ ἱερὸν πεποίηται.

CAPUT XXXVIII.

De Lycosura omnium urbium prima et vetustissima — monte Lycaeo eiusque parte Cretea dicta — Nymphis, quae Iovem nutriverunt, et fonte Hagno — Panis templo in Lycaeo — Lycaei montis admirandis, Iovis Lycaei sacro luco — templo et sacris Apollinis Parrhasii — agro Thisoensi et pluribus fluviis Acheloïs — montibus Nomiis et Panis templo.

678 Ἀνωτέρω δὲ ὀλίγον τεῖχους τε περίβολος τῆς Λυκοσούρας ἐστὶ, καὶ οἰκήτορες ἔνεισιν οὐ πολλοί· πόλεων δὲ, ὁπόσας ἐπὶ τῇ ἠπείρῳ ἔδειξε γῆ, καὶ ἐν νήσοις, Λυκοσούρα ἐστὶ πρεσβυτάτη, καὶ ταύτην εἶδεν ὁ ἥλιος πρώτην· ἀπὸ ταύτης δὲ οἱ λοιποὶ ποιεῖσθαι πόλεις μεμαθήκασιν ἄνθρωποι. (2) Ἐν ἀριστερᾷ δὲ τοῦ ἱεροῦ τῆς Δεσποίνης τὸ ὄρος ἐστὶ τὸ Λύκαιον· καλοῦσι δὲ αὐτὸ καὶ Ὄλυμπον, καὶ Ἱεράν γε ἕτεροι τῶν Ἀρκάδων κορυ-

moriae produntur, quae ipsi etiam percensuimus. Est *eodem in loco* Martis ara: sunt intra aedem Veneris duo signa, e candido alterum marmore, vetustius alterum e ligno. Apollinis item e ligno, et Minervae, *prisca* sunt signa: Minerva cellam etiam suam habet.

Cap. XXXVIII. Paululum supra hunc locum, Lycosurae murorum ambitus extat, intra quem pauci sunt incolae. Urbium certe omnium, quas vel continens terra, vel insulae sustinent, vetustissima est Lycosura: hanc primam omnium sol aspexit; et ad huius exemplum urbes ceteri homines condere didicerunt. (2) Ad laevam Herae, Lycaeum mons est quem Olympum etiam, Sacrum alii Arcadum iugum nuncupant. In hoc monte educatum Iovem

φήν· τραφῆναι δὲ τὸν Δία φασὶν ἐν τῷ ὄρει τούτῳ· καὶ χώρα τέ ἐστιν ἐν τῷ Λυκαίῳ Κρητέα καλουμένη· αὕτη δὲ ἡ Κρητέα ἐστὶν ἐξ ἀριστερᾶς Ἀπόλλωνος ἄλσους ἐπίκλησιν Παῤῥασίου· καὶ τὴν Κρήτην, ἔνθα ὁ Κρητῶν ἔχει λόγος τραφῆναι Δία, τὸ χωρίον τοῦτο εἶναι, καὶ οὐ τὴν νῆσον, ἀμφισβητοῦσιν οἱ Ἀρκάδες. (3) Ταῖς Νύμφαις δὲ ὀνόματα, ὑφ' ὧν τὸν Δία τραφῆναι λέγουσι, τίθενται Θείσοαν, καὶ Νέδαν, καὶ Ἁγνώ· καὶ ἀπὸ μὲν τῆς Θεισόας πόλις ᾤκεῖτο ἐν τῇ Παῤῥασίᾳ· τὰ δὲ ἐπ' ἐμοῦ μοίρας τῆς Μεγαλοπολίτιδός ἐστιν ἡ Θείσοα κώμη· τῆς Νέδας δὲ ὁ ποταμὸς τὸ ὄνομα ἔσχηκε· τῆς δὲ Ἁγνοῦς ἡ ἐν τῷ ὄρει τῷ Λυκαίῳ πηγὴ, κατὰ τὰ αὐτὰ ποταμῷ τῷ Ἴστρῳ, πέφυκεν ἴσον παρέχεσθαι τὸ ὕδωρ ἐν χειμῶνι ὁμοίως καὶ ἐν ὥρᾳ θέρους. ἢν δὲ αὐχμὸς χρόνον ἐπέχῃ πολὺν, καὶ ἤδη σφίσι τὰ σπέρματα ἐν τῇ γῇ καὶ τὰ δένδρα αὐαίνηται, τηνικαῦτα ὁ ἱερεὺς τοῦ Λυκαίου Διὸς προσευξάμενος ἐς τὸ ὕδωρ καὶ θύσας, ὁπόσα ἐστὶν αὐτῷ νόμος, καθίει δρυὸς κλάδον ἐπιπολῆς, καὶ οὐκ ἐς βάθος τῆς πηγῆς· ἀνακινηθέντος δὲ τοῦ ὕδατος ἄνεισιν ἀχλὺς

vulgo traditum est. Ager est in Lycaeo, quae Cretea vocatur, ad laevam luci, qui Apollini sacer est, cognomento Parrhasio. Hunc esse locum, in quo sit educatus Iupiter, non antem Cretam insulam, contra Cretensium sermonem, contendunt Arcades: (3) Nymphas etiam nominant, quae Iovem nutrierint, Thisoan, Nedan, et Hagno; et a Thisoa quidem nominata fuit urbs olim frequens in Parrhasiorum finibus: est vero nunc Thisoa pagus, Megalopolitani agri pars. Neda flumini nomen dedit: fonti Hagno, qui in Lycaeo monte, perinde ut Ister fluvius, parem aquarum molem aestate aeque atque hieme volvere solet. Quod si forte diuturna siccitate solum laboret, atque ex eo segetes et stirpes exarescant, ibi Lycaei Iovis sacerdos ad aquam eius fontis cum precatione conversus, riteque re divina mactatis hostiis peracta, e quercu ramum non alte, sed in summam aquam porricit: existit *repente*, commota aqua, ater

ἐοικυῖα ὁμίχλῃ· διαλιποῦσα δὲ ὀλίγον γίνεται νέφος ἡ ἀχλὺς, καὶ ἐς αὑτὴν ἄλλα ἐπαγομένη τῶν νεφῶν, ὑετὸν τοῖς Ἀρκάσιν ἐς τὴν γῆν κατιέναι ποιεῖ. (4) Ἔστι δὲ ἐν τῷ Λυκαίῳ Πανός τε ἱερὸν, καὶ περὶ αὐτὸ ἄλσος δένδρων καὶ ἱππόδρομός τε, καὶ πρὸ αὐτοῦ στάδιον· τὸ δὲ ἀρχαῖον τῶν Λυκαίων ἦγον τὸν ἀγῶνα ἐνταῦθα. ἔστι δὲ αὐτόθι καὶ ἀνδριάντων βάθρα, οὐκ ἐνόντων ἔτι ἀνδριάντων· ἐλεγεῖον δὲ ἐπὶ τῶν βάθρων Ἀστυάνακτός φησιν εἶναι τὴν εἰκόνα, τὸν δὲ Ἀστυάνακτα εἶναι γένος τῶν
679 ἀπὸ Ἀρκάδος. (5) Τὸ δὲ ὄρος παρέχεται τὸ Λύκαιον καὶ ἄλλα ἐς θαῦμα, καὶ μάλιστα τόδε. τέμενός ἐστιν ἐν αὐτῷ Λυκαίου Διὸς, ἔσοδος δὲ οὐκ ἔστιν ἐς αὐτὸ ἀνθρώποις· ὑπεριδόντα δὲ τοῦ νόμου καὶ ἐσελθόντα, ἀνάγκη πᾶσα αὐτὸν ἐνιαυτοῦ πρόσω μὴ βιῶναι· καὶ τάδε ἔτι ἐλέγετο· τὰ ἐντὸς τοῦ τεμένους γενόμενα ὁμοίως πάντα καὶ θηρία καὶ ἀνθρώπους οὐ παρέχεσθαι σκιάν· καὶ διὰ τοῦτο, ἐς τὸ τέμενος θηρίου καταφεύγοντος, οὐκ ἐθέλει οἱ συνεσπίπτειν ὁ κυνηγέτης, ἀλλὰ ὑπομένων ἐκτὸς, καὶ

halitus nebulae persimilis; neque ita multo post nubes inde attollitur; moxque plurium nubium accessione obducto coelo, Arcadum fines optatis imbribus perfunduntur. (4) Est in Lycaeo Panos etiam fanum condenso circumseptum luco: adiacet Hippodromus, Hippodromo stadium: in eo iam tum ab initio Lupercalia celebrabantur. Sunt ibidem *aliquot* statuarum cippi, statuis amotis: eorum unius inscriptio elegis testatur, fuisse eam Astyanactis effigiem, viri ex Arcadis prosapia oriundi. (5) Mons ipse Lycaeus multa, quae visentes admirentur, habet; hoc inter cetera: Area est Lycaei Iovis, quo hominibus non est accessus: si quis loci religione contempta introierit, necesse omnino est eum intra annum e vita excedere. *Mirum est* etiam, *quod* aiunt, tam homines quam bestias, quae forte intra eius loci ambitum se immiserint, nullas e corporibus suis umbras reddere: ac feras quidem venator illuc confugientes non consequitur: sed foris consistens, nullam sane um-

ὁρῶν τὸ θηρίον, οὐδεμίαν ἀπ' αὐτοῦ θεᾶται σκιάν. χρόνον μὲν δὴ τὸν ἴσον ἐπεισί τε ὁ ἥλιος τὸν ἐν τῷ οὐρανῷ καρκίνον, καὶ ἐν Συήνῃ τῇ πρὸς Αἰθιοπίᾳ οὔτε ἀπὸ δένδρων, οὔτε ἀπὸ τῶν ζώων γενέσθαι σκιὰν ἔστι· τὸ δὲ ἐν τῷ Λυκαίῳ τέμενος τὸ αὐτὸ ἐς τὰς σκιὰς ἀεί τε καὶ ἐπὶ πασῶν πέπονθε τῶν ὡρῶν. ἔστι δὲ ἐπὶ τῇ ἄκρᾳ τῇ ἀνωτάτω τοῦ ὄρους γῆς χῶμα, Διὸς τοῦ Λυκαίου βωμὸς, καὶ ἡ Πελοπόννησος τὰ πολλά ἐστιν ἀπ' αὐτοῦ σύνοπτος· πρὸ δὲ τοῦ βωμοῦ κίονες δύο ὡς ἐπὶ ἀνίσχοντα ἑστήκασιν ἥλιον· ἀετοὶ δὲ ἐπ' αὐτοῖς ἐπίχρυσοι τά γε ἔτι παλαιότερα ἐπεποίηντο. ἐπὶ τούτου βωμοῦ τῷ Λυκαίῳ Διῒ θύουσιν ἐν ἀποῤῥήτῳ· πολυπραγμονῆσαι δὲ οὔ μοι τὰ ἐς τὴν θυσίαν ἡδὺ ἦν, ἐχέτω δὲ, ὡς ἔχει, καὶ ὡς ἔσχεν ἐξ ἀρχῆς. (6) Ἔστι δὲ ἐν τοῖς πρὸς ἀνατολὰς τοῦ ὄρους Ἀπόλλωνος ἱερὸν, ἐπίκλησιν Παῤῥασίου· τίθενται δὲ αὐτῷ καὶ Πύθιον ὄνομα. ἄγοντες δὲ τῷ θεῷ κατὰ ἔτος ἑορτὴν θύουσι μὲν ἐν τῇ ἀγορᾷ κάπρον τῷ Ἀπόλλωνι τῷ Ἐπικουρίῳ· θύσαντες δὲ ἐνταῦθα, αὐτίκα τὸ ἱερεῖον

bram ab eius corpore *mitti* animadvertit. Ea certe anni parte, qua Cancer Solem gestat, Syenae, quae Aethiopiae finitima urbs est, nullae ex arboribus, nec animantibus, *aut ceteris corporibus* umbrae se ostendunt: verum in illa Lycaei area hoc nulla non anni parte contingit. In supremo *omnium* montis iugo est terrae *editissimus* tumulus: *in eo* Lycaei Iovis ara; unde omnis prope Peloponnesus prospici potest. Ante aram duae eminent pilae, ad solis fere exortum: insistunt aquilae inauratae pervetusti operis. Ad hanc aram Iovi Lycaeo in operto faciunt. Sacri eius ritus curiose mihi exquirere non est collibitum: quare ita se habeant, ut praesenti et prisci temporis religione sanciti sunt. (6) In ea montis parte, quae ad Orientem spectat, est Apollinis fanum cognomento Parrhasii: eundem Pythium appellant. Ei deo festos quotannis dies dum agitant, aprum Apollini Epicurio (*id est Auxiliari*) immo-

κομίζουσιν ἐς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Παῤῥασίου σὺν αὐλῷ τε καὶ πομπῇ, καὶ τά τε μηρία ἐκτεμόντες καίουσι, καὶ δὴ καὶ ἀναλίσκουσιν αὐτόθι τοῦ ἱερείου τὰ κρέα. ταῦτα μὲν οὕτω ποιεῖν νομίζουσι. (7) Τοῦ Λυκαίου δὲ τὰ πρὸς τῆς ἄρκτου γῆ τε ἡ Θεισοαία· οἱ δὲ ἄνθρωποι μάλιστα οἱ ταύτῃ νύμφην τὴν Θεισόαν ἔχουσιν ἐν τιμῇ. Διὰ δὲ τῆς χώρας τῆς Θεισοαίας ῥέοντες ἐμβάλλουσιν ἐς τὸν Ἀλφειὸν Μυλάων, ἐπὶ δὲ αὐτῷ Νοῦς καὶ Ἀχελῷος καὶ Κέλαδός τε καὶ Νάφιλος. Ἀχελῴῳ δὲ τῷ Ἀρκάδι εἰσὶν ἄλλοι δύο ὁμώνυμοί τε αὐτῷ ποταμοί, καὶ τὰ ἐς δόξαν φανερώτεροι· τὸν μέν γε ἐπὶ τὰς Ἐχινάδας κατιόντα Ἀχελῷον διὰ τῆς Ἀκαρνάνων καὶ δι' Αἰτωλίας ἐν Ἰλιάδι Ὅμηρος ποταμῶν τῶν πάντων ἄρχοντα εἶναι, ἕτερον δὲ Ἀχελῷον, ῥέοντα ἐκ Σιπύλου τοῦ ὄρους, ἐποιήσατο αὐτόν τε τὸν ποταμὸν καὶ τὸ ὄρος τὸ Σίπυλον τοῦ λόγου προσθήκην τοῦ ἐς Νιόβην· τρίτῳ δ' οὖν καὶ τῷ περὶ τὸ ὄρος τὸ Λύκαιόν ἐστιν ὄνομα Ἀχελῷος. (8) Τῆς Λυκοσούρας δέ ἐστιν ἐν δεξιᾷ Νόμια ὄρη καλούμενα, καὶ Πανὸς ἱερὸν ἐν αὐτοῖς ἐστι Νομίου· καὶ

lant in foro: ibi re divina peracta, in Apollinis Parrhasii hostiam statim deportant cum solenni pompa ad tibiae cantum: femora deinde excisa adolent: viscera quidem eodem in loco absumunt: haec patrio more religio sancita est. (7) In Lycaei parte, quae ad Aquilonem vergit, Thisoensis ager est. Incolae prae ceteris numinibus Thisoan Nympham venerantur. Perlabentes amnes influunt in Alpheum, Mylaon, Nus, Achelous, Celadus, et Naphilus. Acheloo Arcadico cognomines alii duo amnes sunt, multo illi quidem nobiliores. Eorum alterum ad Echinadas insulas per Acarnanas et Aetolos decurrentem, Homerus in Iliade fluviorum regem nuncupavit: alterum idem poëta e Sipylo monte fluentem, cum ipso monte ad ea, quae de Niobe prodidit, adiecit. Tertio huic ipsi Acheloo nomen est, qui praeter Lycaeum montem labitur. (8) Lycosurae ad dexteram consurgunt montes, qui Nomii dicuntur. Est in il-

τὸ χωρίον ὀνομάζουσι Μέλπειαν, τὸ ἀπὸ τῆς σύριγγος μέλος ἐνταῦθα Πανὸς εὑρεθῆναι λέγοντες· κληθῆναι δὲ τὰ ὄρη Νόμια, προχειρότατον μὲν ἐστιν εἰκάζειν ἐπὶ τοῦ Πανὸς ταῖς νομαῖς· αὐτοὶ δὲ οἱ Ἀρκάδες νύμφης εἶναι φασιν ὄνομα.

CAPUT XXXIX.

De fluvio Platanistone in via ad Phigaliam urbem — Phigalo et Phigaleasium discessu ac reditu — Phigaliae urbis situs et memoranda — Bacchi Acratophori templum et signum.

Παρὰ δὲ τὴν Λυκόσουραν ὡς ἐπὶ ἥλιον δυόμενον ποταμὸς Πλατανιστὼν παρέξεισιν· ἀνδρὶ δὲ ἰόντι ἐς Φιγαλίαν ἀνάγκη πᾶσα διαβῆναι τὸν Πλατανιστῶνα. μετὰ δὲ αὐτόν ἐστιν ἄνοδος ὅσον τε σταδίους τριάκοντα ἢ πλείονας τῶν τριάκοντα οὐ πολλῷ. (2) Τὰ δὲ ἐς τὸν Λυκάονος Φίγαλον (οὗτος γὰρ δὴ τῇ πόλει τὸ ἐξαρχῆς ἐγένετο οἰκιστὴς) καὶ ὡς μετέβαλεν ἀνὰ χρόνον ἀπὸ Φιάλου Βουκολίωνος τὸ ὄνομα ἡ πόλις, καὶ αὖθις τε ἀνεσώσατο τὸ ἀρχαῖον, τάδε μὲν καὶ πρότερον ἔτι ἐσήμαινεν ἡμῖν ὁ

lis Nomii Panos fanum. Vicum *proximum* Melpean (*ac si Modulatricem dicas*) nominant, quod fistulae modos illic Pani primum excogitatos dictitant. Nomios vero montes a Panos pastionibus vocatos fuisse, obvia esse possit et exposita cuivis coniectura: ipsi tamen Arcades de Nymphae cuiusdam nomine vocitari affirmant.

Cap. XXXIX. Lycosuran praeterfluit Occidentem versus, fluvius, cui Plataniston nomen: quem traiicere necesse habent, qui Phigalian contendunt. A flumine clivus se attollit stadia non minus XXX: sed neque altius multo. (2) Quae vero ad Lycaonis filium Phigalum pertinent (fuit enim is primus urbis Phigaliae conditor) et ut post a Phialo Bucolionis filio civitas ea nomen acceperit, ac deinde rursus pristina appellatio invaluerit, est a nobis in hoc ipso rerum Arcadicarum commentario expositum. Tra-

λόγος. λέγεται δὲ καὶ ἄλλα οὐκ ἀξιόχρεα ἐς πίστιν· ἄνδρα αὐτόχθονα εἶναι τὸν Φίγαλον, καὶ οὐ Λυκάονος παῖδα· τοῖς δὲ εἰρημένον ἐστὶν, ὡς ἡ Φιγαλία νύμφη τῶν καλουμένων εἴη Δρυάδων. Λακεδαιμόνιοι δὲ ἡνίκα
681 Ἀρκάσιν ἐπεχείρησαν, καὶ ἐσέβαλον ἐς τὴν Φιγαλίαν στρατιᾷ, μάχῃ τε νικῶσι τοὺς ἐπιχωρίους, καὶ ἐπολιόρκουν προσκαθεζόμενοι· κινδυνεύοντος δὲ ἁλῶναι τοῦ τείχους, ἀποδιδράσκουσιν οἱ Φιγαλεῖς, καὶ οἱ Λακεδαιμόνιοι σφᾶς ἀφιᾶσιν ἀπελθεῖν ὑποσπόνδους. ἐγένετο δὲ τῆς Φιγαλίας ἅλωσις, καὶ Φιγαλέων ἡ ἐξ αὐτῆς φυγή, Μιλτιάδου μὲν Ἀθήνησιν ἄρχοντος, δευτέρῳ δὲ ἔτει τῆς τριακοστῆς Ὀλυμπιάδος, ἣν Χίονις Λάκων ἐνίκα τὸ τρίτον. Φιγαλέων δὲ τοῖς διαπεφευγόσιν ἔδοξεν ἀφικομένοις ἐς Δελφοὺς ἐρωτᾶν ὑπὲρ καθόδου τὸν θεόν· καὶ σφίσιν ἡ Πυθία καθ' αὑτοὺς μὲν πειρωμένοις ἐς Φιγαλίαν κατελθεῖν οὐχ ὁρᾶν ἔφη κάθοδον, εἰ δὲ λογάδας ἑκατὸν ἐξ Ὀρεσθασίου προσλάβοιεν, τοὺς μὲν ἀποθανεῖσθαι παρὰ τὴν μάχην, Φιγαλεῦσι δὲ ἔσεσθαι δι' αὐτῶν κάθοδον.

dicuntur etiam alia fide non satis digna: indigenam hominem Phigalum fuisse, non autem Lycaonis filium. Ex quorundam sermone Phigalia Nympha una de Dryadibus fuit. Quo tempore Lacedaemonii Arcadas bello adorti, in Phigalensium fines cum exercitu invaserunt, incolis praelio victis urbem obsidione cinxerunt: quumque parum abesset, quin muri expugnarentur, Phigalenses effugere, sub certis conditionibus a Lacedaemoniis dimissi. Excisa est Phigalia, Phigalensibus omnibus ejectis, Miltiade summum Athenis magistratum gerente, Olympiadis tricesimae, qua tertiam palmam tulit Chionis Lacon, anno secundo. Qui e Phigalensibus eam cladem effugerant, censuerunt Delphici Apollinis oraculum de reditu consulendum. Sciscitantibus responsum est, si soli per se ipsos redire conati essent, nullam fore iam reliquam postliminii spem: at si ab Oresthasio centum lectissimos viros assumsissent, illos quidem *ad unum* in pugna perituros, Phigalenses vero reditus com-

Ὀρεσθάσιοι δὲ ὡς τὴν γενομένην Φιγαλεῦσιν ἐπύθοντο μαντείαν, ἄλλος ἔφθανεν ἄλλον σπουδῇ λογάδων τε τῶν ἑκατὸν αὐτὸς ἕκαστος γενέσθαι, καὶ ἐξόδου τῆς ἐς Φιγαλίαν μετασχεῖν. παρελθόντες δὲ ἐπὶ τὴν Λακεδαιμονίων φρουρὰν, ἄγουσιν ἐς πάντα ἐπὶ τέλος τὸν χρησμόν· καὶ λόγου γὰρ μαχεσαμένοις ἀξίως ἐγένετο ἡ τελευτὴ, καὶ ἐξελάσαντες τοὺς Σπαρτιάτας, παρέσχον Φιγαλεῦσιν ἀπολαβεῖν πατρίδα. (3) Κεῖται δὲ ἡ Φιγαλία ἐπὶ μετεώρου μὲν καὶ ἀποτόμου, πλέονα δὲ καὶ ὑπὸ τῶν κρημνῶν ᾠκοδομημένα ἐστὶ τείχη σφίσιν· ἀνελθόντι δὲ ὁμαλής ἐστιν ὁ λόφος ἤδη καὶ ἐπίπεδος. ἔστι δὲ Σωτείρας τε ἱερὸν ἐνταῦθα Ἀρτέμιδος, καὶ ἄγαλμα ὀρθὸν λίθου· ἐκ τούτου δὲ τοῦ ἱεροῦ καὶ τὰς πομπάς σφισι πέμπειν καθέστη. (4) Ἐν δὲ τῷ γυμνασίῳ τὸ ἄγαλμα τοῦ Ἑρμοῦ ἀμπεχομένῳ μὲν ἔοικεν ἱμάτιον, καταλήγει δὲ οὐκ ἐς πόδας, ἀλλὰ ἐς τὸ τετράγωνον σχῆμα. πεποίηται δὲ καὶ Διονύσου ναός· ἐπίκλησις μέν ἐστιν αὐτῷ παρὰ τῶν ἐπιχωρίων Ἀκρατοφόρος· τὰ κάτω δὲ οὐκ ἔστι σύνοπτα τοῦ ἀγάλματος ὑπὸ δάφνης τε φύλλων καὶ κισσῶν· ὁπόσον

potes fore. Oresthasii eo responso cognito, optimus quisque certatim in eam expeditionem nomina dedere. Congressi vero cum Lacedaemoniorum praesidio, ratam omni ex parte oraculi vocem fecere. Strenue enim dimicantes, Spartanis pulsis, quum ipsi *ad unum* mortem oppetiissent, Phigalensibus patriam reddidere. (3) Sita est Phigalia edito et praerupto loco, multoque maior moenium pars sub ipsis extructa fuit rupibus. Montis iugum ascendentes excipit plana et minime salebrosa area; in qua Sospitae Dianae aedes est stante marmoreo signo. Ab eo templo more maiorum pompas ducere sollenne habent. (4) In gymnasio simulacrum Mercurii positum est vestiti hominis specie, in quadrangulam figuram desinens, neque pedum tenus expolitum. Libero etiam Patri templum erectum est. Acratophorum cognomento incolae appellant. Signi partes inferiores conspici nequeunt, quod hederae et lauri densa

δὲ αὐτοῦ καθορᾶν ἔστιν, ἐπαλήλιπται κιννάβαρι ἐλλάμπειν· εὑρίσκεσθαι δὲ ὑπὸ τῶν Ἰβήρων ὁμοῦ τῷ χρυσῷ λέγεται.

CAPUT XL.

In Arrhachionis signo priscae formae ratio memoratur — de Arrhachione pancratiasta ob victoriam post mortem ab Eleis coronato — de eodem honore Creuganti habito, et caestibus, qui *μειλίχαι* dicuntur.

682 Φιγαλεῦσι δὲ ἀνδριάς ἐστιν ἐπὶ τῆς ἀγορᾶς Ἀῤῥαχίωνος τοῦ παγκρατιαστοῦ, τά τε ἄλλα ἀρχαῖος, καὶ οὐχ ἥκιστα ἐπὶ τῷ σχήματι· οὐ διεστᾶσι μὲν πολὺ οἱ πόδες, καθεῖνται δὲ παρὰ πλευρὰ αἱ χεῖρες ἄχρι τῶν γλουτῶν· πεποίηται μὲν δὴ ἡ εἰκὼν λίθου· λέγουσι δὲ καὶ ἐπίγραμμα ἐπ' αὐτῇ γραφῆναι· καὶ τοῦτο μὲν ἠφάνιστο ὑπὸ τοῦ χρόνου. (2) Τῷ δὲ Ἀῤῥαχίωνι ἐγένοντο Ὀλυμπιακαὶ νῖκαι, δύο μὲν Ὀλυμπιάσι ταῖς πρὸ τῆς τετάρτης καὶ πεντηκοστῆς· ἐγένετο δὲ καὶ ἐν αὐτῇ σὺν δικαίῳ τε ἐκ τῶν Ἑλλανοδικῶν, καὶ Ἀῤῥαχίωνος αὐτοῦ τῇ ἀρετῇ. ὡς γὰρ δὴ πρὸς τὸν καταλειπόμενον ἔτι τῶν ἀνταγωνιστῶν ἐμάχετο ὑπὲρ τοῦ κοτίνου, ὁ μὲν προέλαβεν ὅστις

fronde velantur: quae in conspectu sunt, cinnabari oblita illuminantur. *Cinnabari ipsum* cum auro erui tradunt ex Iberorum metallis.

Cap. XL. Est Phigalensibus in foro pancratiastae Arrhachionis statua, quum cetera pervetus, tum ipsa maxime figura. Pedes modico distant intervallo: manus lateribus haerent, ad coxendices demissae. E lapide statua est; cui fuisse adscriptum elogium dicunt; sed illud vetustas abolevit. (2) Tulit Arrhachion palmas duas e superioribus Olympiadibus; et quarta supra quinquagesimam tam iusta eorum, qui ludis praesidebant sententia, quam virtute sua *oppido quam insignem* meruit. Quum enim victis aliis adversariis, unus, quo cum de oleastro certaret, relictus

δὴ ὁ ἀνταγωνιζόμενος, καὶ τοῖς ποσὶ τὸν Ἀῤῥαχίωνα εἶχεν ἐξ ἀρχῆς, καὶ τὸν τράχηλον ἐπίεζεν ἅμα αὐτοῦ ταῖς χερσίν· ὁ δὲ Ἀῤῥαχίων ἐκκλᾷ τὸν ἐν τῷ ποδὶ τοῦ ἀνταγωνιζομένου δάκτυλον, καὶ Ἀῤῥαχίων τε τὴν ψυχὴν ἀφίησιν ἀγχόμενος, καὶ ὁ ἄγχων τὸν Ἀῤῥαχίωνα ὑπὸ τοῦ δακτύλου τῆς ὀδύνης κατὰ τὸν καιρὸν ἀπαγορεύει τὸν αὐτόν. Ἠλεῖοι δὲ ἐστεφάνωσάν τε καὶ ἀνηγόρευσαν νικῶντα τοῦ Ἀῤῥαχίονος τὸν νεκρόν. (3) Ἐοικὸς δὲ καὶ Ἀργείους οἶδα ἐπὶ Κρεύγᾳ ποιήσαντας Ἐπιδαμνίῳ πύκτῃ· καὶ γὰρ Ἀργεῖοι τεθνεῶτι ἔδοσαν τῷ Κρεύγᾳ τῶν Νεμείων τὸν στέφανον, ὅτι ὁ πρὸς αὐτὸν μαχόμενος Δαμόξενος Συρακούσιος παρέβη τὰ ὡμολογημένα σφίσιν ἐς ἀλλήλους. ἐφέξειν μὲν γὰρ ἔμελλεν ἑσπέρα πυκτεύουσιν αὐτοῖς· συνέθεντο δὲ ἐς ἐπήκοον, ἀνὰ μέρος τὸν ἕτερον ὑποσχεῖν αὐτῶν τῷ ἑτέρῳ πληγήν. τοῖς δὲ πυκτεύουσιν οὐκ ἦν πω τηνικαῦτα ἱμὰς ὀξὺς ἐπὶ τῷ καρπῷ τῆς χειρὸς ἑκατέρας, ἀλλὰ ταῖς μειλίχαις ἔτι ἐπύκτευον, ὑπὸ τὸ κοῖλον δέοντες τῆς χειρὸς, ἵνα οἱ δάκτυλοι σφίσιν

esset, ille eodem impetu, et pedibus praeventum Arrhachionem incinxit, et manibus collum obstrinxit. Eius digitum Arrhachion pedis infregit; et dum strangulatus iam animam ageret, prae digiti dolore adversarius eodem temporis momento corruit. Elei itaque Arrhachionis cadaveri victoriam et coronam praeconis voce adiudicarunt. (3) Consimile fuisse iudicium Argivorum de Creugante Dyrrhachino pugile novi. Ei enim iam mortuo Nemeorum coronam detulerunt, quod Damoxenus Syracusanus eius adversarius pacta inter ipsos conventa violaret. Nam quum diem pugilatu ad vesperum exemissent, inter eos ita convenerat, cuncta audiente spectatorum corona, ut vicissim alter *in quam iussus esset corporis partem*, singulas alterius plagas acciperet. Nondum instituerant pugiles caestus, attenuato in acutum loro, ad utriusque manus *articulum (quem Graeci καρπὸν vocant)* religare; sed e crudo bovis corio, implicatis arte quadam vetere inter se lorulis (Milichas ap-

ἀπολείπωνται γυμνοί· οἱ δὲ ἐκ βοείας ὠμῆς ἱμάντες λεπτοὶ τρόπον τινὰ ἀρχαῖον πεπλεγμένοι δι' ἀλλήλων ἦσαν αἱ μειλίχαι. τότε οὖν ὁ μὲν τὴν πληγὴν ἀφῆκεν ἐς τοῦ
683 Δαμοξένου τὴν κεφαλήν· ὁ δὲ ἀνασχεῖν τὴν χεῖρα ὁ Δαμόξενος ἐκέλευσε τὸν Κρεύγαν· ἀνασχόντος δέ, παίει τοῖς δακτύλοις ὀρθοῖς ὑπὸ τὴν πλευράν· ὑπό τε ἀκμῆς τε τῶν ὀνύχων καὶ βίας τῆς πληγῆς τὴν χεῖρα ἐς τὸ ἐντὸς καθείς, καὶ ἐπιλαβόμενος τῶν σπλάγχνων ἐς τὸ ἐκτὸς ἕλκων ἀπέρρηξε· καὶ ὁ μὲν τὴν ψυχὴν αὐτίκα ὁ Κρεύγας ἀφίησιν. οἱ δὲ Ἀργεῖοι τὸν Δαμόξενον, ἅτε τὰ συγκείμενα ὑπερβάντα, καὶ ἀντὶ μιᾶς κεχρημένον πολλαῖς ἐς τὸν ἀντίπαλον ταῖς πληγαῖς ἐξελαύνουσι· τῷ Κρεύγᾳ δὲ τὴν νίκην τεθνεῶτι ἔδοσαν· καὶ ἐποιήσαντο εἰκόνα ἐν Ἄργει· καὶ ἐς ἐμὲ ἔκειτο ἐν τῷ Ἀπόλλωνος τοῦ Λυκίου.

pellabant): et ad volas revinctis depugnabant: quo fiebat ut digiti nudi relinquerentur. Tunc quidem Creugas *prior* Damoxeno in caput plagam inflixit. Damoxenus illum manum immotam sustinere iussit. Quod quum ille fecisset, Damoxenus rectis digitis partem eam alvi petiit, quae infra costas est. Ea vero fuit quum unguium duritia, tum percussionis impetus, ut immissa manu viscera apprehenderit, eaque dilaniata extraxerit. Expiravit statim Creugas. Argivi Damoxenum, quod pactis non stetisset, quippe qui non uno, sed pluribus ictibus adversarium confecisset, exilio multarunt: Creugae iam mortuo palmam detulerunt, eidemque statuam Argis posuerunt, quae ad meam usque aetatem in Lycii Apollinis fuit.

CAPUT XLI.

Polyandrium in Phigalensium foro — fluvius Lymax unde dictus — de Neda fluvio — Eurynome eiusque sacris — montibus Phigaliae, Cotylio et Elaio, vico Bassis, et templo Apollinis Epicurii — Lymacis fluvii fonte et loco Cotylo dicto.

Φιγαλεῦσι δὲ ἐπὶ τῆς ἀγορᾶς καὶ πολυάνδριον τῶν λογάδων τῶν Ὀρεσθασίων ἐστὶ, καὶ ὡς ἥρωσιν αὐτοῖς ἐναγίζουσιν ἀνὰ πᾶν ἔτος. (2) Ποταμὸς δὲ ὁ καλούμενος Λύμαξ ἐκδίδωσι μὲν ἐς τὴν Νέδαν παρ' αὐτὴν ῥέων Φιγαλίαν· γενέσθαι δὲ τοὔνομά φασι τῷ ποταμῷ καθαρσίων τῶν Ῥέας εἵνεκα. ὡς γὰρ δὴ τεκοῦσαν τὸν Δία ἐκάθηραν ἐπὶ ταῖς ὠδῖσιν αἱ Νύμφαι, τὰ καθάρματα ἐς τοῦτον ἐμβάλλουσι τὸν ποταμόν· ὠνόμαζον δὲ ἄρα οἱ Ἀχαιοὶ αὐτὰ λύματα, μαρτυρεῖ δὲ καὶ Ὅμηρος, ἀπολυμαίνεσθαί τε ἐπὶ τῇ λύσει τοῦ λοιμοῦ τοὺς Ἕλληνας, καὶ ἐμβάλλειν τὰ λύματα εἰπὼν σφᾶς ἐς θάλασσαν. (3) Εἰσὶ δὲ αἱ πηγαὶ τῆς Νέδας ἐν ὄρει τῷ Κεραυσίῳ· τοῦ Λυκαίου δὲ μοῖρά ἐστι. καθότι δὲ ἐγγύτατα ἡ Νέδα Φιγαλέων τῆς πόλεως γίνεται, κατὰ τοῦτο οἱ Φιγαλέων παῖ-

CAP. XLI. Habet Phigalensium forum, commune sepulcrum lectissimae illius (*de qua ante dictum*) Oresthasiorum manus: iis eodem, quo heroibus ritu quotannis inferias mittunt. (2) Fluvius, qui Lymax dicitur, Phigaliam praeterfluens, cum Neda coniungitur. Hoc ei nominis a Rheae purgatione inditum ferunt, quod nymphae, quum Rheam post sedatos eius partus quo Iovem edidit, dolores, lustralibus aquis lavissent, ista piamina, quae Achaei (?) *λύματα* vocant, in hunc fluvium abiecerunt. Testatur idem Homerus, dum Graecos ob levationem pestis sese lustrasse (?) lustrationisque piamina (*λύματα* et ipse nominat) in mare proiecisse canit. (3) Nedae fontes in Cerausio monte sunt: mons ipse Lycaei pars est. Qua quam proxime ad Phigalensium urbem adlabitur Neda, ibi

δες ἀποκείρονται τῷ ποταμῷ τὰς κόμας· τὰ πρὸς θαλάσσῃ δὲ καὶ ἀναπλεῖται ναυσὶν οὐ μεγάλαις ἡ Νέδα. ποταμῶν δὲ, ὁπόσους ἴσμεν, Μαίανδρος μὲν σκολιῷ μάλιστα κάτεισι τῷ ῥεύματι, ἔς τε τὸ ἄνω καμπὰς, καὶ αὖ
684 θις ἐπιστροφὰς παρεχόμενος πλείστας· δευτέρα δὲ ἑλιγμῶν γε ἕνεκα φέροιτο ἂν ἡ Νέδα. (4) Σταδίοις δὲ ὅσον δώδεκα ἀνωτέρω Φιγαλίας θερμά τέ ἐστι λουτρὰ, καὶ τούτων οὐ πόῤῥω κάτεισιν ὁ Λύμαξ ἐς τὴν Νέδαν· ᾗ δὲ συμβάλλουσι τὰ ῥεύματα, ἔστι τῆς Εὐρυνόμης τὸ ἱερὸν, ἅγιόν τε ἐκ παλαιοῦ, καὶ ὑπὸ τραχύτητος τοῦ χωρίου δυσπρόσοδον· περὶ αὐτὸ καὶ κυπάρισσοι πεφύκασι πολλαί τε καὶ ἀλλήλαις συνεχεῖς. τὴν δὲ Εὐρυνόμην ὁ μὲν τῶν Φιγαλέων δῆμος ἐπίκλησιν εἶναι πεπίστευκεν Ἀρτέμιδος· ὅσοι δὲ αὐτῶν παρειλήφασιν ὑπομνήματα ἀρχαῖα, θυγατέρα Ὠκεανοῦ φασιν εἶναι τὴν Εὐρυνόμην, ἧς καὶ Ὅμηρος ἐν Ἰλιάδι ἐποιήσατο μνήμην, ὡς ὁμοῦ Θέτιδι ὑποδέξαιτο Ἥφαιστον. ἡμέρᾳ δὲ τῇ αὐτῇ κατὰ ἔτος ἕκαστον τὸ ἱερὸν ἀνοιγνύουσι τῆς Εὐρυνόμης· τὸν δὲ ἄλλον χρόνον οὔ σφισιν ἀνοιγνύναι καθέστηκε· τη-

eius civitatis pueri crinem fluvio detondent. Nedae alveus mari proximus navigiis haud sane magnis subnavigatur. Amnium quos novimus omnium maxime obliquo cursu labitur, plurimisque se retro flexibus convertit. Secundas revolutionum nomine Neda sibi vindicare queat. (4) Stadiis fere XII supra Phigaliam, calidarum aquarum balneae sunt; a quibus non longe in Nedam Lymax descendit. In eorum animum confluenti, veteri religione sanctissimum fanum est Eurynomes, ob loci asperitatem aditu difficile. Circa ipsum multae et condensae surgunt cupressi. Eurynomen Phigalensium plebs Dianae cognomen esse credit: quicunque vero antiquitatis monumenta pertractarunt, Oceani fuisse filiam norunt, cuius et Homerus in Iliade fecerit mentionem, quum eam una cum Thetide Vulcanum excepisse dixerit. Stato quotannis die Eurynomes templum aperiunt: aperiri alio tempore mos patrius non est. Sacra eo

νικαῦτα δὲ καὶ θυσίας δημοσίᾳ τε καὶ ἰδιῶται θύουσιν. ἀφικέσθαι μὲν δή μοι τῆς ἑορτῆς οὐκ ἐξεγένετο ἐς καιρὸν, οὐδὲ τῆς Εὐρυνόμης τὸ ἄγαλμα εἶδον· τῶν Φιγαλέων δὲ ἤκουσα, ὡς χρυσαῖ τε τὸ ξόανον συνδέουσιν ἁλύσεις, καὶ εἰκὼν γυναικὸς τὰ ἄχρι τῶν γλουτῶν, τὸ ἀπὸ τούτου δέ ἐστιν ἰχθύς· θυγατρὶ μὲν δὴ Ὠκεανοῦ, καὶ ἐν βυθῷ τῆς θαλάσσης ὁμοῦ Θέτιδι οἰκούσῃ παράσχοιτο ἄν τι ἐς γνώρισμα αὐτῆς ὁ ἰχθύς. Ἀρτέμιδι δὲ οὐκ ἔστιν ὅπως ἂν μετά γε τοῦ εἰκότος λόγου μετείη τοιούτου σχήματος. (5) Περιέχεται δὲ ἡ Φιγαλία ὄρεσιν, ἐν ἀριστερᾷ μὲν ὑπὸ τοῦ καλουμένου Κοτυλίου, τὰ δὲ ἐς δεξιὰν ἕτερον προβεβλημένον ἐστὶν αὐτῆς ὄρος τὸ Ἐλάϊον· ἀπέχει δὲ τῆς πόλεως ἐς τεσσαράκοντα τὸ Κοτύλιον μάλιστα σταδίους· ἐν δὲ τῷ αὐτῷ χωρίον τέ ἐστι καλούμενον Βᾶσσαι, καὶ ὁ ναὸς τοῦ Ἀπόλλωνος τοῦ Ἐπικουρίου, λίθου καὶ αὐτὸς ὄροφος. ναῶν δὲ, ὅσοι Πελοποννησίοις εἰσὶ, μετά γε τὸν ἐν Τεγέᾳ, προτιμῷτο οὗτος ἂν τοῦ λίθου τε ἐς κάλλος καὶ τῆς ἁρμονίας εἵνεκα. τὸ δὲ ὄνομα ἐγένετο τῷ Ἀπόλλωνι ἐπικουρήσαντι ἐπὶ νόσῳ

die publice ac privatim fiunt. Mihi certe non contigit, ut eo tempore adessem; neque Eurynomes simulacrum videre potui. Audivi de Phigalensibus, aureis catenis revinctum esse, foeminea facie usque ad summa femora, cetera piscis figura. Ad filiam igitur Oceani, quae una cum Thetide in mari profundo habitat, cognoscendam afferat aliquid piscis. Quae sane forma nulla satis probabili ratione Dianae convenire posse videatur. (5) Incingitur Phigalia montibus: a laeva Cotylio, a dextera imminet, qui Elaius vocatur. Distat ab urbe Cotylius stadia prope XL. In eo vicus est, cui nomen Bassae (*a vallibus opinor*) et Apollinis Epicurii (*id est Auxiliaris*) aedes, lapideo lacunari. Templorum sane omnium, quae in Peloponneso sunt, excepto eo uno, quod Tegeae est, quum lapidis pulchritudine, tum vero structurae concinnitate, est hoc longe praestantissimum. Cognomen illud est Apollini tributum, quod pestilentia la-

685 λοιμώδει· καθότι καὶ παρ' Ἀθηναίοις ἐπωνυμίαν ἔλαβεν Ἀλεξίκακος, ἀποτρέψας καὶ τούτοις τὴν νόσον· ἔπαυσε δὲ ὑπὸ τὸν τῶν Πελοποννησίων καὶ Ἀθηναίων πόλεμον καὶ τοὺς Φιγαλέας, καὶ οὐκ ἐν ἑτέρῳ καιρῷ· μαρτύρια δὲ αἵ τε ἐπικλήσεις ἀμφότεραι τοῦ Ἀπόλλωνος ἐοικός τι ὑποσημαίνουσαι, καὶ Ἰκτῖνος ὁ ἀρχιτέκτων τοῦ ἐν Φιγαλίᾳ ναοῦ, γεγονὼς τῇ ἡλικίᾳ κατὰ Περικλέα, καὶ Ἀθηναίοις τὸν Παρθενῶνα καλούμενον κατασκευάσας. ἐδίδαξε δὲ ὁ λόγος ἤδη μοι, τὸ ἄγαλμα εἶναι τοῦ Ἀπόλλωνος Μεγαλοπολιτῶν ἐν τῇ ἀγορᾷ. (6) Ἔστι δὲ ὕδατος ἐν τῷ ὄρει τῷ Κοτυλίῳ πηγή· καὶ ὅπου συνέγραψέ τις ἀπὸ ταύτης τῷ ποταμῷ τὸ ῥεῦμα τῷ Λύμακι ἄρχεσθαι, συνέγραψεν οὔτε αὐτὸς θεασάμενος, οὔτε ἀνδρὸς ἀκοῇ ἰδόντος· ἃ καὶ ἀμφότερα παρῆσαν ἐμοί· τὸ μὲν ποταμοῦ ῥεῦμα ὃν ἑωρῶμεν, τῆς δὲ ἐν τῷ Κοτυλίῳ πηγῆς οὐκ ἐπὶ πολὺ ἐξικνούμενον τὸ ὕδωρ, ἀλλὰ ἐντὸς ὀλίγου παντάπασιν ἀφανὲς γινόμενον. οὐ μὴν οὐδὲ ὅσον τῆς

laborantibus opem tulerit: qua etiam de causa est idem Apollo apud Athenienses Alexicacus (*quasi Averruncum dixeris*), quod pestilentem morbum ab ipsis quoque averterit, nuncupatus. Bello certe, quod cum Peloponnesiis Athenienses gessere, neque alio omnino tempore, hoc Dei extitit in Phigalenses meritum. Testatur id tum cognominum rei congruentium similitudo, tum vero quod Ictinus architectus, qui templum exaedificavit Phigaliae, iisdem, quibus Pericles Athenis, temporibus vixit: idemque Atheniensibus *aedem eam*, quem Parthenonem vocant, (*quod est ac si virginum aedem dicas*) erexit. In superiore quidem *huius commentarii parte* expositum est, fuisse Apollinis signum hoc in Megalopolitanorum foro. (6) In Cotylio fons est; a quo, qui Lymacem amnem ortum ducere historiae mandavit, id sane scripsit, quod neque ipse vidit, neque ab iis, qui viderint, audivit. * Nam et amnis profluentem vidimus; et e fonte, qui in Cotylio est, non multum illam quidem manantem aquam; quae intra modicum

Ἀρκάδων ἐστὶν ἡ πηγὴ τῷ Λύμακι, ἐπῆλθε πολυπραγμονῆσαί μοι. ἔστι δὲ ὑπὲρ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Ἐπικουρίου Κότυλον μὲν ἐπίκλησιν· Ἀφροδίτη δέ ἐστιν ἐν τῷ Κοτύλῳ· καὶ αὐτῇ τε ναὸς ἦν οὐκ ἔχων ἔτι ὄροφον, καὶ ἄγαλμα ἐπεποίητο.

CAPUT XLII.

De monte Elaïo et Cereris Nigrae antro — de Cereris luctu et secessu Phigalensium narratio — de Cereris Nigrae prisco signo — illius recentiori signo ab Onata confecto — Cereris Nigrae sacris.

Τὸ δὲ ἕτερον τῶν ὀρῶν τὸ Ἐλάϊον, ἀπωτέρω μὲν Φιγαλίας ὅσον τε σταδίοις τριάκοντά ἐστι· Δήμητρος δὲ ἄντρον αὐτόθι ἱερὸν, ἐπίκλησιν Μελαίνης. (2) Ὅσα μὲν δὴ οἱ ἐν Θελπούσῃ λέγουσιν ἐς μῖξιν τὴν Ποσειδῶνός τε καὶ Δήμητρος, κατὰ ταὐτά σφισιν οἱ Φιγαλεῖς νομίζουσι. τεχθῆναι δὲ ὑπὸ τῆς Δήμητρος οἱ Φιγαλεῖς φασιν οὐχ ἵππον, ἀλλὰ τὴν Δέσποιναν ἐπονομαζομένην ὑπὸ Ἀρκάδων· τὸ δὲ ἀπὸ τούτου λέγουσι θυμῷ τε ἅμα ἐς τὸν Ποσειδῶνα αὐτὴν καὶ ἐπὶ τῆς Περσεφόνης τῇ ἁρπαγῇ πένθει χρωμένην, μέλαιναν ἐσθῆτα ἐνδῦναι, καὶ ἐς

soli spatium evanescit: non tamen in qua esset Arcadiae parte Lymacis fons, in mentem venit curiosius investigare. Est supra Apollinis Epicurii, eo loco, quod cognomento Cotylon appellatur, Veneris aedes sine tecto: in quo signum deae extat.

Cap. XLII. Elaius, mons alter, abest a Phigalia stadia prope XXX. Est eo in loco antrum Cereris cognomento Nigrae. (2) Cum iis certe, quae de Cereris cum Neptuno concubitu Thelpusii prodiderunt, ea conveniunt, quae Phigalenses eadem de re sentiunt. Peperisse vero Cererem non equum memorant, sed eam, quae ab Arcadibus Hera cognominatur: ac nigram quidem illam vestem, tum ira in Neptunum, tum luctu de Proserpinae raptu com-

τὸ σπήλαιον τοῦτο ἐλθοῦσαν ἐπὶ χρόνον ἀπεῖναι πολύν. ὡς δὲ ἐφθείρετο μὲν πάντα, ὅσα ἡ γῆ τρέφει, τὸ δὲ ἀν-
686 θρώπων γένος καὶ ἐς πλέον ἀπώλλυτο ὑπὸ λιμοῦ, θεῶν μὲν ἄλλων ἠπίστατο ἄρα οὐδεὶς, ἔνθα ἀπεκέκρυπτο ἡ Δημήτηρ· τὸν δὲ Πᾶνα ἐπιέναι μὲν τὴν Ἀρκαδίαν, καὶ ἄλλοτε αὐτὸν ἐν ἄλλῳ θηρεύειν τῶν ὀρῶν, ἀφικόμενον δὲ πρὸς τὸ Ἐλάϊον κατοπτεῦσαι τὴν Δήμητρα, σχήματός τε ὡς εἶχε καὶ ἐσθῆτα ἐνεδέδυτο ποίαν· πυθέσθαι δὲ τὸν Δία ταῦτα παρὰ τοῦ Πανὸς, καὶ οὕτως ὑπ' αὐτοῦ πεμφθῆναι τὰς Μοίρας παρὰ τὴν Δήμητρα· τὴν δὲ πεισθῆναί τε ταῖς Μοίραις, καὶ ἀποθέσθαι μὲν τὴν ὀργὴν, ὑφεῖναι δὲ καὶ τῆς λύπης. (3) Σφᾶς δὲ ἀντὶ τούτων φασὶν οἱ Φιγαλεῖς τό τε σπήλαιον νομίσαι τοῦτο ἱερὸν Δήμητρος, καὶ ἐς αὐτὸ ἄγαλμα ἀναθεῖναι ξύλου· πεποιῆσθαι δὲ οὕτω σφίσι τὸ ἄγαλμα· καθέζεσθαι μὲν ἐπὶ πέτρᾳ, γυναικὶ δὲ ἐοικέναι τὰ ἄλλα πλὴν κεφαλήν· κεφαλὴν δὲ καὶ κόμην εἶχεν ἵππου, καὶ δρακόντων τε καὶ ἄλλων θηρίων εἰκόνες προσεπεφύκεσαν τῇ κεφαλῇ· χιτῶν δὲ ἐνεδέδυτο καὶ ἄκρους τοὺς πόδας· δελφὶς δὲ ἐπὶ

motam, sumsisse: in hunc certe specum, quum se abdidisset, diu lucem vitasse. Quum igitur omnes, quos terra educat fructus corrumperentur, et homines passim fames conficeret, diis ceteris Cereris latebras ignorantibus, Pana per Arcadiae montes alias alios inter venandum errantem, quum ad Elaium venisset, ibi Cererem offendisse, tali cum habitu et vestitu: Iovem re de Panos oratione cognita, Parcas misisse; quibus *deprecantibus* compressa ira, et luctu lenito, placata Ceres fuerit. (3) In rei memoriam se Phigalenses dicunt antrum illud cum ligneo simulacro deae dedicasse: simulacrum ita fabricasse, ut saxo insideret muliebri figura, praeter caput, quod equinum atque adeo cum iuba esset, draconibus et aliis feris ad caput alludentibus, reliquo corpore ad imos pedes tunica velato; altera manu delphinem, columbam altera praeferente. Quae simulacri ratio sit, homini neque ulla in re imprudenti, eidemque

τῆς χειρὸς ἦν αὐτῇ, περιστερὰ δὲ ἡ ὄρνις ἐπὶ τῇ ἑτέρᾳ. ἐφ' ὅτῳ μὲν δή οἱ τὸ ξόανον ἐποιήσαντο οὕτως, ἀνδρὶ οὐκ ἀσυνέτῳ γνώμην, ἀγαθῷ δὲ καὶ τὰ ἐς μνήμην, δῆλά ἐστι· Μέλαιναν δὲ ἐπονομάσαι φασὶν αὐτήν, ὅτι καὶ ἡ θεὸς μέλαιναν τὴν ἐσθῆτα εἶχε. τοῦτο μὲν δὴ τὸ ξόανον, οὔτε ὅτου ποίημα ἦν, οὔτε ἡ φλὸξ τρόπον ὅντινα ἐπέλαβεν αὐτὸ, μνημονεύουσιν. (4) Ἀφανισθέντος δὲ τοῦ ἀρχαίου, Φιγαλεῖς οὔτε ἄγαλμα ἄλλο ἀπεδίδοσαν τῇ θεῷ, καὶ ὁπόσα ἐς ἑορτὰς καὶ θυσίας, τὰ πολλὰ δὴ παρῶπτό σφισιν· ἐς ὃ ἡ ἀκαρπία ἐπιλαμβάνει τὴν γῆν, καὶ ἱκετεύσασιν αὐτοῖς χρᾷ τάδε ἡ Πυθία·

Ἀρκάδες Ἀζᾶνες βαλανηφάγοι, οἳ Φιγάλειαν
Νάσσασθ' ἱππολεχοῦς Δηοῦς κρυπτήριον ἄντρον,
Ἥκετε πευσόμενοι λιμοῦ λύσιν ἀλγινόεντος,
Μοῦνοι δὶς νομάδες, μοῦνοι πάλιν ἀγριοδαῖται.
Δηὼ μέν σε ἔπαυσε νομῆς, Δηὼ δὲ νομῆων
Ἐλκησισταχύων, καὶ ἀναστοφάγον πάλι θῆκε, 687
Νοσφισθεῖσα γέρα προτέρων τιμάς τε παλαιάς.

tum aliarum rerum non imperito, tum vero in *antiquitatis* memoria probe versato, satis perspicuum fuerit. Nigram sane appellatam tradunt, quod pullum sumserit vestimentum. Cuius opus ligneum illud fuerit signum, vel quonam modo sit flammis correptum, non est memoriae proditum. (4) Phigalenses quidem illo prisco deleto, aliud non modo non restituere, sed quae ad statas etiam caeremonias et sacra pertinebant, magna ex parte neglexerunt. Quare quum fruges agri ferre desissent, deprecantibus respondit Pythia:

Arcades Azanes vos glandivori, Phigalean
Almae qui Cereris spelaea reposta habitatis:
Scitatum accestis causamque famisque levamen,
Soli bis nomades, baccis bis agrestibus alti.
Ipsa Ceres flavam segetem subtraxit, et ipsa
Foecundam invidit miseris pastoribus herbam.
Praemiaque eripiens et prisci commoda honoris,
Liba iterum donata deis absumere adegit:

Καί σ' ἀλληλοφάγον θήσει τάχα καὶ τεκνοδαίτην,
Εἰ μὴ πανδήμοις λοιβαῖς χόλον ἱλάσσεσθε,
Σήραγγός τε μυχὸν θείαις κοσμήσετε τιμαῖς.

ὡς δὲ οἱ Φιγαλεῖς ἀνακομισθὲν τὸ μάντευμα ἤκουσαν, τά τε ἄλλα ἐς πλέον τιμῆς ἢ τὰ πρότερα τὴν Δήμητρα ἦγον, καὶ Ὀνατᾶν τὸν Μίκωνος Αἰγινήτην πείθουσιν ἐφ' ὅτῳ δὴ μισθῷ ποιῆσαί σφισιν ἄγαλμα Δήμητρος. τοῦ δὲ Ὀνατᾶ τούτου Περγαμηνοῖς ἐστιν Ἀπόλλων χαλκοῦς, θαῦμα ἐν τοῖς μάλιστα μεγέθους τε ἕνεκα καὶ ἐπὶ τῇ τέχνῃ. τότε δὲ ὁ ἀνὴρ οὗτος ἀνευρὼν γραφὴν ἢ μίμημα τοῦ ἀρχαίου ξοάνου, τὰ πλείω τοῦδε, ὡς λέγεται, καὶ κατὰ ὀνειράτων ὄψιν, ἐποίησε χαλκοῦν Φιγαλεῦσιν ἄγαλμα, * γενεαῖς μάλιστα ὕστερον τῆς ἐπὶ τὴν Ἑλλάδα ἐπιστρατείας τοῦ Μήδου. μαρτυρεῖ δέ μοι τῷ λόγῳ· κατὰ γὰρ τὴν Ξέρξου διάβασιν ἐς τὴν Εὐρώπην Συρακουσῶν τε ἐτυράννει καὶ Σικελίας τῆς ἄλλης Γέλων ὁ Δεινομένους· ἐπεὶ δὲ ἐτελεύτησε Γέλων, ἐς Ἱέρωνα ἀδελφὸν Γέλωνος περιῆλθεν ἡ ἀρχή. Ἱέρωνος δὲ ἀποθανόντος πρό-

Coget ea et natos, et mandere membra vicissim,
Ni festo plebes placet libamine divam.
Divinisque sacros exornet honore recessus.

Accepto Phigalenses responso, et aliis maioribus multo quam ante honoribus deam affecerant, et Onatae Miconis filio Aeginetae quanti pepigerat, novum signum faciendum locarunt. Huius Onatae Pergameni ostendunt aeneum Apollinem, tum magnitudine tum artificio spectabilem. Idem sane vir vel priscam aliquam tabulam, vel signum ligneum nactus, ad eius similitudinem aeneum hoc Phigalensibus signum fecit: quin etiam maiorem eius partem ad somniorum imagines effinxisse dicitur. Aetatibus certe aliquot hoc opus fecit post Persarum in Graeciam irruptionem, testimonio orationi meae ea res est, quod Xerxis in Europam transmissio in idem tempus incidit, quo Syracusis et in reliqua Sicilia dominabatur Gelon, Dinomenis filius, cui demortuo Hieron frater successit. Iam vero quum et hic

τερον, πρὶν ἢ τῷ Ὀλυμπίῳ Διὶ ἀναθεῖναι τὰ ἀναθήματα, ἃ εὔξατο ἐπὶ τῶν ἵππων ταῖς νίκαις, οὕτω Δεινομένης Ἱέρωνος ἀπέδωκεν ὑπὲρ τοῦ πατρός· Ὀνατᾶ καὶ ταῦτα ποιήματα. καὶ ἐπιγράμματα ἐν Ὀλυμπίᾳ, τὸ μὲν ὑπὲρ τοῦ ἀναθήματός ἐστιν αὐτῶν·

Σόν ποτε νικήσας, Ζεῦ Ὀλύμπιε, σεμνὸν ἀγῶνα
Τεθρίππῳ μὲν ἅπαξ, μουνοκέλητι δὲ δίς,
Δῶρ' Ἱέρων τάδε σοι ἐχαρίσσατο· παῖς δ' ἀνέθηκε
Δεινομένης πατρὸς μνῆμα Συρακοσίου.

τὸ δὲ ἕτερον λέγει τῶν ἐπιγραμμάτων· 688

Υἱὸς μέν γε Μίκωνος Ὀνατᾶς ἐξετέλεσσε
Νάσῳ ἐν Αἰγίνῃ δώματα ναιετάων.

ἡ δὲ ἡλικία τοῦ Ὀνατᾶ κατὰ τὸν Ἀθηναῖον Ἡγίαν καὶ Ἀγελάδαν συμβαίνει τὸν Ἀργεῖον. (5) Ταύτης μάλιστα ἐγὼ τῆς Δήμητρος ἕνεκα ἐς Φιγαλίαν ἀφικόμην, καὶ ἔθυσα τῇ θεῷ, καθὰ καὶ οἱ ἐπιχώριοι νομίζουσιν, οὐδέν, τὰ δὲ ἀπὸ τῶν δένδρων τῶν ἡμέρων, τά τε ἄλλα, καὶ ἀμ-

e vita excessisset, antequam Olympio Iovi dona quae pro equestribus victoriis voverat, persolvisset, eius filius Dinomenes patris vicem implevit. Sunt vero ea quoque dona Onatae opera. Extant sane in Olympia inscriptiones: inter quas haec dono illorum est addita:

Iupiter, Eleo rediit qui a pulvere victor,
Quadrigaque semel, iniuge bis et equo.
Voverat haec Hieron: natus monumenta parentis
Dinomenes posuit clara Syracosii.

Alterius vero haec est sententia:

Ista Micone satus simulacra effinxit Onatas.
Insula in Aegina cui patria, atque domus.

Aetate floruit Onatas eadem qua Hegias Atheniensis, et Argivus Agelades. (5) Huius ego maxime Cereris *spectandas* causa Phigalian diverti: ac deae quidem hostiam plane nullam cecidi, sed patrio incolarum ritu e conseitis arboribus, et in primis e vite fructus obtuli: favos praeterea, et la-

πέλου καρπὸν, καὶ μελισσῶν τε κηρία, καὶ ἐρίων τὰ μὴ ἐς ἐργασίαν πω ἥκοντα, ἀλλὰ ἔτι ἀνάπλεα τοῦ οἰσύπου, ἃ τιθέασιν ἐπὶ τὸν βωμὸν ᾠκοδομημένον πρὸ τοῦ σπηλαίου· θέντες δὲ καταχέουσιν αὐτῶν ἔλαιον. ταῦτα ἰδιώταις τε ἀνδράσι καὶ ἀνὰ πᾶν ἔτος τῷ κοινῷ καθέστηκεν ἐς τὴν θυσίαν· ἱέρεια δὲ σφίσιν ἐστὶν ἡ δρῶσα, σὺν δὲ αὐτῇ καὶ τῶν ἱεροθυτῶν καλουμένων ὁ νεώτατος· οἱ δέ εἰσι τῶν ἀστῶν τρεῖς ἀριθμόν. (6) Ἔστι δὲ δρυῶν τε ἄλσος περὶ τὸ σπήλαιον, καὶ ὕδωρ ψυχρὸν ἄνεισιν ἐκ τῆς γῆς. τὸ δὲ ἄγαλμα τὸ ὑπὸ τοῦ Ὀνατᾶ ποιηθὲν οὔτε ἦν κατ' ἐμὲ, οὔτε, εἰ ἐγένετο ἀρχὴν Φιγαλεῦσιν, ἠπίσταντο οἱ πολλοί· τῶν δὲ ἐντυχόντων ἡμῖν ἔλεγεν ὁ πρεσβύτατος, γενεαῖς πρότερον τρισὶν ἢ κατ' αὐτὸν ἐμπεσεῖν ἐς τὸ ἄγαλμα ἐκ τοῦ ὀρόφου πέτρας, ὑπὸ τούτων δὲ καταγῆναι καὶ ἐς ἅπαν ἔφασκεν αὐτὸ ἀφανισθῆναι· καὶ ἔν γε τῷ ὀρόφῳ δῆλα καὶ ἡμῖν ἔτι ἦν, καθὰ ἀπερρώγεσαν αἱ πέτραι.

nas, non illas quidem ad lanificii opus purgatas, sed plane succida, et suis sordibus referta vellera, haec enim illi ad aram porriciunt quae pro spelunca extructa est: porrectis oleum superinfundunt; haec sacra cum a privatis hominibus, tum quotannis publico ritu peraguntur. Sacerdos foemina sacris praeest, ministrante e *sacrificulis* (Hierothytas *appellant,*) natu minimo, sunt vero ii tres e civium numero. (6) Ambit speluncam quercuum lucus, praegelida e terra erumpente aqua. Ipsum sane quod Onatas fecerat simulacrum, neque quum ego illuc veni amplius exstabat neque an unquam exstitisset, Phigalensium multitudo compertum habebat; audivi tamen grandem natu hominem, quicum forte sum congressus, quum diceret, tribus ante se natum aetatibus, *vetus illud* signum collapsis e culmine saxis ita confractum, ut species eius omnis pristina aboleretur: et sane in ipso culmine vestigia facile cernebam, unde saxa corruerant.

CAPUT XLIII.

De urbe Pallantio — Euandro Pallantii ad Tiberim conditore — Antonini Pii rebus bello gestis et beneficiis in Graecos et alias gentes collatis — illius filii Antonini rebus gestis.

Ἀπαιτεῖ δὲ ἡμᾶς τὸ μετὰ τοῦτο ὁ λόγος τό τε Παλλάντιον, εἰ δή τι αὐτόθι ἐστὶν ἐς μνήμην, καὶ καθ' ἥντινα βασιλεὺς αἰτίαν Ἀντωνῖνος ὁ πρότερος πόλιν τε ἀντὶ κώμης ἐποίησε Παλλάντιον, καὶ σφισιν ἐλευθερίαν καὶ ἀτέλειαν ἔδωκεν εἶναι φόρων. (2) *Φασὶ δή, καὶ γνώμῃ γενέσθαι καὶ τὰ ἐς πόλεμον ἄριστον τῶν Ἀρκάδων ὄνομα Εὔανδρον· παῖδα δὲ αὐτὸν νύμφης τε εἶναι, θυγατρὸς τοῦ Λάδωνος, καὶ Ἑρμοῦ· σταλέντα δὲ ἐς ἀποικίαν, καὶ ἄγοντα Ἀρκάδων τῶν ἐκ Παλλαντίου στρατιάν, παρὰ τῷ ποταμῷ πόλιν τῷ Θύμβριδι οἰκίσαι· καὶ Ῥωμαίων μέρος τῆς καθ' ἡμᾶς πόλεως, ὅπερ ᾠκεῖτο ὑπὸ τοῦ Εὐάνδρου* 689 *καὶ Ἀρκάδων τῶν συνακολουθησάντων, ὄνομα ἔσχε Παλλάντιον κατὰ μνήμην τῆς ἐν Ἀρκαδίᾳ· χρόνῳ δὲ ὕστερον μετέπεσε τὸ ὄνομα ἐν ἀναιρέσει γραμμάτων τοῦ τε λ καὶ τοῦ ν. τούτων μὲν τῶν λεγομένων ἕνεκα Παλλαντιεῦσιν ἐκ βασιλέως ἐγένοντο δωρεαί.* (3) *Ὁ δὲ Ἀν-*

Cap. XLIII. Postulat locus hic, ut ad Pallantium transeam, quaeque memoratu illic digna, ut oratione persequar: nec omittam, quare Imperator D. Antoninus maior urbem ex pago fecerit, et incolis libertatem, et a tributis immunitatem dederit. (2) Euandrum narrant Nympha Ladonis filia et Mercurio genitum, consilio et bellica virtute Arcadas ceteros antecelluisse. Hunc in coloniam missum, deducta e Pallantio in locum Tiberi proximum Arcadum manu, oppidum condidisse, quod urbis Romae postea pars fuerit: appellatum vero de Arcadici oppidi nomine ab ipso Euandro et inquilinorum comitatu Pallantium: quod nomen consecuta aetas duabus literis L et N submotis immutavit. Haec ipsa res Antoninum Caesarem adduxit, ut de Pallantiensibus quam optime mereretur. (3) Hic Anto-

τωνῖνος, ὅτῳ καὶ ἐς Παλλαντιεῖς ἐστιν εὐεργέτημα, πόλεμον μὲν Ῥωμαίοις ἐθελοντὴς ἐπηγάγετο οὐδένα, πολέμου δὲ ἄρξαντας Μαύρους, Λιβύων τῶν αὐτονόμων τὴν μεγίστην μοῖραν, νομάδας τε ὄντας, καὶ τοσῷδε ἔτι δυσμαχωτέρους τοῦ Σκυθικοῦ γένους, ὅσῳ μὴ ἐπ' ἁμαξῶν, ἐφ' ἵππων δὲ αὐτοί τε καὶ αἱ γυναῖκες ἠλῶντο, τούτους μὲν ἐξ ἁπάσης ἐλαύνων τῆς χώρας ἐς τὰ ἔσχατα ἠνάγκασεν ἀναφυγεῖν Λιβύης, ἐπί τε Ἄτλαντα τὸ ὄρος, καὶ ἐς τοὺς πρὸς τῷ Ἄτλαντι ἀνθρώπους. ἀπετέμετο δὲ καὶ τῶν ἐν Βριττανίᾳ Βριγάντων τὴν πολλήν, ὅτι ἐπεσβαίνειν καὶ οὗτοι σὺν ὅπλοις ἦρξαν ἐς τὴν Γενουνίαν μοῖραν, ὑπηκόους Ῥωμαίων. Λυκίων δὲ καὶ Καρῶν τὰς πόλεις, Κῶν τε καὶ Ῥόδον ἀνέτρεψε μὲν βίαιος εἰς αὐτὰς κατασκήψας σεισμός· βασιλεὺς δὲ Ἀντωνῖνος καὶ ταύτας ἀνεσώσατο δαπανημάτων τε ὑπερβολῇ καὶ ἐς τὸν ἀνοικισμὸν προθυμίᾳ. χρημάτων δὲ ἐπιδόσεις ὁπόσας καὶ Ἕλλησι καὶ
690 τοῦ βαρβαρικοῦ τοῖς δεηθεῖσι, καὶ ὧν ἔργων κατεσκεύασεν ἔν τε τῇ Ἑλλάδι, καὶ περὶ Ἰωνίαν, καὶ περὶ Καρχη-

ninus, qui tam benigne Pallantiensibus fecit, nullius omnino belli gerendi Romanis voluntarius auctor fuit: sed Mauros Libyum suis legibus viventium partem maximam, *vagos et errantes*, (*quippe* qui inter Nomadas censentur) Scythicis gentibus eo minus expugnabiles, quod non plaustris, sed equis cum uxoribus invecti errant: eos ille, quum priores bellum movissent, finibus pulsos suis, in ultimas Africae solitudines ad Atlantem montem, eiusque montis accolas populos expulit. Brigantibus vero, qui in Britannia sunt, quod Genunios populi Romani socios armis lacessierant, magnam agri partem ademit. Praeterea quum Lyciorum et Carum urbes, Coon etiam et Rhodon terrae vehemens motus evertisset, eas Antoninus infinitis prope sumtibus, et summa in coloniis deducendis diligentia restituit. Nam quoties et Graecos et Barbaros inopia laborantes pecunia iuverit; qua operum magnificentia Graeciam, Ioniam, Syriam, et *postremo* Carthaginem exornarit, est

δόντα τε καὶ ἐν γῇ τῇ Σύρων, τάδε μὲν ἄλλοι ἔγραψαν ἐς τὸ ἀκριβέστατον· ὁ δὲ βασιλεὺς ὑπελείπετο οὗτος καὶ ἄλλο τοιόνδε ἐς μνήμην. ὅσοις τῶν ὑπηκόων πολίταις ὑπῆρχεν εἶναι Ῥωμαίων, οἱ δὲ παῖδες ἐτέλουν σφίσιν ἐς τὸ Ἑλληνικὸν, τούτοις ἐλείπετο εἰκότα νεῖμαι τὰ χρήματα ἐς οὐ προσήκοντας, ἢ ἐπαυξῆσαι τὸν βασιλέως πλοῦτον, κατὰ νόμον δή τινα· Ἀντωνῖνος δὲ ἐφῆκε καὶ τούτοις διδόναι σφᾶς παισὶ τὸν κλῆρον, προτιμήσας φανῆναι φιλάνθρωπος ἢ ὠφέλιμον ἐς χρήματα φυλάξαι νόμον. τοῦτον Εὐσεβῆ τὸν βασιλέα ἐκάλεσαν οἱ Ῥωμαῖοι, διότι ἐς τὸ θεῖον τιμῇ μάλιστα ἐφαίνετο χρώμενος. δόξῃ δὲ ἐμῇ καὶ τὸ ὄνομα τὸ Κύρου φέροιτο ἂν τοῦ πρεσβυτέρου, πατὴρ ἀνθρώπων καλούμενος. (4) Ἀπέλιπε δὲ καὶ ἐπὶ τῇ βασιλείᾳ παῖδα ὁμώνυμον. ὁ δὲ Ἀντωνῖνος οὗτος ὁ δεύτερος καὶ τούς τε Γερμανοὺς, μαχιμωτάτους καὶ πλείστους τῶν ἐν τῇ Εὐρώπῃ βαρβάρων, καὶ ἔθνος τὸ Σαυροματῶν, πολέμου καὶ ἀδικίας ἄρξαντας, τιμωρούμενος ἐπεξῆλθε.

ab aliis accuratissime scriptum. Idem Imperator aliud huiusmodi *liberalitatis suae* monumentum reliquit. Lex erat, ut socii, qui iure Quiritium donati essent, si eorum liberi *in officio non permansissent*, *quod scilicet* cum Graecis censeri se mallent, iustam bonorum partem alienis relinquerent, vel *si collibitum fuisset*, in Principis fiscum referrent; licere voluit Antoninus ipsis etiam filios *ex asse* haeredes facere, quum satius esse duceret laudem humanitatis mereri, quam appositam illam ad pecuniam accumulandam legem servare. Hunc Romani Pium *cognomine* appellarunt, quod honorandi numinis divini studiosissimus fuerit: sed opinione mea Cyri etiam maioris cognomen promeruit, ut scilicet *communis* hominum pater diceretur. (4) Imperii reliquit successorem eiusdem nominis filium. Is Germanos omnium totius Europae barbarorum pugnacissimos et numero plurimos, Sarmatarum quoque gentem, a quibus *multis* iniuriis et *iniusto* bello fuerat provocatus, armis domuit.

CAPUT XLIV.

Via a Megalopoli Pallantium et Tegeam versus — urbs Haemoniae, Oresthasii atque Aseae urbis reliquiae — Alphei et Eurotae fluviorum fontes et coniunctio — mons Boreum et locus Choma dictus — memoranda Pallantii, templum Deorum Purorum — campus Manthuricus, mons Cresium et templum Aphnei in eo — fons Leuconius.

Τὰ δὲ ἐπίλοιπα ἡμῖν τοῦ Ἀρκαδικοῦ λόγου, ἔστιν ἐκ
Μεγάλης πόλεως ἐς Παλλάντιον ὁδὸς καὶ ἐς Τεγέαν,
ἄγουσα αὕτη μέχρι τοῦ καλουμένου Χώματος. Κατὰ
ταύτην τὴν ὁδὸν Λαδόκειά σφισιν ὠνόμασται τὰ πρὸ
τοῦ ἄστεως, ἀπὸ Λαδόκου τοῦ Ἐχέμου. (2) Καὶ μετὰ
ταῦτα Αἱμονιαὶ πόλις ἦσαν τὸ ἀρχαῖον· οἰκιστὴς δὲ Αἵ-
μων ἐγένετο αὐταῖς ὁ Λυκάονος· διαμεμένηκε δὲ ἐς τόδε
Αἱμονιὰς τὸ χωρίον τοῦτο ὀνομάζεσθαι. μετὰ δὲ Αἱμονιὰς
ἐν δεξιᾷ τῆς ὁδοῦ πόλεώς ἐστιν Ὀρεσθασίου καὶ ἄλλα
691 ὑπολειπόμενα ἐς μνήμην, καὶ Ἀρτέμιδος ἱεροῦ κίονες
ἔτι· ἐπίκλησις δὲ Ἱέρεια τῇ Ἀρτέμιδί ἐστι. τὴν δὲ εὐ-
θεῖαν ἰόντι ἐξ Αἱμονιῶν, Ἀφροδίσιόν τέ ἐστιν ὀνομαζό-
μενον, καὶ μετ' αὐτὸ ἄλλο χωρίον τὸ Ἀθήναιον· τούτου
δὲ ἐν ἀριστερᾷ ναός ἐστιν Ἀθηνᾶς, καὶ ἄγαλμα ἐν αὐτῷ

Cap. XLIV. Sed reliquas iam partes institutae de Arcadum rebus historiae persequamur. A Megalopoli Pallantium et Tegean usque, ad eum locum, qui Agger dicitur, via ducit. In ea suburbanus *vicus est*, *qui* Ladocea a Ladoco Echemi filio nominatur. (2) Adiacebant priscis temporibus Haemoniae, urbs, cuius fuerat conditor Haemon Lycaonis filius. Usus obtinuit in hoc usque tempus, ut locus ille Haemoniae nominetur. Ab Haemoniis discedenti, ad dexteram viae, Oresthasii urbis et aliae exstant reliquiae, et e Dianae templo columnae. Dianae sane illi cognomentum fuit Sacrificula. Haemoniis recta pergenti *vici* sunt, Aphrodisium primo, ac deinde Athenaeum. In laeva huius parte est Minervae delubrum cum signo lapideo.

λίθου. τοῦ Ἀθηναίου δὲ μάλιστα εἴκοσι ἀπωτέρω σταδίοις ἐρείπια Ἀσέας ἐστὶ, καὶ ὁ λόφος, ἀκρόπολίς ποτε οὖσα, τειχῶν σημεῖα ἔχει καὶ ἐς τόδε. (3) Σταδίους δὲ ὅσον πέντε ἀπὸ Ἀσέας τοῦ Ἀλφειοῦ μὲν ὀλίγον ἄπο τῆς ὁδοῦ, τοῦ δὲ Εὐρώτα παρ' αὐτήν ἐστι πηγὴ τὴν ὁδόν· πρός τε τοῦ Ἀλφειοῦ τῇ πηγῇ ναός τε Μητρὸς θεῶν ἐστιν οὐκ ἔχων ὄροφον, καὶ λέοντες δύο λίθου πεποιημένοι. τοῦ δὲ Εὐρώτα τὸ ὕδωρ ἀνακεράννυται πρὸς τὸν Ἀλφειὸν, καὶ ὅσον ἐπὶ εἴκοσι σταδίους κοινῷ προΐασι τῷ ῥεύματι: κατελθόντες δὲ ἐς χάσμα, ὁ μὲν αὐτῶν ἄνεισιν αὖθις ἐν τῇ γῇ τῇ Λακεδαιμονίων ὁ Εὐρώτας, ὁ δὲ Ἀλφειὸς ἐν Πηγαῖς τῆς Μεγαλοπολίτιδος. (4) Ἔστι δὲ ἄνοδος ἐξ Ἀσέας ἐς τὸ ὄρος τὸ Βόρειον καλούμενον, καὶ ἐπὶ τῇ ἄκρᾳ τοῦ ὄρους σημεῖά ἐστιν ἱεροῦ· ποιῆσαι δὲ τὸ ἱερὸν Ἀθηνᾷ τε σωτείρᾳ καὶ Ποσειδῶνι Ὀδυσσέα ἐλέγετο ἀνακομισθέντα ἐξ Ἰλίου. τὸ δὲ ὀνομαζόμενον Χῶμα ὅροι Μεγαλοπολίταις τῆς γῆς πρὸς Τεγεάτας καὶ Παλλαντιεῖς εἰσι· καὶ τὸ Παλλαντικὸν πεδίον ἐστὶν ἐκτραπεῖσιν ἐς ἀριστερὰν ἀπὸ τοῦ Χώματος. (5) Ἐν δὲ Παλ-

Ab Athenaeo stadia ferme XX, Aseae ruinae distant, et ubi arx olim fuit, tumulus: *arcis* adhuc exstant murorum vestigia. (3) Ab Asea stadia non amplius V, non longe a via, Alphei; deinde iuxta ipsam viam Eurotae fons abest. Alphei fonti Matris deûm aedes proxima est sine tecto: ibi duo sunt leones e lapide. Admiscetur Alpheo Eurotae aqua, fluuntque ambo amnes communi alveo ad stadia prope XX. exceptique *exinde eodem* cuniculo, erumpit Eurotas in Laconica terra, Alpheus in Megalopolitanorum finibus e *novis* emergit fontibus. (4) Ab Asea acclivis est via ad Boreum montem; in cuius summo vertice *veteris* templi vestigia remanent. Templum aedificasse Ulyssem Minervae Sospitae tradunt, et Neptuno, Ilio *in patriam* reducem. Eo certe loco, quem Aggerem vocant, agri fines inter Megalopolitanos, Tegeatas, et Pallantienses sunt. Pallantici quidem campi ad laevam ab Aggere divertentes ex-

λαντίῳ ναός τε καὶ ἀγάλματα λίθου, Πάλλαντος· τὸ δὲ ἕτερόν ἐστιν Εὐάνδρου· καὶ Κόρης τε τῆς Δήμητρος ἱερόν, καὶ οὐ πολὺ ἀπωτέρω Πολυβίου ἀνδριάς ἐστι. τῷ λόφῳ δὲ τῷ ὑπὲρ τῆς πόλεως [ὅσα] ἀκροπόλει τὸ ἀρχαῖον ἐχρῶντο· λείπεται δὲ καὶ ἐς ἡμᾶς ἔτι ἐπὶ κορυφῇ τοῦ λόφου θεῶν ἱερόν· ἐπίκλησις μὲν δή ἐστιν αὐτοῖς Καθαροί, περὶ μεγίστων δὲ αὐτόθι καθεστήκασιν οἱ ὅρκοι· καὶ ὀνόματα μὲν τῶν θεῶν οὐκ ἴσασιν, ἢ καὶ εἰδότες οὐ θέλουσιν ἐξαγορεύειν· Καθαροὺς δὲ ἐπὶ τῷδε ἄν τις κληθῆναι τεκμαίροιτο, ὅτι αὐτοῖς οὐ κατὰ ταὐτὰ
692 ὁ Πάλλας ἔθυσε, καθὰ καὶ ὁ πατήρ οἱ τῷ Λυκαίῳ Διί. (6) Τοῦ δὲ καλουμένου Χώματος ἐν δεξιᾷ πεδίον ἐστὶ τὸ Μανθουρικόν· ἔστι δὲ ἐν ὅροις ἤδη Τεγεατῶν τὸ πεδίον, ὃν σταδίων που πεντήκοντα μάλιστα ἄχρι Τεγέας. ἔστι δὲ ὄρος οὐ μέγα ἐν δεξιᾷ τῆς ὁδοῦ καλούμενον Κρήσιον· ἐν δὲ αὐτῷ τὸ ἱερὸν τοῦ Ἀφνειοῦ πεποίηται. Ἀερόπῃ γὰρ Κηφέως τοῦ Ἀλεοῦ συνεγένετο Ἄρης, καθὰ οἱ

cipiunt. (5) In Pallantio delubrum, et in eo marmoreae statuae Pallantis et Euandri: Proserpinae praeterea *et Cereris* fanum: modico intervallo ostenditur Polybii statua. Eo colle, qui urbi imminet, quoque pro arce priscis temporibus *oppidani* utebantur, manet adhuc in collis vertice fanum deorum, qui Puri cognomine sunt appellati; per quos de rebus maximis iusiurandum concipere religiose sancitum habent. Singulorum certe nomina vel ignorant, vel scientes in vulgus prodenda non putant: sed Puros ex eo vocari coniiciendum relinquitur, quod illis Pallas non eodem ritu sacrum fecit, quo pater eius Iovi Lycaeo. (6) Ad dexteram loci eius, qui Agger dicitur, campi Manthurici sunt. Patent hi iam intra Tegeatûm fines, ad ipsum usque Tegeae oppidum stadia pene L. Ad viae dexteram surgit mons nomine Cresius, non utique magnus: in quo templum aedificarunt Aphnei, *quasi Lacturni, vel Uberis dicas.* Nam quum Aeropae Cephei filiae, Alei nepti, vitium Mars

Τεγεᾶται λέγουσι· καὶ ἡ μὲν ἀφίησιν ἐν ταῖς ὠδῖσι τὴν ψυχήν, ὁ δὲ παῖς καὶ τεθνηκυίας τῆς μητρὸς εἴχετο ἔτι, καὶ ἐκ τῶν μαστῶν εἷλκεν αὐτῆς γάλα πολὺ καὶ ἄφθονον· καὶ (ἦν γὰρ τοῦ Ἄρεως γνώμῃ τὰ γινόμενα) τούτων ἕνεκα Ἀφνειὸν τὸν θεὸν ὀνομάζουσι· τῷ δὲ παιδίῳ ὄνομα τεθῆναί φασιν Ἀέροπον. (7) Ἔστι δὲ κατὰ τὴν ἐς Τεγέαν ὁδὸν Λευκώνιος καλουμένη κρήνη· θυγατέρα δὲ Ἀφιδάντος λέγουσιν εἶναι τὴν Λευκώνην· καὶ οὐ πόρρω τοῦ Τεγεατῶν ἄστεος μνῆμά ἐστι.

CAPUT XLV.

De Tegeatarum regione et urbe — Tegeatarum rebus bello gestis et Ancaei Echemique fortiter factis — templo Minervae Aleae — eius recentioris templi uberior descriptio.

Τεγεᾶται δὲ ἐπὶ μὲν Τεγεάτου τοῦ Λυκάονος τῇ χώρᾳ φασὶν ἀπ' αὐτοῦ γενέσθαι μόνῃ τὸ ὄνομα, τοῖς δὲ ἀνθρώποις κατὰ δήμους εἶναι τὰς οἰκήσεις, Γαρεάτας, καὶ Φυλακεῖς, καὶ Καρυάτας τε καὶ Κορυθεῖς, ἔτι δὲ Ποταχίδας, καὶ Μανθυρεῖς, καὶ Ἐχευήθεις· ἐπὶ δὲ Ἀφεί-

(vulgatus hic est Tegeatarum sermo) obtulisset, puella quidem inter pariendum animam efflavit: at puer matrem complexus iam exanimem, lactis e mamillis eius profluentem copiam hausit; id Martis voluntate fiebat: eius rei gratia Aphnei nomen in deos relatum: puero ipsi Aeropo nomen fuit. (7) Iuxta Tegeaticam viam aqua est cognomento Leuconia, nempe a Leucone puella, quam Aphidantis fuisse filiam tradunt; cuius non procul a Tegeatarum urbe sepulcrum monstratur.

Cap. XLV. Et sub Tegea quidem Lycaonis filio regioni duntaxat ab eo nomen impositum Tegeatae ferunt: incolas ipsos curiatim habitasse, nimirum Gareatas, Phylacenses, Caryatas, Corythenses, Potachidas praeterea, Manthurenses, Echeuethenses. Ad has, dum Aphidas regnaret,

δαντος βασιλεύοντος καὶ ἔνατός σφισι δῆμος προσεγένετο,
Ἀφείδαντες. τῆς δὲ ἐφ' ἡμῶν πόλεως οἰκιστὴς ἐγένετο
Ἀλεός. (2) Τεγεάταις δὲ παρὲξ εἰσὶ μὲν τὰ Ἀρκάδων
κοινὰ ἐς δόξαν, ἐν οἷς ἔστι μὲν ὁ πρὸς Ἰλίῳ πόλεμος,
ἔστι δὲ τὰ Μηδικά τε καὶ ἐν Διπαιεῦσιν ὁ πρὸς Λακε-
δαιμονίους ἀγών· παρὲξ δὲ τῶν κατειλεγμένων ἰδίᾳ Τε-
693 γεάταις ἐστὶν αὐτοῖς τοσάδε ἐς δόξαν. τὸν γὰρ ἐν Κα-
λυδῶνι ὗν Ἀγκαῖος ὑπέμεινεν ὁ Λυκούργου τρωθείς, καὶ
Ἀταλάντη τοξεύει τὸν ὗν, καὶ ἔτυχε πρώτη τοῦ θηρίου·
τούτων εἵνεκα αὐτῇ κεφαλή τε τοῦ ὑὸς καὶ τὸ δέρμα
ἀριστεῖα ἐδόθη. Ἡρακλειδῶν δὲ ἐς Πελοπόννησον κα-
τιόντων Ἔχεμος ὁ Ἀερόπου Τεγεάτης ἐμονομάχησεν ἰδίᾳ
πρὸς Ὕλλον, καὶ ἐκράτησε τοῦ Ὕλλου τῇ μάχῃ. Λακε-
δαιμονίους τε οἱ Τεγεᾶται πρῶτοι Ἀρκάδων σφίσιν ἐπι-
στρατεύσαντας ἐνίκησαν, καὶ αἰχμαλώτους αἱροῦσιν αὐ-
τῶν τοὺς πολλούς.

(3) Τεγεάταις δὲ Ἀθηνᾶς τῆς Ἀλέας τὸ ἱερὸν τὸ ἀρχαῖον ἐποίησεν Ἀλεός· χρόνῳ δὲ ὕστερον κατεσκευά-

nonam accessisse curiam dicunt, Aphidantes. Hanc certe, quae nunc exstat, urbem, coloniam deduxit Aleus. (2) Rerum gestarum Tegeatis cum reliquis nominis Arcadici populis communis fuit gloria, tam ex Troiani quam ex Persici belli temporibus, et ea pugna, quae in Dipaeensibus cum Lacedaemoniis commissa est. Sed privatim propria fuerunt eorum decora, quod et aprum Calydonium Ancaeus Lycurgi filius accepto etiam vulnere sustinuit: et Atalanta quum prima omnium belluam sagitta transfixisset, virtutis ergo, capite et pelle apri donata est. Iam vero redeuntibus in Peloponnesum Herculis liberis, Echemus Aeropi filius e Tegeatis singulari certamine Hyllum superavit. Lacedaemonios etiam armis se invadentes primi omnium Arcadum Tegeatae fuderunt, magnumque captivorum numerum ceperunt. (3) Ac Tegeatis quidem Aleae Minervae vetus templum Aleus aedificavit: interiecto dein tempore

σαντο οἱ Τεγεᾶται τῇ θεῷ ναὸν μέγαν τε καὶ θέας ἄξιον· ἐκεῖνο μὲν δὴ πῦρ ἠφάνισεν ἐπινεμηθὲν ἐξαίφνης, Διοφάντου παρ' Ἀθηναίοις ἄρχοντος, ὑστέρῳ δὲ ἔτει τῆς ἕκτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, ἣν Εὐπόλεμος Ἠλεῖος ἐνίκα στάδιον. (4) Ὁ δὲ ναὸς ὁ ἐφ' ἡμῶν πολὺ δή τι τῶν ναῶν, ὅσοι Πελοποννησίοις εἰσίν, ἐς κατασκευὴν προέχει τὴν ἄλλην καὶ ἐς μέγεθος. ὁ μὲν δὴ πρῶτός ἐστιν αὐτῷ κόσμος τῶν κιόνων Δώριος, ὁ δὲ ἐπὶ τούτῳ Κορίνθιος· ἑστήκασι δὲ καὶ ἐκτὸς τοῦ ναοῦ κίονες ἐργασίας τῆς Ἰώνων. ἀρχιτέκτονα δὲ ἐπυνθανόμην Σκόπαν αὐτοῦ γενέσθαι τὸν Πάριον, ὃς καὶ ἀγάλματα πολλαχοῦ τῆς ἀρχαίας Ἑλλάδος, τὰ δὲ καὶ περὶ Ἰωνίαν τε καὶ Καρίαν ἐποίησε. τὰ δὲ ἐν τοῖς ἀετοῖς, ἔστιν ἔμπροσθεν ἡ θήρα τοῦ ὑὸς τοῦ Καλυδωνίου· πεποιημένου δὲ κατὰ μέσον μάλιστα τοῦ ὑὸς, τῇ μέν ἐστιν Ἀταλάντη, καὶ Μελέαγρος, καὶ Θησεὺς, Τελαμών τε καὶ Πηλεὺς, καὶ Πολυδεύκης, καὶ Ἰόλαος, ὃς τὰ πλεῖστα Ἡρακλεῖ συνέκαμνε τῶν ἔργων, καὶ Θεστίου παῖδες, ἀδελφοὶ δὲ Ἀλθαίας,

aliud ipsi sibi cives erexerunt, et magnitudine, et reliqua exaedificatione spectantium admiratione dignissimum. Nam quum prius illud subito igne conflagrasset, Diophanto Athenis annuum principatum obtinente, anno eo, qui Olympiadem consecutus est XCVI, qua victor e stadio Eleus Eupolemus discessit, ita instauratum est, (4) ut tum loci spatio, tum vero ornatu reliquo facile templa cetera, quae in Peloponneso sunt, superet. Triplex columnarum se attollit ordo: primus est Dorici operis, alter Corinthiaci; tertius extra templum, Ionicae columnae sunt. Architectum fuisse eius operis accepi Scopam Parium, qui signa tum in multis veteris Graeciae locis, tum vero in Ionia et Caria fecit. In fastigii antica parte expressa est apri Calydonii venatio: mediam ferme urgent feram, ab una parte Atalanta, Meleager, Theseus, Telamon, Peleus, Pollux, et Iolaus, qui Herculi aerumnarum maxima ex parte socius fuit: praeterea Thestii filii, Althaeae fratres, Prothous et

πέλου καρπὸν, καὶ μελισσῶν τε κηρία, καὶ ἐρίων τὰ μὴ ἐς ἐργασίαν πω ἥκοντα, ἀλλὰ ἔτι ἀνάπλεα τοῦ οἰσύπου, ἃ τιθέασιν ἐπὶ τὸν βωμὸν ᾠκοδομημένον πρὸ τοῦ σπηλαίου· θέντες δὲ καταχέουσιν αὐτῶν ἔλαιον. ταῦτα ἰδιώταις τε ἀνδράσι καὶ ἀνὰ πᾶν ἔτος τῷ κοινῷ καθέστηκεν ἐς τὴν θυσίαν· ἱέρεια δέ σφίσιν ἐστιν ἡ δρῶσα, σὺν δὲ αὐτῇ καὶ τῶν ἱεροθυτῶν καλουμένων ὁ νεώτατος· οἱ δέ εἰσι τῶν ἀστῶν τρεῖς ἀριθμόν. (6) Ἔστι δὲ δρυῶν τε ἄλσος περὶ τὸ σπήλαιον, καὶ ὕδωρ ψυχρὸν ἄνεισιν ἐκ τῆς γῆς. τὸ δὲ ἄγαλμα τὸ ὑπὸ τοῦ Ὀνατᾶ ποιηθὲν οὔτε ἦν κατ' ἐμὲ, οὔτε, εἰ ἐγένετο ἀρχὴν Φιγαλεῦσιν, ἠπίσταντο οἱ πολλοί· τῶν δὲ ἐντυχόντων ἡμῖν ἔλεγεν ὁ πρεσβύτατος, γενεαῖς πρότερον τρισὶν ἢ κατ' αὐτὸν ἐμπεσεῖν ἐς τὸ ἄγαλμα ἐκ τοῦ ὀρόφου πέτρας, ὑπὸ τούτων δὲ καταγῆναι καὶ ἐς ἅπαν ἔφασκεν αὐτὸ ἀφανισθῆναι· καὶ ἔν γε τῷ ὀρόφῳ δῆλα καὶ ἡμῖν ἔτι ἦν, καθὰ ἀπεῤῥώγεσαν αἱ πέτραι.

nas, non illas quidem ad lanificii opus purgatas, sed plane succida, et suis sordibus referta vellera, haec enim illi ad aram porriciunt quae pro spelunca extructa est: porrectis oleum superinfundunt; haec sacra cum a privatis hominibus, tum quotannis publico ritu peraguntur. Sacerdos foemina sacris praeest, ministrante e *sacrificulis* (Hierothytas *appellant.*) natu minimo, sunt vero ii tres e civium numero. (6) Ambit speluncam quercuum lucus, praegelida e terra erumpente aqua. Ipsum sane quod Onatas fecerat simulacrum, neque quum ego illuc veni amplius exstabat neque an unquam exstitisset, Phigalensium multitudo compertum habebat; audivi tamen grandem natu hominem, quicum forte sum congressus, quum diceret, tribus ante se natum aetatibus, *vetus illud* signum collapsis e culmine saxis ita confractum, ut species eius omnis pristina aboleretur: et sane in ipso culmine vestigia facile cernebam, unde saxa corruerant.

CAPUT XLIII.

De urbe Pallantio — Euandro Pallantii ad Tiberim conditore — Antonini Pii rebus bello gestis et beneficiis in Graecas et alias gentes collatis — illius filii Antonini rebus gestis.

Ἀπάγει δὲ ἡμᾶς τὸ μετὰ τοῦτο ὁ λόγος τό τε Παλλάντιον, εἰ δή τι αὐτόθι ἐστὶν ἐς μνήμην, καὶ καθ᾽ ἥντινα βασιλεὺς αἰτίαν Ἀντωνῖνος ὁ πρότερος πόλιν τε ἀντὶ κώμης ἐποίησε Παλλάντιον, καὶ σφισιν ἐλευθερίαν καὶ ἀτέλειαν ἔδωκεν εἶναι φόρων. (2) Φασὶ δή, καὶ γνώμῃ γενέσθαι καὶ τὰ ἐς πόλεμον ἄριστον τῶν Ἀρκάδων ὄνομα Εὔανδρον· παῖδα δὲ αὐτὸν νύμφης τε εἶναι, θυγατρὸς τοῦ Λάδωνος, καὶ Ἑρμοῦ· σταλέντα δὲ ἐς ἀποικίαν, καὶ ἄγοντα Ἀρκάδων τῶν ἐκ Παλλαντίου στρατιάν, παρὰ τῷ ποταμῷ πόλιν τῷ Θύμβριδι οἰκίσαι· καὶ Ῥωμαίων μέρος τῆς καθ᾽ ἡμᾶς πόλεως, ὅπερ ᾤκειτο ὑπὸ τοῦ Εὐάνδρου 689
καὶ Ἀρκάδων τῶν συνακολουθησάντων, ὄνομα ἔσχε Παλλάντιον κατὰ μνήμην τῆς ἐν Ἀρκαδίᾳ· χρόνῳ δὲ ὕστερον μετέπεσε τὸ ὄνομα ἐν ἀναιρέσει γραμμάτων τοῦ τε λ καὶ τοῦ ν. τούτων μὲν τῶν λεγομένων εἵνεκα Παλλαντιεῦσιν ἐκ βασιλέως ἐγένοντο δωρεαί. (3) Ὁ δὲ Ἀν-

Cap. XLIII. Postulat locus hic, ut ad Pallantium transeam, quaeque memoratu illic digna, ut oratione persequar: nec omittam, quare Imperator D. Antoninus maior urbem ex pago fecerit, et incolis libertatem, et a tributis immunitatem dederit. (2) Euandrum narrant Nympha Ladonis filia et Mercurio genitum, consilio et bellica virtute Arcadas ceteros antecelluisse. Hunc in coloniam missum, deducta e Pallantio in locum Tiberi proximum Arcadum manu, oppidum condidisse, quod urbis Romae postea pars fuerit: appellatum vero de Arcadici oppidi nomine ab ipso Euandro et inquilinorum comitatu Pallantium: quod nomen consecuta aetas duabus literis L et N submotis immutavit. Haec ipsa res Antoninum Caesarem adduxit, ut de Pallanticnsibus quamoptime mereretur. (3) Hic Anto-

τωνῖνος, ὅτῳ καὶ ἐς Παλλαντιεῖς ἐστιν εὐεργέτημα, πόλεμον μὲν Ῥωμαίοις ἐθελοντὴς ἐπηγάγετο οὐδένα, πολέμου δὲ ἄρξαντας Μαύρους, Λιβύων τῶν αὐτονόμων τὴν μεγίστην μοῖραν, νομάδας τε ὄντας, καὶ τοσῷδε ἔτι δυσμαχωτέρους τοῦ Σκυθικοῦ γένους, ὅσῳ μὴ ἐπ' ἁμαξῶν, ἐπὶ ἵππων δὲ αὐτοί τε καὶ αἱ γυναῖκες ἠλῶντο, τούτους μὲν ἐξ ἁπάσης ἐλαύνων τῆς χώρας ἐς τὰ ἔσχατα ἠνάγκασεν ἀναφυγεῖν Λιβύης, ἐπί τε Ἄτλαντα τὸ ὄρος, καὶ ἐς τοὺς πρὸς τῷ Ἄτλαντι ἀνθρώπους. ἀπετέμετο δὲ καὶ τῶν ἐν Βριττανίᾳ Βριγάντων τὴν πολλήν, ὅτι ἐπεσβαίνειν καὶ οὗτοι σὺν ὅπλοις ἦρξαν ἐς τὴν Γενουνίαν μοῖραν, ὑπηκόους Ῥωμαίων. Λυκίων δὲ καὶ Καρῶν τὰς πόλεις, Κῶν τε καὶ Ῥόδον ἀνέτρεψε μὲν βίαιος εἰς αὐτὰς κατασκήψας σεισμός· βασιλεὺς δὲ Ἀντωνῖνος καὶ ταύτας ἀνεσώσατο δαπανημάτων τε ὑπερβολῇ καὶ ἐς τὸν ἀνοικισμὸν προθυμίᾳ. χρημάτων δὲ ἐπιδόσεις ὁπόσας καὶ Ἕλλησι καὶ
690 τοῦ βαρβαρικοῦ τοῖς δεηθεῖσι, καὶ ὧν ἔργων κατεσκεύασεν ἔν τε τῇ Ἑλλάδι, καὶ περὶ Ἰωνίαν, καὶ περὶ Καρχη-

ninus, qui tam benigne Pallantiensibus fecit, nullius omnino belli gerendi Romanis voluntarius auctor fuit: sed Mauros Libyum suis legibus viventium partem maximam, *vagos et errantes*, (*quippe* qui inter Nomadas censentur) Scythicis gentibus eo minus expugnabiles, quod non plaustris, sed equis cum uxoribus invecti errant: eos ille, quum priores bellum movissent, finibus pulsos suis, in ultimas Africae solitudines ad Atlantem montem, eiusque montis accolas populos expulit. Brigantibus vero, qui in Britannia sunt, quod Genunios populi Romani socios armis lacessierant, magnam agri partem ademit. Praeterea quum Lyciorum et Carum urbes, Coon etiam et Rhodon terrae vehemens motus evertisset, eas Antoninus infinitis prope sumtibus, et summa in coloniis deducendis diligentia restituit. Nam quoties et Graecos et Barbaros inopia laborantes pecunia iuverit; qua operum magnificentia Graeciam, Ioniam, Syriam, et *postremo* Carthaginem exornarit, est

δόντα τε καὶ ἐν γῇ τῇ Σύρων, τάδε μὲν ἄλλοι ἔγραψαν ἐς τὸ ἀκριβέστατον· ὁ δὲ βασιλεὺς ὑπελείπετο οὗτος καὶ ἄλλο τοιόνδε ἐς μνήμην. ὅσοις τῶν ὑπηκόων πολίταις ὑπῆρχεν εἶναι Ῥωμαίων, οἱ δὲ παῖδες ἐτέλουν σφίσιν ἐς τὸ Ἑλληνικόν, τούτοις ἐλείπετο εἰκότα νεῖμαι τὰ χρήματα ἐς οὐ προσήκοντας, ἢ ἐπαυξῆσαι τὸν βασιλέως πλοῦτον, κατὰ νόμον δή τινα· Ἀντωνῖνος δὲ ἐφῆκε καὶ τούτοις διδόναι σφᾶς παισὶ τὸν κλῆρον, προτιμήσας φανῆναι φιλάνθρωπος ἢ ὠφέλιμον ἐς χρήματα φυλάξαι νόμον. τοῦτον Εὐσεβῆ τὸν βασιλέα ἐκάλεσαν οἱ Ῥωμαῖοι, διότι ἐς τὸ θεῖον τιμῇ μάλιστα ἐφαίνετο χρώμενος. δόξῃ δὲ ἐμῇ καὶ τὸ ὄνομα τὸ Κύρου φέροιτο ἂν τοῦ πρεσβυτέρου, πατὴρ ἀνθρώπων καλούμενος. (4) Ἀπέλιπε δὲ καὶ ἐπὶ τῇ βασιλείᾳ παῖδα ὁμώνυμον. ὁ δὲ Ἀντωνῖνος οὗτος ὁ δεύτερος καὶ τούς τε Γερμανούς, μαχιμωτάτους καὶ πλείστους τῶν ἐν τῇ Εὐρώπῃ βαρβάρων, καὶ ἔθνος τὸ Σαυροματῶν, πολέμου καὶ ἀδικίας ἄρξαντας, τιμωρούμενος ἐπεξῆλθε.

ab aliis accuratissime scriptum. Idem Imperator aliud huiusmodi *liberalitatis suae* monumentum reliquit. Lex erat, ut socii, qui iure Quiritium donati essent, si eorum liberi *in officio non permansissent*, *quod scilicet* cum Graecis censeri se mallent, iustam bonorum partem alienis relinquerent, vel *si collibitum fuisset*, in Principis fiscum referrent; licere voluit Antoninus ipsis etiam filios *ex asse* haeredes facere, quum satius esse duceret laudem humanitatis mereri, quam appositam illam ad pecuniam accumulandam legem servare. Hunc Romani Pium *cognomine* appellarunt, quod honorandi numinis divini studiosissimus fuerit: sed opinione mea Cyri etiam maioris cognomen promeruit, ut scilicet *communis* hominum pater diceretur. (4) Imperii reliquit successorem eiusdem nominis filium. Is Germanos omnium totius Europae barbarorum pugnacissimos et numero plurimos, Sarmatarum quoque gentem, a quibus *multis* iniuriis et *iniusto* bello fuerat provocatus, armis domuit.

CAPUT XLIV.

Via a Megalopoli Pallantium et Tegeam versus — urbs Haemoniae, Oresthasii atque Aseae urbis reliquiae — Alphei et Eurotae fluviorum fontes et coniunctio — mons Boreum et locus Choma dictus — memoranda Pallantii, templum Deorum Purorum — campus Manthuricus, mons Cresium et templum Aphnei in eo — fons Leuconius.

Τὰ δὲ ἐπίλοιπα ἡμῖν τοῦ Ἀρκαδικοῦ λόγου, ἔστιν ἐκ Μεγάλης πόλεως ἐς Παλλάντιον ὁδὸς καὶ ἐς Τεγέαν, ἄγουσα αὕτη μέχρι τοῦ καλουμένου Χώματος. Κατὰ ταύτην τὴν ὁδὸν Λαδόκειά σφισιν ὠνόμασται τὰ πρὸ τοῦ ἄστεως, ἀπὸ Λαδόκου τοῦ Ἐχέμου. (2) Καὶ μετὰ ταῦτα Αἱμονιαὶ πόλις ἦσαν τὸ ἀρχαῖον· οἰκιστὴς δὲ Αἵμων ἐγένετο αὐταῖς ὁ Λυκάονος· διαμεμένηκε δὲ ἐς τόδε Αἱμονιὰς τὸ χωρίον τοῦτο ὀνομάζεσθαι. μετὰ δὲ Αἱμονιὰς ἐν δεξιᾷ τῆς ὁδοῦ πόλεώς ἐστιν Ὀρεσθασίου καὶ ἄλλα
691 ὑπολειπόμενα ἐς μνήμην, καὶ Ἀρτέμιδος ἱεροῦ κίονες ἔτι· ἐπίκλησις δὲ Ἱέρεια τῇ Ἀρτέμιδί ἐστι. τὴν δὲ εὐθεῖαν ἰόντι ἐξ Αἱμονιῶν, Ἀφροδίσιόν τί ἐστιν ὀνομαζόμενον, καὶ μετ᾽ αὐτὸ ἄλλο χωρίον τὸ Ἀθήναιον· τούτου δὲ ἐν ἀριστερᾷ ναός ἐστιν Ἀθηνᾶς, καὶ ἄγαλμα ἐν αὐτῷ

Cap. XLIV. Sed reliquas iam partes institutae de Arcadum rebus historiae persequamur. A Megalopoli Pallantium et Tegean usque, ad eum locum, qui Agger dicitur, via ducit. In ea suburbanus *vicus est*, *qui* Ladocea a Ladoco Echemi filio nominatur. (2) Adiacebant priscis temporibus Haemoniae, urbs, cuius fuerat conditor Haemon Lycaonis filius. Usus obtinuit in hoc usque tempus, ut locus ille Haemoniae nominetur. Ab Haemoniis discedenti, ad dexteram viae, Oresthasii urbis et aliae exstant reliquiae, et e Dianae templo columnae. Dianae sane illi cognomentum fuit Sacrificula. Haemoniis recta pergenti *vici* sunt, Aphrodisium primo, ac deinde Athenaeum. In laeva huius parte est Minervae delubrum cum signo lapideo.

λίθου. τοῦ Ἀθηναΐου δὲ μάλιστα εἴκοσιν ἀπωτέρω σταδίοις ἐρείπια Ἀσέας ἐστὶ, καὶ ὁ λόφος, ἀκρόπολίς ποτε οὖσα, τείχους σημεῖα ἔχει καὶ ἐς τόδε. (3) Σταδίους δὲ ὅσον πέντε ἀπὸ Ἀσέας τοῦ Ἀλφειοῦ μὲν ὀλίγον ἀπο τῆς ὁδοῦ, τοῦ δὲ Εὐρώτα παρ' αὐτὴν ἐστι πηγὴ τὴν ὁδόν· πρός τε τοῦ Ἀλφειοῦ τῇ πηγῇ ναός τε Μητρὸς θεῶν ἐστιν οὐκ ἔχων ὄροφον, καὶ λέοντες δύο λίθου πεποιημένοι. τοῦ δὲ Εὐρώτα τὸ ὕδωρ ἀνακεράννυται πρὸς τὸν Ἀλφειὸν, καὶ ὅσον ἐπὶ εἴκοσι σταδίους κοινῷ προΐασι τῷ ῥεύματι· κατελθόντες δὲ ἐς χάσμα, ὁ μὲν αὐτῶν ἄνεισιν αὖθις ἐν τῇ γῇ τῇ Λακεδαιμονίων ὁ Εὐρώτας, ὁ δὲ Ἀλφειὸς ἐν Πηγαῖς τῆς Μεγαλοπολίτιδος. (4) Ἔστι δὲ ἄνοδος ἐξ Ἀσέας ἐς τὸ ὄρος τὸ Βόρειον καλούμενον, καὶ ἐπὶ τῇ ἄκρᾳ τοῦ ὄρους σημεῖά ἐστιν ἱεροῦ· ποιῆσαι δὲ τὸ ἱερὸν Ἀθηνᾷ τε σωτείρᾳ καὶ Ποσειδῶνι Ὀδυσσέα ἐλέγετο ἀνακομισθέντα ἐξ Ἰλίου. τὸ δὲ ὀνομαζόμενον Χῶμα ὅροι Μεγαλοπολίταις τῆς γῆς πρὸς Τεγεάτας καὶ Παλλαντιεῦς εἰσι· καὶ τὸ Παλλαντικὸν πεδίον ἐστὶν ἐκτραπεῖσιν ἐς ἀριστερὰν ἀπὸ τοῦ Χώματος. (5) Ἐν δὲ Παλ-

Ab Athenaeo stadia ferme XX, Aseae ruinae distant, et ubi arx olim fuit, tumulus: *arcis* adhuc exstant murorum vestigia. (3) Ab Asea stadia non amplius V, non longe a via, Alphei; deinde iuxta ipsam viam Eurotae fons abest. Alphei fonti Matris deûm aedes proxima est sine tecto: ibi duo sunt leones e lapide. Admiscetur Alpheo Eurotae aqua, fluuntque ambo amnes communi alveo ad stadia prope XX. exceptique *exinde eodem* cuniculo, erumpit Eurotas in Laconica terra, Alpheus in Megalopolitanorum finibus e *novis* emergit fontibus. (4) Ab Asea acclivis est via ad Boreum montem; in cuius summo vertice *veteris* templi vestigia remanent. Templum aedificasse Ulyssem Minervae Sospitae tradunt, et Neptuno, Ilio *in patriam* reducem. Eo certe loco, quem Aggerem vocant, agri fines inter Megalopolitanos, Tegeatas, et Pallantienses sunt. Pallantici quidem campi ad laevam ab Aggere divertentes ex-

λαντίῳ ναός τε καὶ ἀγάλματα λίθου, Πάλλαντος· τὸ δὲ ἕτερόν ἐστιν Εὐάνδρου· καὶ Κόρης τε τῆς Δήμητρος ἱερόν, καὶ οὐ πολὺ ἀπωτέρω Πολυβίου σφίσιν ἀνδριάς ἐστι. τῷ λόφῳ δὲ τῷ ὑπὲρ τῆς πόλεως [ὅσα] ἀκροπόλει τὸ ἀρχαῖον ἐχρῶντο· λείπεται δὲ καὶ ἐς ἡμᾶς ἔτι ἐπὶ κορυφῇ τοῦ λόφου θεῶν ἱερόν· ἐπίκλησις μὲν δή ἐστιν αὐτοῖς Καθαροί, περὶ μεγίστων δὲ αὐτόθι καθεστήκασιν οἱ ὅρκοι· καὶ ὀνόματα μὲν τῶν θεῶν οὐκ ἴσασιν, ἢ καὶ εἰδότες οὐ θέλουσιν ἐξαγορεύειν· Καθαροὺς δὲ ἐπὶ τοῖσδε ἄν τις κληθῆναι τεκμαίροιτο, ὅτι αὐτοῖς οὐ κατὰ ταὐτὰ
692 ὁ Πάλλας ἔθυσε, καθὰ καὶ ὁ πατήρ οἱ τῷ Λυκαίῳ Διί. (6) Τοῦ δὲ καλουμένου Χώματος ἐν δεξιᾷ πεδίον ἐστὶ τὸ Μανθουρικόν· ἔστι δὲ ἐν ὅροις ἤδη Τεγεατῶν τὸ πεδίον, ὂν σταδίων που πεντήκοντα μάλιστα ἄχρι Τεγέας. ἔστι δὲ ὄρος οὐ μέγα ἐν δεξιᾷ τῆς ὁδοῦ καλούμενον Κρήσιον· ἐν δὲ αὐτῷ τὸ ἱερὸν τοῦ Ἀφνειοῦ πεποίηται. Ἀερόπῃ γὰρ Κηφέως τοῦ Ἀλεοῦ συνεγένετο Ἄρης, καθὰ οἱ

cipiunt. (5) In Pallantio delubrum, et in eo marmoreae statuae Pallantis et Euandri: Proserpinae praeterea *et Cereris* fanum: modico intervallo ostenditur Polybii statua. Eo colle, qui urbi imminet, quoque pro arce priscis temporibus *oppidani* utebantur, manet adhuc in collis vertice fanum deorum, qui Puri cognomine sunt appellati; per quos de rebus maximis iusiurandum concipere religione sancitum habent. Singulorum certe nomina vel ignorant, vel scientes in vulgus prodenda non putant: sed Puros ex eo vocari coniiciendum relinquitur, quod illis Pallas non eodem ritu sacrum fecit, quo pater eius Iovi Lycaeo. (6) Ad dexteram loci eius, qui Agger dicitur, campi Manthurici sunt. Patent hi iam intra Tegeatûm fines, ad ipsum usque Tegeae oppidum stadia pene L. Ad viae dexteram surgit mons nomine Cresius, non utique magnus: in quo templum aedificarunt Aphnei, *quasi Lacturni, vel Uberis dicas.* Nam quum Aeropae Cephei filiae, Alei nepti, vitium Mars

Τεγεᾶται λέγουσι· καὶ ἡ μὲν ἀφίησιν ἐν ταῖς ὠδῖσι τὴν ψυχήν, ὁ δὲ παῖς καὶ τεθνηκυίας τῆς μητρὸς εἴχετο ἔτι, καὶ ἐκ τῶν μαστῶν εἷλκεν αὐτῆς γάλα πολὺ καὶ ἄφθονον· καὶ (ἦν γὰρ τοῦ Ἄρεως γνώμῃ τὰ γινόμενα) τούτων ἕνεκα Ἀφνειὸν τὸν θεὸν ὀνομάζουσι· τῷ δὲ παιδίῳ ὄνομα τεθῆναί φασιν Ἀέροπον. (7) Ἔστι δὲ κατὰ τὴν ἐς Τεγέαν ὁδὸν Λευκώνιος καλουμένη πηγή· θυγατέρα δὲ Ἀφείδαντος λέγουσιν εἶναι τὴν Λευκώνην· καὶ οὐ πόρρω τοῦ Τεγεατῶν ἄστεος μνῆμά ἐστι.

CAPUT XLV.

De Tegeatarum regione et urbe — Tegeatarum rebus bello gestis et Ancaei Echemique fortiter factis — templo Minervae Aleae — eius recentioris templi uberior descriptio.

Τεγεᾶται δὲ ἐπὶ μὲν Τεγεάτου τοῦ Λυκάονος τῇ χώρᾳ φασὶν ἀπ' αὐτοῦ γενέσθαι μόνῃ τὸ ὄνομα, τοῖς δὲ ἀνθρώποις κατὰ δήμους εἶναι τὰς οἰκήσεις, Γαρεάτας, καὶ Φυλακεῖς, καὶ Καρυάτας τε καὶ Κορυθεῖς, ἔτι δὲ Ποταχίδας, καὶ Μανθυρεῖς, καὶ Ἐχευήθεις· ἐπὶ δὲ Ἀφεί-

(vulgatus hic est Tegeatarum sermo) obtulisset, puella quidem inter pariendum animam efflavit: at puer matrem complexus iam exanimem, lactis e mamillis eius profluentem copiam hausit; id Martis voluntate fiebat: eius rei gratia Aphnei nomen in deos relatum: puero ipsi Aeropo nomen fuit. (7) Iuxta Tegeaticam viam aqua est cognomento Leuconia, nempe a Leucone puella, quam Aphidantis fuisse filiam tradunt; cuius non procul a Tegeatarum urbe sepulcrum monstratur.

Cap. XLV. Et sub Tegea quidem Lycaonis filio regioni duntaxat ab eo nomen impositum Tegeatae ferunt: incolas ipsos curiatim habitasse, nimirum Gareatas, Phylacenses, Caryatas, Corythenses, Potachidas praeterea, Manthurenses, Echeuethenses. Ad has, dum Aphidas regnaret,

δαντος βασιλεύοντος καὶ ἔνατός σφισι δῆμος προσεγένετο, Ἀφειδάντες. τῆς δὲ ἐφ' ἡμῶν πόλεως οἰκιστὴς ἐγένετο Ἀλεός. (2) Τεγεάταις δὲ παρὲξ εἰσὶ μὲν τὰ Ἀρκάδων κοινὰ ἐς δόξαν, ἐν οἷς ἐστι μὲν ὁ πρὸς Ἰλίῳ πόλεμος, ἔστι δὲ τὰ Μηδικά τε καὶ ἐν Διπαιεῦσιν ὁ πρὸς Λακεδαιμονίους ἀγών· παρὲξ δὲ τῶν κατειλεγμένων ἰδίᾳ Τε-
693 γεάταις ἐστὶν αὐτοῖς τοσάδε ἐς δόξαν. τὸν γὰρ ἐν Καλυδῶνι ὗν Ἀγκαῖος ὑπέμεινεν ὁ Λυκούργου τρωθείς, καὶ Ἀταλάντη τοξεύει τὸν ὗν, καὶ ἔτυχε πρώτη τοῦ θηρίου· τούτων εἵνεκα αὐτῇ κεφαλή τε τοῦ ὑὸς καὶ τὸ δέρμα ἀριστεῖα ἐδόθη. Ἡρακλειδῶν δὲ ἐς Πελοπόννησον κατιόντων Ἔχεμος ὁ Ἀερόπου Τεγεάτης ἐμονομάχησεν ἰδίᾳ πρὸς Ὕλλον, καὶ ἐκράτησε τοῦ Ὕλλου τῇ μάχῃ. Λακεδαιμονίους τε οἱ Τεγεᾶται πρῶτοι Ἀρκάδων σφίσιν ἐπιστρατεύσαντας ἐνίκησαν, καὶ αἰχμαλώτους αἱροῦσιν αὐτῶν τοὺς πολλούς.

(3) Τεγεάταις δὲ Ἀθηνᾶς τῆς Ἀλέας τὸ ἱερὸν τὸ ἀρχαῖον ἐποίησεν Ἀλεός· χρόνῳ δὲ ὕστερον κατεσκευά-

nonam accessisse curiam dicunt, Aphidantes. Hanc certe, quae nunc exstat, urbem, coloniam deduxit Aleus. (2) Rerum gestarum Tegeatis cum reliquis nominis Arcadici populis communis fuit gloria, tam ex Troiani quam ex Persici belli temporibus, et ea pugna, quae in Dipaeensibus cum Lacedaemoniis commissa est. Sed privatim propria fuerunt eorum decora, quod et aprum Calydonium Ancaeus Lycurgi filius accepto etiam vulnere sustinuit: et Atalanta quum prima omnium belluam sagitta transfixisset, virtutis ergo, capite et pelle apri donata est. Iam vero redeuntibus in Peloponnesum Herculis liberis, Echemus Aeropi filius e Tegeatis singulari certamine Hyllum superavit. Lacedaemonios etiam armis se invadentes primi omnium Arcadum Tegeatae fuderunt, magnumque captivorum numerum ceperunt. (3) Ac Tegeatis quidem Aleae Minervae vetus templum Aleus aedificavit: interiecto dein tempore

σαντο οἱ Τεγεᾶται τῇ θεῷ ναὸν μέγαν τε καὶ θέας ἄξιον· ἐκεῖνο μὲν δὴ πῦρ ἠφάνισεν ἐπινεμηθὲν ἐξαίφνης, Διοφάντου παρ' Ἀθηναίοις ἄρχοντος, ὑστέρῳ δὲ ἔτει τῆς ἕκτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, ἣν Εὐπόλεμος Ἠλεῖος ἐνίκα στάδιον. (4) Ὁ δὲ ναὸς ὁ ἐφ' ἡμῶν πολὺ δή τι τῶν ναῶν, ὅσοι Πελοποννησίοις εἰσίν, ἐς κατασκευὴν προέχει τὴν ἄλλην καὶ ἐς μέγεθος. ὁ μὲν δὴ πρῶτός ἐστιν αὐτῷ κόσμος τῶν κιόνων Δώριος, ὁ δὲ ἐπὶ τούτῳ Κορίνθιος· ἑστήκασι δὲ καὶ ἐκτὸς τοῦ ναοῦ κίονες ἐργασίας τῆς Ἰώνων. ἀρχιτέκτονα δὲ ἐπυνθανόμην Σκόπαν αὐτοῦ γενέσθαι τὸν Πάριον, ὃς καὶ ἀγάλματα πολλαχοῦ τῆς ἀρχαίας Ἑλλάδος, τὰ δὲ καὶ περὶ Ἰωνίαν τε καὶ Καρίαν ἐποίησε. τὰ δὲ ἐν τοῖς ἀετοῖς, ἔστιν ἔμπροσθεν ἡ θήρα τοῦ ὑὸς τοῦ Καλυδωνίου· πεποιημένου δὲ κατὰ μέσον μάλιστα τοῦ ὑός, τῇ μέν ἐστιν Ἀταλάντη, καὶ Μελέαγρος, καὶ Θησεύς, Τελαμών τε καὶ Πηλεύς, καὶ Πολυδεύκης, καὶ Ἰόλαος, ὃς τὰ πλεῖστα Ἡρακλεῖ συνέκαμνε τῶν ἔργων, καὶ Θεστίου παῖδες, ἀδελφοὶ δὲ Ἀλθαίας,

aliud ipsi sibi cives erexerunt, et magnitudine, et reliqua exaedificatione spectantium admiratione dignissimum. Nam quum prius illud subito igne conflagrasset, Diophanto Athenis annuum principatum obtinente, anno eo, qui Olympiadem consecutus est XCVI, qua victor e stadio Eleus Eupolemus discessit, ita instauratum est, (4) ut tum loci spatio, tum vero ornatu reliquo facile templa cetera, quae in Peloponneso sunt, superet. Triplex columnarum se attollit ordo: primus est Dorici operis, alter Corinthiaci; tertius extra templum, Ionicae columnae sunt. Architectum fuisse eius operis accepi Scopam Parium, qui signa tum in multis veteris Graeciae locis, tum vero in Ionia et Caria fecit. In fastigii antica parte expressa est apri Calydonii venatio: mediam ferme urgent feram, ab una parte Atalanta, Meleager, Theseus, Telamon, Peleus, Pollux, et Iolaus, qui Herculi aerumnarum maxima ex parte socius fuit: praeterea Thestii filii, Althaeae fratres, Prothous et

Πρόθους καὶ Κομήτης· κατὰ δὲ ὗς τὰ ἕτερα, Ἀγκαῖον ἔχοντα ἤδη τραύματα, καὶ ἀφέντα τὸν πέλεκυν ἀνέχων ἐστὶν Ἔποχος· παρὰ δὲ αὐτὸν Κάστωρ καὶ Ἀμφιάραος ὁ Ὀικλέους· ἐπὶ δὲ αὐτοῖς Ἱππόθους ὁ Κερκυόνος τοῦ Ἀγαμήδους τοῦ Στυμφήλου· τελευταῖος δέ ἐστιν εἰργασμένος Πειρίθους. τὰ δὲ ὄπισθεν πεποιημένα ἐν τοῖς ἀετοῖς, Τηλέφου πρὸς Ἀχιλλέα ἐστὶν ἐν Καΐκου πεδίῳ μάχη.

CAPUT XLVI.

Minervae Aleae priscum signum et apri Calydonii dentes ab imperatore Augusto ablati — plura deorum signa diversis in locis bello ablata memorantur.

694 Τῆς δὲ Ἀθηνᾶς τὸ ἄγαλμα τῆς Ἀλέας τὸ ἀρχαῖον, σὺν δὲ αὐτῷ καὶ ὑὸς τοῦ Καλυδωνίου τοὺς ὀδόντας ἔλαβεν ὁ Ῥωμαίων βασιλεὺς Αὔγουστος, Ἀντώνιον πολεμῶν, καὶ τὸ Ἀντωνίου νικήσας συμμαχικὸν, ἐν ᾧ καὶ οἱ Ἀρκάδες πλὴν Μαντινέων ἦσαν οἱ ἄλλοι. (2) Φαίνεται δὲ οὐκ ἄρξας ὁ Αὔγουστος ἀναθήματα καὶ ἕδη θεῶν ἀπάγεσθαι παρὰ τῶν κρατηθέντων, καθεστηκότι δὲ ἐκ παλαιοῦ χρη-

Cometes: ad alterum belluae latus Ancaeum iam saucium securimque abiicientem Epochus sublevat. Adstant Castor, et Oiclis filius Amphiaraus: adsistunt etiam Hippothous Cercyonis filius, Agamedis nepos, Stymphali pronepos, postremus omnium in eo opere est Pirithous. Postica fastigii pars pugnam habet Telephi et Achillis in Caici campis.

Cap. XLVI. Vetus Minervae Aleae signum, et simul Calydonii apri dentes asportavit Caesar Augustus, victo Antonio eiusque partibus, in quibus Arcades *prope* omnes fuere praeter Mantinenses. (2) Non primus tamen Augustus proditur deorum signa ac donaria devictis a se gentibus eripuisse; sed fuit hoc ei a priscis iam tum temporibus

σάμενος. Ἰλίου τε γὰρ ἁλούσης καὶ νεμομένων τὰ λάφυρα Ἑλλήνων, Σθενέλῳ τῷ Καπανέως τὸ ξόανον τοῦ Διὸς ἐδόθη τοῦ Ἑρκείου· καὶ ἔτεσιν ὕστερον πολλοῖς Δωριέων ἐς Σικελίαν ἐσοικιζομένων, Ἀντίφημος ὁ Γέλας οἰκιστής, πόλισμα Σικανῶν Ὀμφάκην πορθήσας, μετακόμισεν ἐς Γέλαν ἄγαλμα ὑπὸ Δαιδάλου πεποιημένον. βασιλέα τε τῶν Περσῶν Ξέρξην τὸν Δαρείου, χωρὶς ὅσα ἐξεκόμισε τοῦ Ἀθηναίων ἄστεως, τοῦτο μὲν ἐκ Βραυρῶνος ἄγαλμα ἴσμεν τῆς Βραυρωνίας λαβόντα Ἀρτέμιδος, τοῦτο δὲ αἰτίαν ἐπενεγκὼν Μιλησίοις, ἐθελοκακῆσαι σφᾶς ἐναντία Ἀθηναίων ἐν τῇ Ἑλλάδι ναυμαχήσαντας, τὸν χαλκοῦν ἔλαβεν Ἀπόλλωνα τὸν ἐν Βραγχίδαις· καὶ τὸν μὲν ὕστερον ἔμελλε χρόνῳ Σέλευκος καταπέμψειν Μιλησίοις. Ἀργείοις δὲ τὰ ἐκ Τίρυνθος ἔτι καὶ ἐς ἐμὲ, τὸ μὲν παρὰ τὴν Ἥραν ξόανον, τὸ δὲ ἐν τῷ τοῦ Ἀπόλλωνός ἐστιν ἀνακείμενον τοῦ Ἡλείου. Κυζικηνοί τε ἀναγκάσαντες πολέμῳ Προκοννησίους γενέσθαι σφίσι συνοίκους, Μητρὸς Δινδυμήνης ἄγαλμα ἔλαβον ἐκ Προκον-

tralatitium: siquidem exciso Ilio quum inter se Graeci spolia dividerent, Sthenelo Capanei filio Hercei Iovis signum obtigit. Multisque post annis quum Dorienses in Siciliam transmigrarent, Antiphemus, is qui Gelan deduxit, Omphace Sicanorum oppido direpto simulacrum a Daedalo fabricatum Gelan deportavit. Persarum vero regem Xerxem Darii filium, praeter ea *ornamenta*, quae ex ipsa Athenarum urbe amovit, scimus et ex Braurone Brauroniae Dianae signum avexisse: eundemque Milesiis criminatum quod illi de industria navali praelio in Graecia cum Atheniensibus infelicius pugnassent, aeneum, qui in Branchidis fuerat, Apollinem ademisse; quem multis post annis Seleucus iisdem remisit Milesiis. Argivis hac ipsa etiamnum aetate, signa quae ex Tiryntho ablata fuerant, alterum in Iunonis, in Apollinis Elei alterum reposita sunt. Iam Cyziceni quum Proconnesios bello adegissent ut sibi inquilini essent, Dindymenae matris signum e Proconneso asportarunt: aureum

νήσου· τὸ δὲ ἄγαλμά ἐστι χρυσοῦ, καὶ αὐτοῦ τὸ πρόσωπον ἀντὶ ἐλέφαντος ἵππων τῶν ποταμίων ὀδόντες εἰσὶν εἰργασμένοι. βασιλεὺς μὲν δὴ Αὔγουστος καθεστηκότα ἐκ παλαιοῦ, καὶ ὑπό τε Ἑλλήνων νομιζόμενα καὶ βαρβάρων, εἰργάσατο. Ῥωμαίοις δὲ τῆς Ἀθηνᾶς τὸ ἄγαλμα τῆς Ἀλέας ἐς τὴν ἀγορὰν, τὴν ὑπὸ Αὐγούστου ποιηθεῖσαν, ἐς ταύτην ἐστὶν ἰόντι· τοῦτο μὲν δὴ ἐνταῦθα ἀνά-
695 κειται ἐλέφαντος διὰ παντὸς πεποιημένον, τέχνη δὲ Ἐνδοίου, τοῦ δὲ ὑὸς τῶν ὀδόντων κατεάχθαι μὲν τὸν ἕτερόν φασιν οἱ ἐπὶ τοῖς θαύμασιν· ὁ δὲ ἔτι ἐξ αὐτῶν λειπόμενος ἀνέκειτο ἐν βασιλέως κήποις, ἐν ἱερῷ Διονύσου, τὴν περίμετρον τοῦ μήκους περιεχόμενος ἐς ἥμισυ μάλιστα ὀργυιᾶς.

CAPUT XLVII.

De recentiori Minervae Aleae signo — donaria et memoranda templi Aleae Minervae recensentur — de ludis, qui Alaea et Halotia dicebantur — templo Minervae Poliatidos et Dianae Hegemones.

Τὸ δὲ ἄγαλμα ἐν Τεγέᾳ τὸ ἐφ' ἡμῶν ἐκομίσθη μὲν ἐκ δήμου τοῦ Μανθουρέων, Ἱππία δὲ παρὰ τοῖς Μανθου-

illud fuit: facies, quum ebur deesset, e fluvialis equi dentibus est fabricata. Augustus ergo (ut ad eum redeamus) *in signis ac donis auferendis*, et Graecorum et Barbarorum iam longe usu confirmata est exempla secutus. Ac Aleae quidem Minervae signum Romani positum habent in eius fori aditu, quod est ab Augusto dedicatum. Est vero signum id ex ebore totum: Endius opus fecit. Ex apri dentibus alterum effractum dicunt ii, quorum curae sunt huiusmodi miracula commissa; alter in Liberi Patris aede, quae est in Caesaris hortis, suspensus visitur; nihilo ille quidem passus unius dimidio brevior.

Cap. XLVII. *Aleae* quod nunc Tegeae signum est, e curia Manthuriensium, apud quos deae Hippiae (*hoc est*

ρεῦσιν εἶχεν ἐπίκλησιν, ὅτι τῷ ἐκείνων λόγῳ γινομένης τοῖς θεοῖς πρὸς Γίγαντας μάχης ἐπήλασεν Ἐγκελάδῳ ἵππων τὸ ἅρμα. Ἀλέαν μέντοι καλεῖσθαι καὶ ταύτην ἔς τε Ἕλληνας τοὺς ἄλλους καὶ ἐς αὐτοὺς Πελοποννησίους ἐκνενίκηκε. τῷ δὲ ἀγάλματι τῆς Ἀθηνᾶς τῇ μὲν Ἀσκληπιὸς, τῇ δὲ Ὑγίεια παρεστῶσά ἐστι λίθου τοῦ Πεντελησίου, Σκόπα δὲ ἔργα Παρίου. (2) Ἀναθήματα δὲ ἐν τῷ ναῷ τὰ ἀξιολογώτατα, ἔστι μὲν τὸ δέρμα ὑὸς τοῦ Καλυδωνίου· διεσήπετο δὲ ὑπὸ τοῦ χρόνου, καὶ ἐς ἅπαν ἦν τριχῶν ἤδη ψιλόν. εἰσὶ δὲ αἱ πέδαι κρεμάμεναι, πλὴν ὅσας ἠφάνισεν αὐτῶν ὁ χρόνος, [ἢ] ὅσας γε ἔχοντες Λακεδαιμονίων οἱ αἰχμάλωτοι τὸ πεδίον Τεγεάταις ἔσκαπτον. κλίνη τε ἱερὰ τῆς Ἀθηνᾶς, καὶ αὐτῆς εἰκὼν γραφῇ μεμιμημένη, Μαρπήσσης τε, ἐπίκλησιν Χήρας, γυναικὸς Τεγεάτιδος ἀνάκειται τὸ ὅπλον· ταύτης μὲν δὴ ποιησόμεθα καὶ ὕστερον μνήμην. ἱερᾶται δὲ τῇ Ἀθηνᾷ παῖς χρόνον οὐκ οἶδα ὅσον τινὰ, πρὶν δὲ ἡβάσκειν, καὶ οὐ

Equestris) cognomento colebatur, deportatum fuit. *Cognominis ea fuerat causa*, quod in Deorum adversus Gigantes pugna Manthurienses ipsi prodidere, deam in Enceladum bigas immisisse. Sed Alean vocari eam, et apud Graecos reliquos, et apud Peloponnesios maxime usus obtinuit. Deae quidem adsistunt hinc Aesculapius, illinc Hygia e Pentelico marmore, Scopae Parii opera. (2) In templo memoratu dignissima dona sunt: Apri Calydonii corium, putre iam prae vetustate, et setis undique nudatum. Sunt praeterea suspensae compedes illae, etsi ex illis multas temporis longinquitas abolevit, quibus vincti Lacedaemonii captivi, Tegeatis in agro fodiendo opus faciebant. Lectus praeterea Minervae sacer, eiusque imago pingendo efficta. Ad haec Tegeatidis foeminae, Viduae cognomento, scutum: sed huius mulieris posterius mentionem faciemus. Deae rem divinam facit puella. Quam longum tempus *virginitatem conservet*, non satis scio: illud habeo compertum,

πρόσω, τὴν ἱερωσύνην. τῇ θεῷ δὲ ποιηθῆναι τὸν βωμὸν ὑπὸ Μελάμποδος τοῦ Ἀμυθάονος λέγουσιν· εἰργασμένοι δὲ ἐπὶ τῷ βωμῷ, Ῥέα μὲν καὶ Οἰνόη νύμφη παῖδα ἔτι νήπιον Δία ἔχουσιν· ἑκατέρωθεν δέ εἰσι τέσσαρες ἀριθμὸν, Γλαύκη, καὶ Νέδα, καὶ Θεισόα, καὶ Ἀνθρακία, τῇ δὲ Ἴδη, καὶ Ἁγνὼ, καὶ Ἀλκινόη τε καὶ Φρίξα. πεποίηνται δὲ καὶ Μουσῶν καὶ Μνημοσύνης ἀγάλματα. (3) Τοῦ ναοῦ δὲ οὐ πόρρω στάδιον, χῶμα γῆς, ἔστι, καὶ ἄγουσιν ἀγῶνας ἐνταῦθα, τὸν μὲν Ἀλαῖα ὀνομάζον-
696 τες ἀπὸ τῆς Ἀθηνᾶς, τὸν δὲ Ἁλώτια, ὅτι Λακεδαιμονίων τὸ πολὺ ἐν τῇ μάχῃ ζῶντας εἷλον. ἔστι δὲ ἐν τοῖς πρὸς ἄρκτον τοῦ ναοῦ κρήνη· καὶ ἐπὶ ταύτῃ βιασθῆναι τῇ κρήνῃ φασὶν Αὔγην ὑπὸ Ἡρακλέους, οὐχ ὁμολογοῦντες Ἑκαταίῳ τὰ ἐς αὐτήν. ἀπωτέρω δὲ τῆς κρήνης ὅσον σταδίοις τρισίν ἐστιν Ἑρμοῦ ναὸς Αἰπύτου. (4) Τεγεάταις δέ ἐστι καὶ ἄλλο ἱερὸν Ἀθηνᾶς Πολιάτιδος· ἑκάστου δὲ ἅπαξ ἔτους ἱερεὺς ἐς αὐτὸ εἴσεισι· τὸ τοῦ ἐρύματος δὲ ἱερὸν ὀνομάζουσι, λέγοντες, ὡς Κηφεῖ

antequam pubescat, se illam sacerdotio abdicare. Erectam a Melampode Amythaonis filio aram Minervae tradunt. Arae insistunt Rhea, et Oenoe Nympha, parvulum Iovem tenentes, utrinque quaternis adsistentibus Nymphis: *ab una parte* Glauce, Neda, Thisoa, et Anthracia: ab altera, Ida, Hagno, Alcinoe, et Phrixa. Musarum etiam ibidem et Mnemosynes signa sunt. (3) A templo non longe stadium est, terrae agger, ad quem ludos faciunt, Alaea, de Minervae nomine; et Hilotia, ex eo, quod in pugna vivos e Lacedaemoniis multos ceperant. Ad eam templi partem, quae ad Aquilonem spectat, fons est: prope quem vitiatam ab Hercule Augen ferunt: quod tamen ab iis, quae Hecataeus hac de re scripsit, discrepat. A fonte stadia ferme III, Mercurii Aepyti *cognomento* aedes distat. (4) Habent et aliud Tegeatae templum Minervae Poliatidi dedicatum. Eo singulis annis semel duntaxat ingreditur sacerdos mas. Propugnaculi templum appellant; ac vulgo proditum est,

τῷ Ἀλεοῦ γένοιτο δωρεὰ παρὰ Ἀθηνᾶς, ἀνάλωτον ἐς τὸν πάντα χρόνον εἶναι Τεγέαν· καὶ αὐτῷ φασιν ἐς φυλακὴν τῆς πόλεως ἀποτεμοῦσαν τὴν θεὸν δοῦναι τριχῶν τῶν Μεδούσης. ἐς δὲ τὴν Ἄρτεμιν, τὴν Ἡγεμόνην τὴν αὐτὴν, τοιάδε λέγουσιν. Ὀρχομενίων τῶν ἐν Ἀρκαδίᾳ τυραννίδα ἔσχεν Ἀριστομηλίδας· ἐρασθεὶς δὲ Τεγεάτιδος παρθένου, καὶ ἐγκρατὴς ὅτῳ δὴ τρόπῳ γενόμενος, ἐπιτρέπει τὴν φρουρὰν αὐτῆς Χρονίῳ· καὶ ἡ μὲν, πρὶν ἀναχθῇ παρὰ τὸν τύραννον, ἀποκτίννυσιν ἑαυτὴν ὑπὸ δείματός τε καὶ αἰδοῦς· Χρόνιον δὲ Ἀρτέμιδος ἐπήγειρεν ὄψις ἐπὶ Ἀριστομηλίδαν· φονεύσας δὲ ἐκεῖνον, καὶ ἐς Τεγέαν φυγὼν, ἐποίησεν ἱερὸν τῇ Ἀρτέμιδι.

Cepheo Alei filio Minervam Tegean inexpugnabilem, donato ei detonso de Medusae capite crine, praestitisse. De Diana vero, quam Ἡγεμόνην *(hoc est Ductricem)* appellant, talis propemodum sermo est. In Orchomeniis, qui in Arcadia sunt, dominabatur tyrannus Aristomelidas. Is quum Tegeatide virgine, quam amabat, quoquo modo potitus esset, ac eam cum praesidio ad se perducendam Chronio cuidam commendasset, puella antequam ad tyrannum perduceretur, prae metu et pudore sibi mortem conscivit: Chronium Diana oblatis *nocturnis* visis ad opprimendum Aristomelidan incitavit. Patrato itaque facinore, quum Tegean Chronius confugisset, Dianae templum dedicavit.

CAPUT XLVIII.

In foro Tegeatarum legislatorum signa pilis sustinentur — de variis coronis victoriae insignibus — Martis signo Gynaecothoea dicto — Iovis Telii ara et signo quadrangulo — Ilithyia genicula (ἐν γόνασι), ac de Auges partu varia narratio — de reliquis in Tegeatarum foro memorandis.

Τῆς ἀγορᾶς δὲ μάλιστα ἐοικυίας πλίνθῳ κατὰ τὸ σχῆμα, Ἀφροδίτης ἐστὶν ἐν αὐτῇ ναὸς καλούμενος ἐν πλίνθῳ, καὶ ἄγαλμα λίθου. στήλαις δὲ ἐπειργασμένοι, τῇ μὲν Ἀντιφάνης ἐστὶ καὶ Κροῖσος, καὶ Τυρωνίδας τε καὶ Πυρίας, οἵ, νόμους Τεγεάταις θέμενοι, τιμὰς καὶ ἐς τόδε παρ' αὐτῶν ἔχουσιν· ἐπὶ δὲ τῇ ἑτέρᾳ στήλῃ πεποιημένος ἐστὶν Ἰάσιος, ἵππου τε ἐχόμενος καὶ κλάδον ἐν τῇ δεξιᾷ φέρων φοίνικος· νικῆσαι δὲ ἵππῳ φασὶν ἐν Ὀλυμπίᾳ τὸν Ἰάσιον, ὅτε ὁ Ἡρακλῆς ἔθετο ὁ Θηβαῖος τὰ Ὀλύμπια. (2) Ἐν μὲν δὴ Ὀλυμπίᾳ κοτίνου τῷ νικῶντι δίδοσθαι
697 στέφανον, καὶ ἐν Δελφοῖς δάφνης, τοῦ μὲν ἤδη τὴν αἰτίαν ἀπέδωκα ἐν τοῖς ἐς Ἠλείους, τοῦ δὲ καὶ ἐν τοῖς ἔπειτα δηλώσω· ἐν Ἰσθμῷ δὲ ἡ πίτυς καὶ τὰ ἐν Νεμέᾳ σέλινα ἐπὶ τοῦ Παλαίμονος καὶ τοῦ Ἀρχεμόρου τοῖς πα-

Cap. XLVIII. In foro, quod laterculi figuram prae se fert, Veneris aedes est, quae IN LATERCVLO appellatur, cum signo marmoreo. Pilis *duabus* statuae impositae extant: uni Antiphanes, Croesus, Tyronidas, et Pyrias: qui quum Tegeatibus leges tulissent, hunc sibi honorem meruerunt. Alteri pilae insistit Iasius *laeva* equum detinens, dextera palmae ramum ferens. Equo in Olympia dicitur vicisse Iasius, quo primum tempore Thebanus Hercules Olympiorum conventum instituit. (2) Qua vero de causa victori in Olympia ex oleastro, Delphis e lauro corona detur, de superiore iamdudum in commemorandis Eleorum rebus exposuimus: de laurea suo loco agemus. In Isthmo autem pinum, in Nemea apium, ad Palaemonis atque Ar-

θήμασιν ἐνομίσθησαν. οἱ δὲ ἀγῶνες φοίνικος ἔχουσιν οἱ πολλοὶ στέφανον· ἐς δὲ τὴν δεξιάν ἐστι καὶ πανταχοῦ τῷ νικῶντι ἐςτιθέμενος φοίνιξ· ἐνομίσθη δὲ ἐπὶ τοιῷδε. Θησέα ἀνακομιζόμενον ἐκ Κρήτης φασὶν ἐν Δήλῳ ἀγῶνα ποιήσασθαι τῷ Ἀπόλλωνι, στεφανοῦν δὲ αὐτὸν τοὺς νικῶντας τῷ φοίνικι· τοῦτο μὲν δὴ ἄρξαι λέγουσιν ἐντεῦθεν. τοῦ δὲ φοίνικος τοῦ ἐν Δήλῳ μνήμην ἐποιήσατο καὶ Ὅμηρος ἐν Ὀδυσσέως ἱκεσίᾳ πρὸς τὴν Ἀλκίνου θυγατέρα. (3) Ἔστι δὲ καὶ Ἄρεως ἄγαλμα ἐν τῇ Τεγεατῶν ἀγορᾷ· τοῦτο ἐκτετύπωται μὲν ἐπὶ στήλῃ, Γυναικοθοίναν δὲ ὀνομάζουσιν αὐτόν. ἐπὶ γὰρ τὸν Λακωνικὸν πόλεμον καὶ Χαρίλλου τοῦ Λακεδαιμονίων βασιλέως τὴν πρώτην ἐπιστρατείαν, λαβοῦσαι αἱ γυναῖκές σφισιν ὅπλα ἐλόχων ὑπὸ τὸν λόφον, ὃν Φυλακτρίδα ἐφ᾽ ἡμῶν ὀνομάζουσι· συνελθόντων δὲ τῶν στρατοπέδων, καὶ τολμήματα ἀποδεικνυμένων ἑκατέρωθεν τῶν ἀνδρῶν πολλά τε καὶ ἄξια μνήμης, οὕτω φασὶν ἐπιφανῆναί σφισι τὰς γυναῖκας, καὶ εἶναι τὰς ἐργασαμένας ταύτας τῶν Λακεδαι-

chemori casus *testandos*, dari institutum est. Ludis sane plerisque palmae corona decernitur: victoresque cuncti ubique locorum palmam dextera praeferunt. Eius rei huiusmodi traditur initium fuisse. Theseum aiunt e Creta reducem Deli ludos Apollini fecisse, victoresque palma coronasse. Palmae quidem quae Deli fuit, mentionem fecit etiam Homerus iis versibus, quibus Ulyssis ad Alcinoi filiam misericordiam implorantis orationem exposuit. (3) Est etiam in Tegeatum foro Martis signum pilae insculptum, Gynaecothoean nominant. Laconico enim bello, quum primum Charillus Lacedaemoniorum rex cum exercitu in Arcadum fines invasisset, foeminae arreptis armis sub collem subsederunt, quem aetate nostra Phylactrida *(ac si Praesidiarium dicas)* vocant. Congressis vero ad pugnam exercitibus, quum viri utrinque praeclara et memoratu dignissima ederent facinora, postremo foeminae subita eruptione ex insidiis facta, in fugam Lacedaemonios ipsae ver-

μονίων τὴν τροπήν· Μάρπησσαν δὲ τὴν Χήραν ὀνομαζομένην ὑπερβαλέσθαι τῇ τόλμῃ τὰς ἄλλας γυναῖκας· ἁλῶναι δὲ ἐν τοῖς Σπαρτιάταις καὶ αὐτὸν Χάριλλον· καὶ τὸν μὲν ἀφεθέντα ἄνευ λύτρων, καὶ ὅρκον Τεγεάταις δόντα, μήποτε Λακεδαιμονίους στρατεύσειν ἔτι ἐπὶ Τεγέαν, παραβῆναι τὸν ὅρκον· τὰς γυναῖκας δὲ τῷ Ἄρει θῦσαί τε ἄνευ τῶν ἀνδρῶν ἰδίᾳ γε ἐπινίκια, καὶ τῶν τοῦ ἱερείου κρεῶν οὐ μεταδοῦναι σφᾶς τοῖς ἀνδράσιν·
698 ἀντὶ τούτων μὲν τῷ Ἄρει γέγονεν ἐπίκλησις. (4) Πεποίηται δὲ καὶ Διὸς Τελείου βωμὸς, καὶ ἄγαλμα τετράγωνον· περισσῶς γὰρ δή τι τῷ σχήματι τούτῳ φαίνονταί μοι χαίρειν οἱ Ἀρκάδες. καὶ μνήματά ἐστιν ἐνταῦθα Τεγεάτου τοῦ Λυκάονος, καὶ Μαίρας γυναικὸς τοῦ Τεγεάτου· θυγατέρα δὲ Ἄτλαντός φασιν εἶναι τὴν Μαῖραν· ἧς δὴ καὶ Ὅμηρος ἐποιήσατο μνήμην ἐν Ὀδυσσέως λόγοις πρὸς Ἀλκίνουν περί τε ὁδοῦ τῆς ἐς ᾅδην, καὶ ὁπόσας ἐθεάσατο ἐκεῖ τὰς ψυχάς. (5) Τὴν δὲ Εἰλείθυιαν οἱ Τεγεᾶται (καὶ γὰρ ταύτης ἔχουσιν ἐν τῇ ἀγορᾷ ναὸν

terunt. Virtute quidem foeminas anteisse ceteras praedicant Marpessam, cui Viduae cognomen fuit. Captum in pugna ipsum Charillum tradunt: dimissum deinde gratis, quum se iureiurando obligasset, bellum nunquam amplius Tegeatibus illaturum: attamen postea minime, quod fuerat iuratus, servasse. Sed tunc foeminas aiunt Marti seorsum victoriam gratulatas, hostiae exta cum viris communicare noluisse; ex eoque Marti cognomen, *quod iam diximus*, impositum. (4) Ara etiam Adulti Iovis erecta est, cum signo quadrangulo. Praecipue enim tali figura delectari mihi Arcades videntur. Ad haec sepulcra in eodem foro sunt, Tegeatae Lycaonis filii, et eius uxoris Maerae, quam Atlantis fuisse filiam dicunt: cuius mentionem Homerus fecit in iis, quos cum Alcinoo Ulysses habuit sermonibus de via ad inferos, animas quas ibi conspexerit enumerans. (5) Lucinam vero Tegeatae (habent enim ipsius etiam in foro aedem, et signum) cognomento Ingeniculam appellant,

καὶ ἄγαλμα) ἐπονομάζουσιν αὐτὴν Ἐν γόνασι, λέγοντες, ὡς Ναυπλίῳ παραδοίη τὴν θυγατέρα Ἀλεὸς, ἐντειλάμενος ἐπανάγοντα αὐτὴν ἐς θάλασσαν καταποντῶσαι· τὴν δὲ, ὡς ἤγετο, πεσεῖν τε ἐς γόνατα, καὶ οὕτω τεκεῖν τὸν παῖδα, ἔνθα τῆς Εἰλειθυίας ἐστὶ τὸ ἱερόν. οὗτος ὁ λόγος διάφορος μέν ἐστιν ἑτέρῳ λόγῳ, λάθρα τὴν Αὔγην τεκεῖν τοῦ πατρὸς, καὶ ἐκτεθῆναι τὸν Τήλεφον λέγοντι ἐς τὸ ὄρος τὸ Παρθένιον, καὶ τῷ παιδὶ ἐκκειμένῳ διδόναι γάλα ἔλαφον· λέγεται δὲ οὐδὲν ἧσσον καὶ οὗτος ὑπὸ Τεγεατῶν ὁ λόγος. (6) Πρὸς δὲ τῷ ἱερῷ τῆς Εἰλειθυίας ἐστὶ Γῆς βωμός· ἔχεται δὲ τοῦ βωμοῦ λίθου λευκοῦ στήλη· ἐπὶ δὲ αὐτῆς Πολύβιος ὁ Λυκόρτα, καὶ ἐπὶ ἑτέρᾳ στήλῃ τῶν παίδων τῶν Ἀρκάδος Ἔλατός ἐστιν εἰργασμένος.

ex eo nempe (uti aiunt) *casu*, quod quum Aleus Nauplio filiam tradidisset, ac mandasset ut secum abductam in mare demergeret, illa dum abduceretur in genua prociderit, atque ita filium enixa sit eo loco, ubi Lucinae templum dedicarunt. Ab hoc diversus est eorum sermo, qui Augen dicunt clam patre Telephum enixam, in Parthenium montem eum abiiciendum curasse; ibique puero exposito cervam lac praebuisse. Hoc certe ipsi etiam Tegeatae vulgarunt. (6) Prope Lucinae, ara est Telluris. Pilae duae eminent iuxta aram: earum una e candido lapide Polybium Lycortae filium; Elatum altera, unum de Arcadis filiis, sustinet.

CAPUT XLIX.

De Philopoemene eiusque rebus gestis.

Οὐ πόῤῥω δὲ τῆς ἀγορᾶς θέατρόν τέ ἐστι καὶ πρὸς αὐτῷ βάθρα εἰκόνων χαλκῶν· αὗται δὲ οὐκ εἰσὶν ἔτι αἱ εἰκόνες· ἐλεγεῖον δ' ἐφ' ἑνὶ τῶν βάθρων ἐστὶ, Φιλοποίμενος τὸν ἀνδριάντα εἶναι. τούτου δὲ Ἕλληνες τοῦ Φιλοποίμενος οὐχ ἥκιστα ἀλλὰ καὶ μάλιστα ἔχουσι μνήμην γνώμης τε εἵνεκα, ἣν παρέσχετο, καὶ ἐπὶ τῶν ἔργων, ὁπόσα ἐτόλμησε. τὰ μὲν δὴ ἐς γένους δόξαν, ὁ πατήρ οἱ Κραῦγις Ἀρκάδων ἐλείπετο οὐδενὸς τῶν ἐν Μεγάλῃ πόλει· τελευτήσαντος δὲ τοῦ Κραύγιδος ἐπὶ παιδὶ ἔτι νηπίῳ τῷ Φιλοποίμενι, ἐπετρόπευσεν αὐτὸν ἀνὴρ Μαντινεὺς Κλέαν-
699 δρος, φεύγων μὲν ἐκ Μαντινείας, καὶ ἐν Μεγάλῃ πόλει μετοικῶν κατὰ τὴν οἴκοθεν συμφορὰν, ξενίας δὲ ὑπαρχούσης αὐτῷ πατρικῆς ἐς οἶκον τὸν Κραύγιδος. διδασκάλοις δὲ ὁμιλῆσαι τὸν Φιλοποίμενα καὶ ἄλλοις, καὶ Μεγαλοφάνει τε καὶ Ἐκδήλῳ λέγουσι· τοὺς δὲ Ἀρκεσιλάου φασὶν εἶναι Πιταναίου μαθητάς. (2) Μέγεθος μὲν δὴ καὶ σώματος ῥώμην ἀπέδει Πελοποννησίων οὐδενός· τὸ

Cap. XLIX. Non longe a foro theatrum est, cum sedibus aenearum statuarum. Statuae quidem ipsae non exstant; sed in earum sedium una incisi elegi testantur, statuam illam Philopoemenis fuisse. Huius viri memoriam, quum ob eius prudentiam, tum vero ob rerum gestarum magnitudinem, maxime inviolatam servant Graeci. Quod ad generis claritatem attinet, pater ei Megalopoli fuit Craugis, nulli civium suorum secundus. Is moriens adhuc impuberi Philopoemeni tutorem dedit Cleandrum Mantinensem, qui domo exul, Megalopolis inquilinus, Craugidis domo, ut paterno hospitio, assidue in temporum suorum calamitate illa usus est. Praeceptoribus tum aliis, tum Megalophani et Ecdelo, Arcesilai Pitanaei discipulis, operam dedisse Philopoemenem tradunt. (2) Corporis quidem magnitudine ac robore nullo Peloponnesiorum inferior fuit, sed

δὲ εἶδος ἦν τοῦ προσώπου κακός. καὶ ἐπὶ μὲν τοὺς στεφανίτας ἀγῶνας ὑπερεφρόνησεν ἀσκῆσαι, γῆν δὲ, ἣν ἐκέκτητο, ἐργαζόμενος, οὐδὲ τὰ θηρία ἠμέλει τὰ ἄγρια ἐξαιρεῖν. ἐπιλέγεσθαι δὲ καὶ βιβλία φασὶν αὐτὸν, σοφιστῶν τε τῶν εὐδοκιμούντων παρ' Ἕλλησιν ὅσα ἐς πολέμων μνήμην, καὶ εἰ δή τι ἔχει διδασκαλίαν στρατηγημάτων. καταστήσασθαι δὲ τὸν βίον πάντα ἐθέλων γνώμης τῆς Ἐπαμινώνδου καὶ ἔργων εἶναι τῶν ἐκείνου μίμησιν, οὐ τὰ πάντα ἦν ἐξισωθῆναι δυνατός. Ἐπαμινώνδᾳ γὰρ τά τε ἄλλα ἡ ψυχὴ καὶ μάλιστα πράως εἶχε τὰ ἐς ὀργήν· τῷ δὲ Ἀρκάδι μετῆν γε θυμοῦ. (3) Καταλαβόντος δὲ Κλεομένους Μεγάλην πόλιν, Φιλοποίμην οὔτε τῆς συμφορᾶς ἐξεπλάγη τὸ ἀπροσδόκητον, καὶ τῶν ἐν ἡλικίᾳ τὰ δύο μάλιστα μέρη καὶ γυναῖκας καὶ παῖδας ἀπέσωσεν ἐς Μεσσήνην, συμμάχων σφίσιν ἐν τῷ τότε καὶ εὔνων τῶν Μεσσηνίων ὄντων· καὶ (ἦσαν γὰρ τῶν διαπεφευγότων, οἷς ὁ Κλεομένης ἐπεκηρυκεύετο· μεταγιγνώσκων τε ἐπὶ τῷ τολμήματι, πρὸς Μεγαλοπολίτας ἐθέλει σπένδεσθαι, κατιόντας ἐπὶ

facie foeda. Sacrorum quidem certaminum coronas omnino contempsit; agro, quem possidebat, colendo deditus: a venatione et feris conficiendis minime alienus. Legisse dicitur eruditorum apud Graecos hominum libros, eos potissimum, quibus vel bellicae res, vel imperatorum consilia mandata essent. Quum vero ita totam instituere vitam conaretur, ut Epaminondae tum ingenium tum res gestas ceu viva imago exprimeret, non in omnibus illum exaequare potuit. Fuit enim Epaminondas miti prorsus ingenio, et animi lenitate summa: quum hic ad iram esset proclivior. (3) Oppressa vero a Cleomene Megalopoli, nihil inopinata clade perculsus, militaris aetatis amplius duas partes, foeminas praeterea et pueros Messenen salvos perduxit. Erant enim Messenii eo tempore Arcadum amici, et socii. Quum itaque exulum magnam partem Spartanus rex per caduceatores (quod eorum, quae crudelius in Megalopolitanos admisisset, iam poeniteret) sub certis foederis condi-

τὴν ἑαυτῶν) ἔπεισεν ἐν κοινῷ τοὺς πολίτας ὁ Φιλοποίμην, μεθ' ὅπλων τὴν κάθοδον οἴκαδε κομίζεσθαι, μὴ ἐξ ὁμολογίας τε καὶ σπονδὰς ἰέναι. (4) Γινομένης δὲ ἐν Σελλασίᾳ πρὸς Κλεομένην τε καὶ Λακεδαιμονίους μάχης, ἣν Ἀχαιοὶ καὶ Ἀρκάδες ἀπὸ τῶν πόλεων πασῶν, σὺν δέ σφισιν
700 καὶ Ἀντίγονος ἐμαχέσατο, ἄγων ἐκ Μακεδονίας στρατιάν, ἐτέτακτο μὲν τηνικαῦτα ὁ Φιλοποίμην ἐν τοῖς ἱππεῦσιν· ἐπεὶ δ' ἐν τῷ πεζῷ τοῦ ἔργου τὸ πλεῖστον ἑώρα ληψόμενον τὴν κρίσιν, ὁπλίτης ἑκὼν ἐγένετο· καὶ αὐτὸν λόγου κινδυνεύοντα ἀξίως τῶν τις ἐναντίων δι' ἀμφοτέρων ἔπειρε τῶν μηρῶν. ὁ δὲ καὶ ἐς τοσοῦτον ὅμως πεπεδημένος, τά τε γόνατα ἐνέκλινε, καὶ ἐς τὸ πρόσω χωρεῖν ἐβιάζετο, ὥστε καὶ ὑπὸ τῶν ποδῶν τοῦ κινήματος τὸ δόρυ ἔκλασεν. ἐπεὶ δὲ οἱ Λακεδαιμόνιοι καὶ ὁ Κλεομένης ἐκρατήθησαν, καὶ ἐς τὸ στρατόπεδον ἀνέστρεψε Φιλοποίμην, ἐνταῦθα ἐξ ἀμφοτέρων αὐτοῦ μηρῶν οἱ ἰατροὶ τῇ μὲν τὸν σαυρωτῆρα ἐξεῖλκον, τῇ δὲ τὴν αἰχμήν. Ἀντίγονος δὲ ὡς ἐπύθετο καὶ εἶδεν αὐτοῦ τὰ τολμήματα, ἐποιεῖτο σπουδήν, ἐπάγεσθαι Φιλοποίμε-

tionibus ad reditum adhortaretur, universis civibus suis Philopoemen, ut armis mallent, quam icto foedere patriam recipere, facile persuasit. (4) In eo vero praelio, quod Achaei et Arcades ex omnibus urbibus, cumque ipsis Antigonus ex Macedonia transportato exercitu contra Cleomenem et Lacedaemonios ad Sellasiam commisere, equitatum Philopoemen rexit: ubi vero rei summam in peditatu positam vidit, pedes et ipse cum gravi armatura, dum periclitatur audacius, utrumque femur *tragula* traiectus est: ac licet hoc pacto impeditus esset, tamen inflexis genibus tanta vi progredi conabatur, ut hastile valido pedum motu frangeretur. Victis certe hostibus in castra reportato, ex altero femore spiculum, ex altero missilis fragmentum extractum est. Viri ingentem virtutem admiratus Antigonus, omni studio, ut se in Macedoniam sequeretur, operam de-

να ἐς Μακεδονίαν. τοῦ δὲ Ἀντιγόνου μὲν ὀλίγον μελήσειν ἔμελλε· περαιωσάμενος δὲ νηῒ ἐς Κρήτην (πόλεμος γὰρ κατεῖχεν αὐτὴν ἐμφύλιος) ἐπεπέτακτο ἡγεμὼν μισθοφόρος. ἐπανήκων δὲ ἐς Μεγάλην πόλιν, αὐτίκα ὑπὸ τῶν Ἀχαιῶν ᾑρεῖτο ἄρχειν [καὶ] τοῦ ἱππικοῦ, καὶ σφᾶς ἀρίστους Ἑλλήνων ἀπέφαινεν ἱππεύειν. Ἀχαιῶν τε καὶ ὅσοι συντεταγμένοι τοῖς Ἀχαιοῖς ἦσαν περὶ Λάρισον μαχομένων ποταμὸν πρὸς Ἠλείους, καὶ τὸ Αἰτωλικὸν ἐπικουροῦν κατὰ συγγένειαν Ἠλείοις, πρῶτα μὲν Δημόφαντον ἀπέκτεινεν αὐτοχειρίᾳ τοῖς ἐναντίοις ἡγεμόνα ὄντα τῆς ἵππου, δεύτερα δὲ καὶ τὸ ἄλλο ἱππικὸν τῶν Αἰτωλῶν καὶ τῶν Ἠλείων ἐτρέψατο.

CAPUT L.

Philopoemen arma Achaeorum cum aliis mutat — in pugna ad Mantineam bene rem gerit — in ludis Nemeis plausu excipitur — ad eum occidendum a Philippo Demetrii filio percussores mittuntur — de Philopoemenis rebus contra Nabin et Lacedaemonios gestis.

Ἅτε δὲ ἤδη τῶν Ἀχαιῶν ἀφορώντων ἐς αὐτὸν, καὶ τὰ πάντα ἐκεῖνον ποιουμένων, τοῖς τεταγμένοις αὐτῶν ἐν

dit. At ille neglecto Antigoni invitatu, in Cretam, quae tunc civili bello ardebat, transmisit; ibique mercenarii ducis munia obiit. Mox Megalopolin reversum equestribus copiis Achaei praefecerunt. Et eos quidem, *quibus ipse imperavit*, equites longe optimos praestitit, tum Achaeorum, tum eorum, qui in eadem fuerunt expeditione. Deinde in pugna ad Larisum amnem, quum Aetoli cognationis causa opem Eleis tulissent, suamet manu Damophantum hostilis equitatus praefectum interfecit, ac deinde ceteras Aetolorum et Eleorum equestres copias in fugam vertit.

Cap. L. Iam vero quum Achaei in eum *unum* intuerentur, omniaque ad eum *unum* deferrent, peditatus *ante*

τῷ πεζῷ μετέβαλε τῶν ὅπλων τὴν σκευήν. φοροῦντας γὰρ μικρὰ δοράτια καὶ ἐπιμηκέστερα ὅπλα κατὰ τοὺς Κελτικοὺς θυρεοὺς, ἢ τὰ γέῤῥα τὰ Περσῶν, ἔπεισε θώρακάς τε ἐνδύεσθαι, καὶ ἐπιτίθεσθαι κνημῖδας, πρὸς δὲ ἀσπίσιν Ἀργολικαῖς χρῆσθαι, καὶ τοῖς δόρασι μεγάλοις. (2) Μαχανίδου δὲ ἐν Λακεδαίμονι ἀναφύντος τυράννου, καὶ αὖθις πολέμου τοῖς Ἀχαιοῖς πρὸς Λακεδαιμονίους καὶ Μαχανίδαν συνεστηκότος, ἡγεῖτο μὲν τοῦ Ἀχαϊκοῦ Φιλοποίμην· γινομένης δὲ πρὸς Μαντινείᾳ μάχης, Λα-
701 κεδαιμονίων μὲν οἱ ψιλοὶ τοὺς ἀσκεύους τῶν Ἀχαιῶν νικῶσι, καὶ φεύγουσιν αὐτοῖς ἐπέκειτο ὁ Μαχανίδας. τῇ δὲ φάλαγγι ὁ Φιλοποίμην τῶν πεζῶν τρέπεται τῶν Λακεδαιμονίων τοὺς ὁπλίτας, καὶ ἀναχωροῦντι ἀπὸ τῆς διώξεως Μαχανίδᾳ συντυχὼν, ἀποκτίννυσιν αὐτόν. Λακεδαιμονίοις δὲ ἠτυχηκόσι τῇ μάχῃ περιεγεγόνει μείζων ἢ κατὰ τὸ πταῖσμα εὐτυχία, γεγονόσιν ἐλευθέροις ἀπὸ τοῦ τυράννου. (3) Μετὰ δὲ οὐ πολὺ ἀγόντων Νέμεια Ἀργείων, ἔτυχε μὲν τῶν κιθαρῳδῶν τῷ ἀγῶνι ὁ Φιλο-

omnia armaturam immutavit. Quum enim ante brevibus hastis uterentur, et scutis oblongioribus, proinde ac sunt Gallica et Persica (*thyreos ipsi, ac gerrha appellant*) ut loricis et ocreis corpus tegerent, militibus persuasit: Argolicos addidit clypeos, et hastas maiores. (2) Praeterea quum Lacedaemone tyrannus Machanidas exortus esset, eoque duce Spartani iam novum bellum cum Achaeis gererent, dux fuit Achaici exercitus Philopoemen. Praelio apud Mantineam inito, Spartanorum expediti milites veteranos Achaeorum fuderunt: fugientesque Machanidas persequebatur. Ibi Philopoemen cum peditum phalange gravem armaturam Spartanorum repulit; Machanidam retrocedentem, quum in eum incidisset, occidit. Lacedaemoniis quidem in pugna victis, ex ipsa tamen clade fortuna meliorem eventum ostendit; quod scilicet a tyranni dominatu libertatem consecuti sunt. (3) Non multo vero post Nemea celebrantibus Argivis, quum ludis interesset certantibus ci-

ποίμην παρών. Πυλάδου δὲ Μεγαλοπολίτου μὲν ἀνδρὸς γένος, κιθαρῳδοῦ δὲ τῶν ἐφ' αὐτοῦ δοκιμωτάτου, καὶ ἀνῃρημένου Πυθικὴν νίκην, τότε δὲ ᾄδοντος Τιμοθέου νόμον τοῦ Μιλησίου, Πέρσας, καὶ καταρξαμένου τῆς ᾠδῆς,

Κλεινὸν ἐλευθερίας τεύχων μέγαν Ἑλλάδι κόσμον·

ἀπεῖδεν ἐς τὸν Φιλοποίμενα τὸ Ἑλληνικὸν, καὶ ἐπεσημήναντο τῷ κρότῳ, φέρειν ἐς ἐκεῖνον τὸ ᾆσμα. τοιοῦτο ἐς Θεμιστοκλέα ἄλλο ἐν Ὀλυμπίᾳ πυνθάνομαι συμβῆναι· καὶ γὰρ Θεμιστοκλέους ἐς τιμὴν ἐπανέστη τὸ ἐν Ὀλυμπίᾳ θέατρον. (4) Φίλιππος δὲ ὁ Δημητρίου Μακεδόνων βασιλεὺς, ὃς καὶ Ἄρατον φαρμάκῳ τὸν Σικυώνιον ἀπέκτεινεν, ἀπέστειλεν ἄνδρας ἐς Μεγάλην πόλιν, φονεῦσαί σφισι Φιλοποίμενα ἐντειλάμενος· ἁμαρτὼν δὲ, ἀνὰ τὴν Ἑλλάδα ἐμισήθη πᾶσαν. Θηβαῖοι δὲ κεκρατηκότες μάχῃ Μεγαρέας, καὶ ἤδη τοῦ Μεγαρικοῦ τείχους ἐπιβαίνοντες, ἀπάτῃ τῶν Μεγαρέων μετελθόντων αὐτοὺς, ὡς ἥκοι Φιλοποίμην σφίσιν ἐς τὴν πόλιν, ἐς

citharoedis Philopoemen, ac tunc forte Pylades Megalopolitanus, homo magni inter citharoedos nominis (quippe qui Pythicam palmam tulerat) carmen illud Milesii Timothei pronunciaret, qui Persae appellantur, canticum exorsus:

Qui libertatis decus affert nobile Graiis:

coniecerunt in Philopoemenem Graeci universi oculos, et plausu ingenti edito, certam significationem dederunt, eum versum illi maxime convenire, et ad unum omnino esse referendum. Talem accepimus Themistocli in Olympia habitum honorem, quum in theatrum *intranti* spectatores universi assurrexere. (4) Philippus quidem Demetrii filius, Macedonum rex, is qui Aratum veneno peremit, Megalopolin ad Philopoemenem occidendum percussores miserat: verum quum facinus illi perficere nequissent, invidiam sibi Philippus cunctae Graeciae concitavit. Quum vero Thebani victis acie Megarensibus urbem ipsam iam prope superatis muris expugnassent, oppidanorum astu de Philopoe-

τοσοῦτον εὐλαβείας προῆλθον, ὡς οἴκαδε ἀποχωρῆσαι καταλιπόντες ἄπρακτον τοῦ πολέμου τὸ ἔργον. (5) Ἐν δὲ Λακεδαίμονι αὖθις ἐπανέστη τύραννος Νάβις, ὃς
702 Πελοποννησίων πρώτοις ἐπέθετο Μεσσηνίοις· ἐπελθὼν δέ σφισιν ἐν νυκτὶ, καὶ οὐδαμῶς τὴν ἔφοδον ἐλπίζουσιν, εἷλε μὲν πλὴν τῆς ἀκροπόλεως τὸ ἄστυ· ἀφικομένου δὲ ἐς τὴν ὑστεραίαν στρατιᾷ Φιλοποίμενος, ἐξέπεσεν ὑπόσπονδος ἐκ Μεσσήνης. Φιλοποίμην δὲ, ὡς ἐξήκειν οἱ στρατηγοῦντι ὁ χρόνος, καὶ ἄρχειν ἄλλοι τῶν Ἀχαιῶν ᾕρηντο, αὖθις ἐς Κρήτην διέβη, καὶ ἐπικουρήσας Γορτυνίοις πολέμῳ πιεζομένοις. ποιουμένων δὲ ἐν ὀργῇ διὰ τὴν ἀποδημίαν τῶν Ἀρκάδων αὐτὸν, ἐπάνεισί τε ἐκ Κρήτης, καὶ Ῥωμαίους πόλεμον κατελάμβανεν ἐπανῃρημένους πρὸς Νάβιν. παρεσκευασμένων δὲ ἐπὶ τὸν Νάβιν ναυτικὸν τῶν Ῥωμαίων, ὁ Φιλοποίμην ὑπὸ προθυμίας μεθέξειν ἔμελλε τοῦ ἀγῶνος· ἅτε δὲ ἐς ἅπαν ἀπείρως θαλάσσης ἔχων, τριήρους ἔλαθεν ἐπιβὰς ῥεού-

menis adventu dissipato, tantus est hostibus terror iniectus, ut confestim reportato domum exercitu, eam obsidionem missam fecerint. (5) Iam rursus erat Spartae exortus tyrannus Nabis. Is prae ceteris Peloponnesiorum populis primos Messenios bello lacessivit: ac nocte quidem inopinantes adortus, urbem iam totam, praeter arcem, ceperat. Insequenti vero die praesto fuit cum auxiliis Philopoemen: quo factum, ut ille a Messene discedere sub certis conditionibus coactus fuerit. Iam vero quum imperandi finem tempus attulisset, et novi imperatores ab Achaeis delecti essent, rursus in Cretam Philopoemen transmisit, Gortyniis *gravi* bello pressis opem laturus. Sed eius peregrinationem quum Arcades offensiore animo ferrent, reversus ex Creta, in ea incidit tempora, quibus contra Nabin arma Romani ceperant: et comparata sane atque instructa classe, se Philopoemen, qua erat *in bellicis rebus* alacritate, eius expeditionis socium praebuit. Verum, ut erat navalium rerum plane expers, triremem forte conscendit rimosam.

σης· ὥστε καὶ ἐσῆλθε Ῥωμαίους καὶ τὸ ἄλλο συμμαχικὸν μνήμη τῶν ἐπῶν, ὧν ἐν καταλόγῳ πεποίηκεν Ὅμηρος ἐπὶ τῇ Ἀρκάδων ἀμαθίᾳ τῇ ἐς θάλασσαν. ἡμέραις δὲ ὕστερον τῆς ναυμαχίας οὐ πολλαῖς Φιλοποίμην καὶ ὁ σὺν αὐτῷ λόχος φυλάξαντες νύκτα ἀσέληνον, τὸ στρατόπεδον τῶν Λακεδαιμονίων κατεμπιπρᾶσιν ἐν Γυθίῳ. ἐνταῦθα ἀπέλαβεν ἐν δυσχωρίαις Νάβις Φιλοποίμενά τε αὐτόν, καὶ ὅσοι περὶ αὐτὸν τῶν Ἀρκάδων ἦσαν· ἦσαν δὲ ἄλλως μὲν ἀγαθοὶ τὰ ἐς πόλεμον, ἀριθμὸν δὲ οὐ πολλοί. Φιλοποίμην δὲ τὴν τάξιν, ἣν τεταγμένους ἀπῆγεν ὀπίσω, ταύτην ὑπαλλάξας, τὰ μάλιστα ἐχυρὰ τῶν χωρίων πρὸς αὑτοῦ, καὶ οὐ πρὸς τῶν πολεμίων ἐποίησεν εἶναι· κρατήσας δὲ τῇ μάχῃ Νάβιν, καὶ τῶν Λακεδαιμονίων ἐν τῇ νυκτὶ καταφονεύσας πολλούς, δόξης ἔτι ἐς πλέον παρὰ τοῖς Ἕλλησιν ἤρθη. μετὰ δὲ ταῦτα Νάβις μὲν ἐς εἰρημένον χρόνον σπονδὰς παρὰ Ῥωμαίων εὑράμενος, τελευτᾷ, πρὶν ἢ οἱ τοῦ πολέμου τὰς ἀνοχὰς ἐξήκειν, ὑπὸ ἀνδρὸς Καλυδωνίου, κατὰ μὲν συμμαχίας

Quod quum a Romanis et reliquis fuisset sociis animadversum, subiit eorum versuum recordatio, quibus Homerus Arcadas navigationis ignaros esse (enumeratione navium testatur. Paucis diebus post navale praelium, lunae silentis opportunitate usus, immissa suorum manu, Lacedaemoniorum ad Gythium castra incendit. Inde *elapsus* Nabis, iniquo loco Philopoemenem et Arcadum, qui cum eo erant, manum circumvenit. Erant ii sane exigui numero, sed virtute praestantes. Ibi Philopoemen ordinibus, quos in suis retro ducendis instituerat, mutatis effecit, ut loci munitio non ab hostibus sed a se staret. Mox praelio victo Nabi, et Lacedaemoniorum quam plurimis nocte illa caesis, in maiore multo fuit apud omnes Graecos nominis celebritate. His ita gestis, Nabis inducias cum Romanis pepigit: sed antequam praefinitum tempus exisset, a Calydonio homine, qui societate verbo simulata (fuerat enim ab Ae-

πρόφασιν ἥκοντος, πολεμίου δὲ τῷ ἔργῳ, καὶ ἐπ' αὐτὸ ἐσταλμένου τοῦτο ὑπὸ τῶν Αἰτωλῶν.

CAPUT LI.

Philopoemenis res gestae porro enumerantur — de Philopoemenis morte.

703 Φιλοποίμην δὲ ὑπὸ τὸν καιρὸν ἐσπεσὼν τοῦτον ἐς τὴν Σπάρτην, ἠνάγκασεν εἰς τὸ Ἀχαϊκὸν Λακεδαιμονίους συντελέσαι. μετὰ δὲ οὐ πολὺν χρόνον Τίτος μὲν Ῥωμαίων τῶν περὶ τὴν Ἑλλάδα ἡγεμὼν, καὶ Διοφάνης ὁ Διαίου Μεγαλοπολίτης, ἄρχειν ἐν τῷ τότε ᾑρημένος τῶν Ἀχαιῶν, ἤλαυνον ἐπὶ τὴν Λακεδαίμονα, ἐπενεγκόντες αἰτίαν Λακεδαιμονίοις, βουλεύειν σφᾶς νεώτερα ἐς Ῥωμαίους. Φιλοποίμην δὲ, καίπερ ἐν τῷ παρόντι ἰδιώτης ὢν, ἀπέκλεισεν ὅμως ἐπιοῦσιν αὐτοῖς πύλας. Λακεδαιμόνιοί τε τούτων τε εἵνεκα, καὶ ὧν εἰς ἀμφοτέρους τοὺς τυράννους ἐτόλμησεν, ἐδίδοσαν οἶκον αὐτῷ τὸν Νάβιδος ἐς πλέον ἢ τάλαντα ἑκατόν. ὁ δὲ ὑπερεφρόνησέ τε τῶν χρημάτων, καὶ ἐκέλευε τοὺς Λακεδαιμονίους θεραπεύειν δόσεσιν ἀνθ' αὑτοῦ τοὺς ἐν τῷ συλλόγῳ

tolis subornatus) re se hostem esse demonstravit, est interemptus.

Cap. LI. Philopoemen tunc, facta in Spartam irruptione, Lacedaemonios ut se in Achaeorum concilium contribuerent, adegit. Non multo post Titus *Flaminius*, cui bellum in Graecia decretum fuerat, et Diophanes Diaei filius Megalopolitanus, quem tunc sibi ducem Achaei delegerant, ad Lacedaemonis moenia cum infesto exercitu accesserunt, id nempe Lacedaemoniis crimini dantes, quod novas res contra Romanos moliti essent. At Philopoemen, etsi privatus tunc erat, portas tamen occludendas irruentibus hostibus curavit. Ob haec merita, et ob res in utrumque tyrannum gestas, Lacedaemonii domum Nabidis, talentis centum et eo pluris aestimatam, ei donarunt: at ille

τῶν Ἀχαιῶν πιθανοὺς τῷ πλήθει· ταῦτα δὲ ἐς Τιμόλαον αὐτῷ λέγουσιν ὑποσημαίνεσθαι. ἀπεδείχθη δὲ καὶ αὖθις Ἀχαιῶν στρατηγός. Λακεδαιμονίων δὲ τηνικαῦτα ἐς ἔμφυλον προηγμένων στάσιν, τριακοσίους μὲν τῆς στάσεως μάλιστα αἰτίους ἐξέβαλεν ἐκ Πελοποννήσου, καὶ τῶν Εἱλώτων τε ἀπέδοτο ὅσον τρισχιλίους· τείχη δὲ περιεῖλε τῆς Σπάρτης, καὶ τοῖς ἐφήβοις προεῖπε, μὴ τὰ ἐκ τῶν νόμων τῶν Λυκούργου μελετᾷν, ἐφήβοις δὲ τοῖς Ἀχαιῶν κατὰ ταὐτὰ ἀσκεῖσθαι· καὶ τοῖς μὲν ὕστερον ἀποδώσειν ἔμελλον Ῥωμαῖοι παιδείαν τὴν ἐπιχώριον. Ἀντίοχον δὲ ἀπόγονον Σελεύκου τοῦ ὀνομασθέντος Νικάτορος, καὶ Σύρων τὴν σὺν αὐτῷ στρατιὰν, Μανίου καὶ Ῥωμαίων ἐν Θερμοπύλαις νικησάντων, καὶ Ἀρισταίνου τοῖς Ἀχαιοῖς τοῦ Μεγαλοπολίτου παραινοῦντος, ἐπαινεῖν τὰ Ῥωμαίοις ἀρέσκοντα ἐπὶ παντὶ, μηδὲ ἀνθίστα- 704
σθαί σφισιν ὑπὲρ μηδενὸς, ὁ Φιλοποίμην ἀπεῖδεν ἐς τὸν Ἀρίσταινον σὺν ὀργῇ, καὶ αὐτὸν τῇ Ἑλλάδι ἔφη τὴν πεπρωμένην ἐπιταχύνειν· Λακεδαιμονίων δὲ τοὺς

pecuniam eam reiecit: iussit autem eos, qui in Achaico conventu plurimum auctoritate apud multitudinem valerent, ea largitione conciliari: in quo Timolaum ab eo significatum, fuerunt qui crederent. Iam vero rursus ei ab Achaeis imperio decreto, quum Lacedaemonii iam civile bellum capesserent, trecentos ille homines, seditionum auctores, e Peloponneso eiecit, et publicorum servorum prope tria millia vendidit; urbisque muros demolitus, puberibus omnibus iis exercitationibus, in quibus ex Lycurgi lege versabantur, interdixit; contra vero, ut eas Achaeorum puberes susciperent, edixit. Sed patria postea instituta Spartanorum pueris Romani restituerunt. Iam Antiocho ad Seleucum, cui Nicator cognomen fuit, genus referente, Syrorumque auxiliis a Romanis Manilii ductu ad Thermopylas victis, quum Aristaenus Megalopolitanus Achaeos hortaretur, ut Romanorum imperata omni ex parte facerent, neque ulla omnino in re ipsis adversarentur, turbato illum prae ira

φεύγοντας Μανίου καταδέξασθαι θέλοντος, τῷ μὲν ἀντέκραξεν ἐς τὸ βούλευμα· ἐκείνου δὲ ἀπελθόντος, τότε ἤδη κατελθεῖν τοὺς φυγάδας ἐφίησιν ἐς Σπάρτην. (2) Ἔμελλε δ' ἄρα ὑπεροψίας δίκη περιήξειν καὶ Φιλοποίμενα. ὡς γὰρ δὴ τῶν Ἀχαιῶν ὄγδοον ἀπεδείχθη τότε ἡγεμὼν, ἀνδρὶ οὐ τῶν ἀδόξων ὠνείδισεν ἁλῶναι ζῶντα ὑπὸ τῶν πολεμίων αὐτόν· καὶ (ἦν γὰρ τηνικαῦτα ἐς Μεσσηνίους Ἀχαιοῖς ἔγκλημα) Λυκόρταν σὺν τῇ στρατιᾷ ὁ Φιλοποίμην ἀποστέλλει δῃώσοντα τῶν Μεσσηνίων τὴν χώραν. αὐτὸς δὲ τρίτῃ μάλιστα ὕστερον ἡμέρᾳ πυρετῷ τε ἐχόμενος πολλῷ, καὶ πρόσω βεβιωκὼς ἑβδομήκοντα ἐτῶν, ὅμως ἠπείγετο μετασχεῖν Λυκόρτᾳ τοῦ ἔργου· ἱππέας δὲ καὶ πέλτας ἦγεν ὅσον ἑξήκοντα. (3) Λυκόρτας μὲν δὴ καὶ ὁ σὺν αὐτῷ στρατὸς ἀνέστρεφον ἤδη τηνικαῦτα ἐς τὴν οἰκίαν, οὔτε ἐργασάμενοι μέγα Μεσσηνίους οὐδὲν, οὔτε αὐτοὶ παθόντες· Φιλοποίμενα δὲ (ἐβλήθη γὰρ ἐν τῇ μάχῃ τὴν κεφαλὴν, καὶ ἀπέπεσεν

vultu aspiciens, accelerare dixit Graeciae fatum. Manilio deinde Lacedaemoniorum exules restituere contendenti, acriter pro concione restitit. Post illius vero profectionem exules omnes Philopoemenis permissu Spartam redierunt. (2) Sedenim et ipsum aliquando iusta manebat ob nimiam animi elationem poena. Nam quum Achaeorum imperator iam octavum renunciatus fuisset, *Lycortae*, homini haudquaquam obscuro, quod vivus in hostium potestatem venisset, obiecit: neque *ita multo post* coortis inter Messenios et Achaeos inimicitiarum causis, Lycortam cum exercitu misit Philopoemen ad Messeniorum agrum depopulandum: ipse triduo post, etsi vehementi febri laborabat, ac iam annum impleverat LXX, quin tamen eius excursionis particeps esset, se continere non potuit. Secutus igitur Lycortam est cum equitibus et peltatis circiter LX. (3) At Lycortas totaque eius manus quum neque hostes ullo damno affecissent, neque ipsi quicquam grave passi essent, *incolumes* domum rediere. Philopoemen inter dimicandum ac-

ἀπὸ τοῦ ἵππου) ζῶντα ἐς Μεσσήνην ἄγουσιν αὐτόν. συνελθόντων δὲ αὐτίκα ἐς ἐκκλησίαν, διάφοροι παρὰ πολὺ, καὶ οὐ πάντων κατὰ ταὐτὰ ἐγίνοντο αἱ γνῶμαι. Δεινοκράτης δὲ καὶ ὅσοι τῶν Μεσσηνίων ἦσαν δυνατοὶ χρήμασι, παρεκελεύοντο ἀποκτεῖναι Φιλοποίμενα· οἱ δὲ τοῦ δήμου περιποιῆσαι τὰ μάλιστα εἶχον σπουδὴν, πλέον τι ἢ παντὸς τοῦ Ἑλληνικοῦ πατέρα ὀνομάζοντες. Δεινοκράτης δὲ καὶ ἀκόντων Μεσσηνίων ἔμελλέ τε ἄρα Φιλοποίμενα ἀναιρήσειν, ἐσπέμψας φάρμακον. Λυκόρτας δὲ μετ' οὐ πολὺ, ἀθροίσας ἔκ τε Ἀρκαδίας καὶ παρὰ Ἀχαιῶν δύναμιν, ἐστράτευσεν ἐπὶ Μεσσήνην. καὶ ὁ δῆμος αὐτίκα ὁ τῶν Μεσσηνίων προσεχώρησε τοῖς Ἀρκάσι· καὶ Φιλοποίμενι αἰτίαν θανάτου παρασχόντες, ἁλόντες, πλὴν Δεινοκράτους, ὑπέσχον τιμωρίαν οἱ ἄλλοι· Δεινοκράτης δὲ ἀφίησιν αὐτοχειρίᾳ τὴν ψυχήν. κατάγουσι δὲ καὶ ἐς Μεγάλην πόλιν τοῦ Φιλοποίμενος τὰ ὀστᾶ οἱ Ἀρκάδες.

cepto in capite vulnere, quum ex equo concidisset, vivus Messenen pertractus est: ubi advocata concione, quum sententiae variarent, Dinocrates et Messeniorum locupletissimi quique occidendum omnino Philopoemenem censebant: at plebs magno studio eum vindicabat a *potentiorum* injuria, Graeci nominis parentem, eo etiam *ad laudem* insignioribus titulis appellantes. Sed Dinocrates Messeniis *omnibus* invitis veneno misso hominem de medio tollendum curavit. Quod facinus Lycortas non multo post, ex Arcadia et Achaia comparato exercitu, ultus est. Cui se Messenii quum dedidissent, omnes, qui Philopoemeni necis auctores fuerant, praeter Dinocratem (is enim sibi ipsi manus conscivit) comprehensi poenas dederunt. Ossa Philopoemenis Arcades Megalopolim reportarunt.

CAPUT LII.

De fortium virorum Graeciae proventu in Philopoemene extincto — — viri fortes Graeciae breviter recensentur — versus Philopoemenis signo inscripti memorantur.

705 *Καὶ ἤδη τὸ μετὰ τοῦτο ἐς ἀνδρῶν ἀγαθῶν φορὰν ἔληξεν ἡ Ἑλλάς.* (2) *Μιλτιάδης μὲν γὰρ ὁ Κίμωνος τούς τε ἐς Μαραθῶνα ἀποβάντας τῶν βαρβάρων κρατήσας μάχῃ, καὶ τὸν πρὸς τὸν Μῆδον ἐπισχὼν στόλον, ἐγένετο εὐεργέτης πρῶτος κοινῇ τῆς Ἑλλάδος· Φιλοποίμην δὲ ὁ Κραύγιδος ἔσχατος. οἱ δὲ πρότερον Μιλτιάδου λαμπρὰ ἔργα ἀποδειξάμενοι, Κόδρος τε ὁ Μελάνθου, καὶ ὁ Σπαρτιάτης Πολύδωρος, καὶ Ἀριστομένης ὁ Μεσσήνιος, καὶ εἰ δή τις ἄλλος, πατρίδας ἕκαστοι τὰς αὐτῶν, καὶ οὐκ ἀθρόαν φανοῦνται τὴν Ἑλλάδα ὠφελήσαντες. Μιλτιάδου δὲ ὕστερον Λεωνίδας ὁ Ἀναξανδρίδου καὶ Θεμιστοκλῆς ὁ Νεοκλέους ἀπώσαντο ἐκ τῆς Ἑλλάδος Ξέρξην, ὁ μὲν ταῖς ναυμαχίαις ἀμφοτέραις, Λεωνίδας δὲ ἀγῶνι τῷ ἐν Θερμοπύλαις. Ἀριστείδην δὲ τὸν Λυσιμάχου καὶ Παυσανίαν τὸν Κλεομβρότου Πλαταιᾶσιν ἡγη-*

Cap. LII. In quo sane viro bonorum et fortium virorum omnis *prope* est in Graecia consumta progenies. (2) Primus etenim Miltiades Cimonis filius Persis ad Marathonem fusis, et classe contra eundem hostem comparata, cunctae Graeciae salutem attulit: postremus Craugidis filius Philopoemen. Nam qui ante Miltiadem praeclara suae virtutis documenta dederunt, Codrus Melanthi filius, Spartanus Polydorus, Messenius Aristomenes, et si qui possunt alii cum his enumerari, patriam quisque suam iure videri possint, non universam Graeciam servasse. Post Miltiaden vero, et Leonides Anaxandridae, et Neoclis filius Themistocles, Xerxem e Graecia expulerunt, duobus hic navalibus praeliis, ille nobili ad Thermopylas pugna. De Aristide Lysimachi, et Pausania Cleombroti filio, qui ad Plataeas

σάμενον, τὸν μὲν τὰ ὕστερον ἀφείλετο ἀδικήματα εὐεργέτην μὴ ὀνομασθῆναι τῆς Ἑλλάδος· Ἀριστείδην δὲ, ὅτι ἔταξε φόρους τοῖς τὰς νήσους ἔχουσιν Ἕλλησι· πρὸ Ἀριστείδου δὲ ἦν ἅπαν τὸ Ἑλληνικὸν ἀτελὲς φόρων. Ξάνθιππος δὲ ὁ Ἀρίφρονος καὶ Κίμων, ὁ μὲν ὁμοῦ Λεωτυχίδῃ τῷ βασιλεύοντι ἐν Σπάρτῃ τὸ Μήδων ναυτικὸν ἔφθειρεν ἐν Μυκάλῃ· Κίμωνι δὲ πολλὰ καὶ ἄξια ζήλου κατειργασμένα ἐστὶν ὑπὲρ τῶν Ἑλλήνων. τοὺς δὲ ἐπὶ τοῦ Πελοποννησιακοῦ πρὸς Ἀθηναίους πολέμου, καὶ μάλιστα αὐτῶν τοὺς εὐδοκιμήσαντας, φαίη τις ἂν αὐτόχειρας, καὶ δὴ ἐγγύτατα καταποντιστὰς εἶναι σφᾶς τῆς Ἑλλάδος. κεκακωμένον δὲ ἤδη τὸ Ἑλληνικὸν Κόνων ὁ Τιμοθέου καὶ Ἐπαμινώνδας ἀνεκτήσαντο ὁ Πολύμνιδος· ὁ μὲν ἐκ τῶν νήσων καὶ ὅσα ἐγγυτάτω θαλάσσης, Ἐπαμινώνδας δὲ ἐκ τῶν πόλεων, τῶν ἀπὸ θαλάσσης ἄνω, Λακεδαιμονίων τὰς φρουρὰς καὶ ἁρμοστὰς ἐκβαλόντες καὶ δεκαρχίας καταπαύσαντες. Ἐπαμινώνδας δὲ 706

Graecis dux praefuit, *nihil attinet hoc loco dicere, quod* huic proditionis crimen, illi imposita *omnibus* insulis vectigalia, quum antea omnes Graeci nominis populi a tributis immunes fuissent, servatae Graeciae gloriam eripuerunt. Xanthippus quidem Ariphronis, et Cimon: ille deleta Persarum classe ad Mycalen, Leotychide Spartanorum rege adiuvante; hic multis et aemulatione dignissimis facinoribus, de Graecis optime meriti sunt. At omnes, qui bello Peloponnesiaco, quod est contra Athenienses gestum, *exercitibus praefuerunt, atque* ex iis gloria praestantissimum quemque, *iure* quis Graeciae parricidas et prope (ut ita dicam) demersores appellarit. Graecorum certe imperium iam graviter perculsum, Conon Timothei, et Polymnidis filius Epaminondas ad *spem* salutis *aliquam* revocarunt; quum uterque, ex insulis ille et maritimis locis, ex urbibus hic mediterraneis praesidia et *Lacedaemoniorum praefectos, quos* Harmostas *vocabant*, eiecissent, decurionesque *in singulis civitatibus* in ordinem coegissent. Epaminondas ad haec

καὶ πόλεσιν οὐκ ἀφανέσι, Μεσσήνῃ καὶ Μεγάλῃ πόλει τῇ Ἀρκάδων, λογιμωτέραν τὴν Ἑλλάδα ἐποίησεν. εἶναι δὲ ἁπάντων Ἑλλήνων καὶ Λεωσθένην τίθεμαι καὶ Ἄρατον εὐεργέτας· ὁ μὲν τὸ Ἑλλήνων μισθοφορικὸν, καὶ ἐν Πέρσαις περὶ πέντε που μυριάδας ἐπὶ θάλασσαν καταβάντας, ναυσὶν ἐς τὴν Ἑλλάδα ἀνέσωσε καὶ ἄκοντος Ἀλεξάνδρου· τὰ δὲ ἐς Ἄρατον ἐδήλωσε δή μοι τοῦ λόγου τὰ ἐς Σικυωνίους. (3) Τὸ δὲ ἐπίγραμμά ἐστιν ἐπὶ τῷ Φιλοποίμενι τὸ ἐν Τεγέᾳ·

Τοῦδ' ἀρετὰ καὶ δόξα καθ' Ἑλλάδα, πολλὰ μὲν ἀλκαῖς,
Πολλὰ δὲ καὶ βουλαῖς ἔργα πονησαμένου,
Ἀρκάδος αἰχμητᾶ Φιλοποίμενος· ᾧ μέγα κῦδος
Ἕσπετ' ἐνὶ πτολέμῳ, δούρατος ἁγεμόνι.
Μανύει δὲ τρόπαια τετυγμένα δισσὰ τυράννων
Σπάρτας· αὐξομέναν δ' ἄρατο δουλοσύναν.
Ὧν ἕνεκεν Τεγέα μεγαλόφρονα Κραύγιδος υἱὸν
Στᾶσεν ἀμωμήτου κράντορ' ἐλευθερίας.

τοῦτο μὲν δὴ ἐνταῦθά ἐστιν ἐπίγραμμα.

duarum minime obscurarum urbium, Messenes, et Arcadicae Megalopolis accessione Graecam illustriorem reddidit. Adnumerandi Graeciae parentibus iure etiam fuerint Leosthenes et Aratus. Ille enim Graecos conductitios, qui Persis stipendia fecerant, ad quinquaginta prope militum millia in naves impositos, invito etiam Alexandro, in Graeciam incolumes reportavit. Arati vero merita ex iis cognosci possunt, quae de Sicyoniorum rebus gestis conscripsimus. (3) Ad Philopoemenis quidem statuam Tegeae talis legitur inscriptio:

Cuius virtutem mirata est Graecia, quique
Multa manu gessit, multaque consilio,
Arcados invicti Philopoemenis haec monumenta,
Quem belli ornavit gloria clara ducem.
Huic duo de geminis excelsa trophaea tyrannis,
Erexit Sparte libera servitio.
Grata etiam Tegee pro libertate recepta
Craugidis haec gnato magnanimo posuit.

Ac talis quidem illic exstat inscriptio.

CAPUT LIII.

Cur Tegeatae Apollini Agyieo signa dedicaverint, enarratur — de Cydone, Gortyne et Catreo Tegeatarum et Cretensium diversa narratio — de Rhadamantho — quatuor signis Apollinis Agyiei et aliis templis ac signis Tegeae — cultu Iovis Clarii — reliquis Tegeae memorandis.

Τῷ δὲ Ἀπόλλωνι οἱ Τεγεᾶται τῷ Ἀγυιεῖ τὰ ἀγάλματα ἐπ' αἰτίᾳ φασὶν ἱδρύσασθαι τοιᾶδε. Ἀπόλλωνα καὶ Ἄρτεμιν ἐπὶ πᾶσαν λέγουσι χώραν τιμωρεῖσθαι τότε ἀνθρώπων, ὅσοι Λητοῦς, ἡνίκα εἶχεν ἐν τῇ γαστρί, πλανωμένης καὶ ἀφικομένης ἐς τὴν γῆν ἐκείνην, οὐδένα ἐποιήσαντο αὐτῆς λόγον. ὡς δὲ ἄρα καὶ εἰς τὴν Τεγεατῶν ἐληλυθέναι τοὺς θεούς, ἐνταῦθα υἱὸν Τεγεάτου Σκέφρον προσελθόντα τῷ Ἀπόλλωνι ἐν ἀπορρήτῳ διαλέγεσθαι πρὸς αὐτόν· Λειμὼν δὲ (ἦν δὲ ὁ Λειμὼν οὗτος Τεγεάτου τῶν παίδων) ὑπονοήσας ἔγκλημα ἔχειν ἐς ἑαυτὸν τὰ ὑπὸ Σκέφρου λεγόμενα, ἀποκτίννυσιν ἐπιδραμὼν τὸν ἀδελφόν. καὶ Λειμῶνα μὲν τοξευθέντα ὑπὸ 707
Ἀρτέμιδος περιῆλθεν αὐτίκα ἡ δίκη τοῦ φόνου· Τεγεάτης δὲ καὶ Μαῖρα τὸ μὲν παραυτίκα Ἀπόλλωνι καὶ Ἀρτέμιδι θύουσιν· ὕστερον δὲ ἐπιλαβούσης ἀκαρπίας ἰσχυ-

Cap. LIII. Apollini vero Agyieo signa ob huiusmodi causam Tegeatae dedicasse feruntur. Apollinem et Dianam aiunt ubique gentium graves de iis hominibus sumsisse poenas, qui Latonam dum uterum ferret, errantem contempsissent. Quare quum ii, *quos nominavimus*, dii in Tegeatarum quoque terram venissent, Scephrus Tegeatae filius semotis arbitris cum Apolline est collocutus. Ibi Limon (erat hic quoque de Tegeatae liberis) in suspicionem venit, fuisse clandestinum illum sermonem aliud nihil quam sui criminationem: impetu itaque facto fratrem occidit: sed mox Dianae sagittis confixus, iustas eius caedis poenas dedit. At Tegeates et Maera ex tempore sacrum quidem utrique deo fecerunt: verum postea quum atrox soli sterilitas incesseret,

ρᾶς, ἦλθε μάντευμα ἐκ Δελφῶν, Σκέφρον θρηνεῖν. καὶ ἄλλα τε ἐν τοῦ Ἀγυιέως τῇ ἑορτῇ δρῶσιν ἐς τιμὴν τοῦ Σκέφρου, καὶ ἡ τῆς Ἀρτέμιδος ἱέρεια διώκει τινὰ, ἅτε αὐτὴ τὸν Λειμῶνα ἡ Ἄρτεμις. (2) Λέγουσι δὲ καὶ, ὡς Τεγεάτου τῶν παίδων ἔδει τὸν τόπον μετοικῆσαι σφᾶς ἑκουσίως ἐς Κρήτην, Κύδωνα, καὶ Ἀρχίδιον, καὶ Γόρτυνα· καὶ ἀπὸ τούτων φασὶν ὀνομασθῆναι τὰς πόλεις Κυδωνίαν, καὶ Γόρτυνά τε, καὶ Κατρέα. Κρῆτες δὲ οὐχ ὁμολογοῦντες τῷ Τεγεατῶν λόγῳ, Κύδωνα μὲν Ἀκακαλλίδος θυγατρὸς Μίνω καὶ Ἑρμοῦ, Κατρέα δέ φασιν εἶναι Μίνω, τὸν δὲ Γόρτυνα Ῥαδαμάνθυος. Ἐς δὲ αὐτὸν Ῥαδάμανθυν Ὁμήρου μέν ἐστιν ἐν Πρωτέως πρὸς Μενέλαον λόγοις, ὡς ἐς τὸ πεδίον ἥξοι Μενέλαος τὸ Ἠλύσιον, πρότερον δὲ ἔτι Ῥαδάμανθυν ἐνταῦθα οἰκεῖν. Κιναίθων δὲ ἐν τοῖς ἔπεσιν ἐποίησεν, ὡς Ῥαδάμανθυς μὲν Ἡφαίστου, Ἥφαιστος δὲ εἴη Τάλω, Τάλων δὲ εἶναι Κρητὸς παῖδα. οἱ μὲν δὴ Ἑλλήνων λόγοι διάφοροι τὰ πλέονα, καὶ οὐχ ἥκιστα ἐπὶ τοῖς γένεσίν εἰσι. (3) Τε-

consulentibus e Delphici Apollinis penetralibus responsum allatum est, lugendum esse Scephrum. Quamobrem in Agyiei sacris et alia in Scephri honorem faciunt, et *virgo* Dianae sacerdos unum quempiam insectatur, Dianam dum Limonem persequeretur simulans. (2) Aiunt etiam de Tegeatae liberis ultro in Cretam migrare oportuisse Cydonem, *Catreum*, Archidium, Gortynem: a quibus urbes nominatae fuerint, Cydonia, Gortyn, Catreus. Cretenses tamen neutiquam huic Tegeatûm sermoni assentientes, Cydonem Acacallide Minois filia et Mercurio genitum dicunt: at Catreum Minois, Rhadamanthi Gortynem filios fuisse. De Rhadamantho quidem Homerus prodidit in Protei et Menelai colloquio, in Elysios campos Menelaum venturum, ubi multo prius Rhadamanthus sedem sit nactus. Cinaethon vero versibus mandavit Rhadamanthum Vulcani, Vulcanum Tali, Talum Cretis filium fuisse. Sunt sane Graecorum scripta quum in plerisque, tum in iis maxime quae ad gentilitates pertinent,

γεάταις δὲ τοῦ Ἀγυιέως τὰ ἀγάλματα τέσσαρά εἰσιν ἀριθμόν, ὑπὸ φυλῆς ἑκάστης ἱδρυμένα· ὀνόματα δὲ αἱ φυλαὶ παρέχονται, Κλαρεῶτις, Ἱπποθοῖτις, Ἀπολλωνεάτις, Ἀθανεάτις· καλοῦνται δὲ ἀπὸ τοῦ κλήρου, ὃν τοῖς παισὶν Ἀρκὰς ἐποίησεν ὑπὲρ τῆς χώρας, καὶ ἀπὸ Ἱπποθόου τοῦ Κερκύονος. ἔστι δὲ καὶ Δήμητρος ἐν Τεγέᾳ καὶ Κόρης ναός, ἃς ἐπονομάζουσι Καρποφόρους· πλησίον δὲ Ἀφροδίτης καλουμένης Παφίας· ἱδρύσατο αὐτὴν Λαοδίκη, γεγονυῖα μέν, ὡς καὶ πρότερον ἐδήλωσα, ἀπὸ Ἀγαπήνορος, ὃς ἐς Τροίην ἡγήσατο Ἀρκάσιν, οἰκοῦσα δὲ 708
ἐν Πάφῳ. τούτου δὲ ἐστιν οὐ πόρρω Διονύσου τε ἱερὰ δύο καὶ Κόρης βωμός, καὶ Ἀπόλλωνος ναός, καὶ ἄγαλμα ἐπίχρυσον. Χειρίσοφος ἐποίησε, Κρὴς μὲν γένος, ἡλικίαν δὲ αὐτοῦ καὶ τὸν διδάξαντα οὐκ ἴσμεν. ἡ δὲ δίαιτα ἡ ἐν Κνωσσῷ Δαιδάλῳ παρὰ Μίνῳ συμβᾶσα ἐπὶ μακρότερον, δόξαν τοῖς Κρησὶ καὶ ἐπὶ ξοάνων ποιήσει παρεσκεύασε. παρὰ δὲ τῷ Ἀπόλλωνι ὁ Χειρίσοφος ἕστηκε λίθου πεποιημένος. καλοῦσι δὲ οἱ Τεγεᾶται καὶ ἑστίαν

inter se dissidentia. (3) Agyieo apud Tegeatas signa quatuor, singula a singulis tribubus posita sunt. Tribuum ipsarum nomina perhibentur, Clareotis, Hippothoitis, Apolloneatis, Athaneatis: sic appellatae ab agri sorte quam liberis Arcas proposuit suis, et simul ab Hippothoo Cercyonis filio. Est praeterea Tegeae Cereris et Proserpinae fanum: Frugiferas deas nominant. Prope Veneri cognomine Paphiae templum dedicavit Laodice, cui Agapenor pater, is qui bello Troiano Arcadum dux fuit: Paphi tamen illa vixit, uti *alio* est a nobis *loco* prius explicatum. Ab eo templo non longe absunt Liberi Patris delubra duo, Proserpinae ara, Apollinis aedes, cum inaurato simulacro. *Ea omnia* Chirisophus fecit, Cretensis patria; de cuius aetate et magistro comperti nihil habemus. Longior certe Gnossi apud Minoem Daedali commoratio, Cretenses in signorum etiam opificio nobilitavit. Adsistit Apollini ipse Chirisophus e marmore. *Habent* etiam Tegeatae *aedem aliam*, *quam*

Ἀρκάδων κοινήν· ἐνταῦθά ἐστιν ἄγαλμα Ἡρακλέους· πεποίηται δὲ οἱ ἐπὶ τοῦ μηροῦ τραῦμα ἀπὸ τῆς μάχης, ἣν πρῶτον Ἱπποκόωντος τοῖς παισὶν ἐμαχέσατο. (4) Τὸ δὲ χωρίον τὸ ὑψηλὸν, ἐφ' οὗ καὶ οἱ βωμοὶ Τεγεάταις εἰσὶν οἱ πολλοὶ, καλεῖται μὲν Διὸς Κλαρίου· δῆλα δὲ, ὡς ἐγένετο ἡ ἐπίκλησις τῷ θεῷ τοῦ κλήρου τῶν παίδων εἵνεκα τῶν Ἀρκάδος. ἄγουσι δὲ ἑορτὴν αὐτόθι Τεγεᾶται κατὰ ἔτος· καί σφισιν ἐπιστρατεῦσαι Λακεδαιμονίους τότε ὑπὸ τὸν καιρὸν τῆς ἑορτῆς λέγουσι, καὶ (νίφειν γὰρ τὸν θεὸν) τοὺς μὲν ῥιγοῦν, καὶ ὄντας ἐν τοῖς ὅπλοις κάμνειν· αὐτοὶ δὲ ἐκείνων κρύφα πῦρ καῦσαι, καὶ, ὡς οὐκ ἠνωχλοῦντο ὑπὸ τοῦ κρυμοῦ, τὰ ὅπλα ἐνδύντες ἐξελθεῖν τε ἐπὶ τοὺς Λακεδαιμονίους, καὶ σχεῖν ἐν τῷ ἔργῳ πλέον φασίν. (5) Ἐθεασάμην δὲ καὶ ἄλλα ἐν Τεγέᾳ τοσάδε· Ἀλεοῦ οἰκίαν καὶ Ἐχέμου μνῆμα, καὶ ἐπειργασμένην ἐς στήλην τοῦ Ἐχέμου τὴν πρὸς τὸν Ὕλλον μάχην. ἐκ Τεγέας δὲ ἰόντι ἐς τὴν Λακωνικὴν, ἔστι μὲν βωμὸς, ἐν ἀριστερᾷ τῆς ὁδοῦ, Πανός· ἔστι δὲ καὶ Λυκαίου Διός· λείπεται δὲ καὶ θεμέλια ἱερῶν. οὗτοι

communem Arcadum focum vocant. Est ibi Herculis simulacrum: in femore cicatrix cernitur, ex vulnere, quod in prima cum Hippocoontis filiis dimicatione accepit. (4) Excelsior quidam vicus, in quo complures Tegeatae aras habent, Clarii dicitur Iovis: cognomen manifestum est a sortitione Arcadis filiorum ductum. Festos dies quotannis eo in loco agitant Tegeatae: ac Lacedaemonios quidem, eo se sacro occupatis, cum exercitu fines invasisse memorant: *multa* vero quum se effunderet e caelo nix, prae frigore hostes graviter sub armis laborasse: *interea* se clam illis ignes accendisse; moxque frigoris incommodo liberatos, armis arreptis hosti occurrisse, victoresque paulo post revertisse. Conspicatus et alia Tegeae sum, Alei domum, Echemi sepulcrum, ei in pila incisam Echemi cum Hyllo pugnam. (5) A Tegea in Laconicum agrum pergentibus, ad laevam viae est Panos ara: est etiam Iovis Lycaei. Restant adhuc

μὲν δὴ εἰσὶν οἱ βωμοὶ σταδίοις δύο ἑκατέρω τοῦ τείχους· προελθόντι δὲ ἀπ' αὐτῶν μάλιστά που σταδίους ἑπτά, ἱερὸν Ἀρτέμιδος ἐπίκλησιν Λιμνάτιδος, καὶ ἄγαλμά ἐστιν ἐβένου ξύλου· τρόπος δὲ τῆς ἐργασίας ὁ Αἰγιναῖος καλούμενος ὑπὸ Ἑλλήνων. τούτου ὅσον δέκα ἀπωτέρω σταδίοις Ἀρτέμιδος Κνακεάτιδος, ἔστιν Ἀλεοῦ τὰ ἐρείπια.

CAPUT LIV.

De Alpheo flumine, Lacedaemoniorum et Tegeatarum fines constituente — Alphei singulari cursu — Orestis sepulcro et fluvio Garate — memorandis in via, quae a Tegea Argos ducit, templo Bacchi Mystae — monte Parthenio.

Λακεδαιμονίοις δὲ καὶ Τεγεάταις ὅροι τῆς γῆς ὁ ποταμός ἐστιν ὁ Ἀλφειός· τούτου τὸ ὕδωρ ἄρχεται μὲν ἐν Φυλάκῃ, κάτεισι δὲ οὐ πόῤῥω τῆς πηγῆς καὶ ἄλλο ὕδωρ ἐς αὐτὸν ἀπὸ πηγῶν μεγέθει μὲν οὐ μεγάλων, πλεόνων δὲ ἀριθμόν· καὶ διὰ τοῦτο τῷ χωρίῳ Σύμβολα γέγονεν ὄνομα. (2) Φαίνεται δὲ ὁ Ἀλφειὸς παρὰ τοὺς ἄλλους ποταμοὺς φύσιν τινὰ ἰδίαν παρεχόμενος τοιάνδε· ἀφανίζεσθαί τε γὰρ κατὰ γῆς ἐθέλει πολλάκις, καὶ αὖθις

709

templorum fundamenta. Arae quidem hae a muris absunt stadia II. Progressi stadia ferme VII, ad Limnatidis *(quod est ac si Palustris dixeris)* Dianae pervenient. In ea aede ex ebeno signum est. Operis forma cuiusmodi quae a Graecis Aeginaea appellatur. Absunt hinc stadia circiter X Dianae Cnateatidis et Alei ruinae.

Cap. LIV. Lacedaemoniis et Tegeatis agri fines Alpheus est amnis. Eius caput ad Phylacen: unde non procul influit in eum aqua e fontibus orta, non utique magnis, sed numero pluribus: et idcirco Symbola *(quasi confluentem dicas)* est ei loco nomen. (2) Alpheus ipse longe alia quam ceteri amnes est praeditus natura. Abdit enim se

ἀναφαίνεσθαι. προελθὼν μὲν γὰρ ἐκ Φυλάκης καὶ τῶν καλουμένων Συμβόλων, ἐς τὸ πεδίον κάτεισι τὸ Τεγεατικόν· ἀνατείλας δὲ ἐν Ἀσέᾳ, καὶ τὸ ῥεῦμα ἀναμίξας τῷ Εὐρώτᾳ, τὸ δεύτερον ἔτι κάτεισιν ἐς τὴν γῆν· ἀνασχὼν δὲ, ἔνθα Πηγὰς ὀνομάζουσιν οἱ Ἀρκάδες, καὶ παρά γῆν τε τὴν Πισαίαν καὶ παρὰ Ὀλυμπίαν ἐξελθὼν, ἐκδίδωσιν ὑπὲρ Κυλλήνης, ἐπινείου τοῦ Ἠλείων, ἐς τὴν θάλασσαν. ἔμελλε δὲ ἄρα μηδὲ Ἀδρίας ἐπισχήσειν αὐτὸν τοῦ πρόσω· διανηξάμενος δὲ καὶ τοῦτο τὸ πέλαγος, μέγα οὕτω καὶ βίαιον, ἐν Ὀρτυγίᾳ τῇ πρὸ Συρακουσῶν ἐπιδείκνυσιν Ἀλφειός τε ὢν καὶ πρὸς Ἀρέθουσαν τὸ ὕδωρ ἀνακοινούμενος. (3) Ἡ δὲ εὐθεῖα ἐπὶ Θυρέαν τε καὶ κώμας τὰς ἐν τῇ Θυρεάτιδι ἐκ Τεγέας παρείχετο ἐς συγγραφὴν Ὀρέστου τοῦ Ἀγαμέμνονος μνῆμα· καὶ ὑφελέσθαι Σπαρτιάτην τὰ ὀστᾶ αὐτόθεν, οἱ Τεγεᾶται λέγουσι· καθ' ἡμᾶς δὲ οὐκέτι πυλῶν ἐντὸς ἐγίνετο ὁ τάφος. ῥεῖ δὲ καὶ Γαράτης ποταμὸς κατὰ τὴν ὁδόν. διαβάντι δὲ τὸν Γαράτην, καὶ προελθόντι σταδίους δέκα,

infra terram saepe, et rursus exoritur. E Phylace *primum* et e Symbolis emanans, mergit se in Tegeatico agro: mox in Asaea erumpens, et Eurotae aquas permiscens suas, cuniculo iterum absorptus, emergit quo loco Fontes Arcades nominant: ac Pisaeum agrum et Olympiam praeterlapsus, supra Cyllenen Eleorum navale in mare prorumpit. Neque potest cursum eius Adriatici maris concitatio retardare, quo minus magnum et violentum internatans pelagus, ad Ortygiam Syracusarum insulam, se Alpheum esse ostendat, et Arethusae fonti permisceatur. (3) Recta sane via ad Thyrean, et vicos qui intra Thyreatum fines sunt, habet, quae merito in *huius historiae* commentarios referantur: Orestis Agamemnonis filii sepulcrum; ex quo revulsa a Spartano homine eius ossa, memorant Tegeatae. Nostra quidem aetate sepulcrum eius non erat amplius intra muros. Praeterfluit viam Garates amnis: quem ubi transieris, stadia *prope* X

Πανός ἐστιν ἱερόν, καὶ πρὸς αὐτῷ δρῦς, ἱερὰ καὶ αὕτη
τοῦ Πανός. (4) Ἡ δὲ ἐς Ἄργος ἐκ Τεγέας ὀχήματι
ἐπιτηδειοτάτη καὶ τὰ μάλιστά ἐστι λεωφόρος. ἔστι δὲ
ἐπὶ τῆς ὁδοῦ, πρῶτα μὲν ναὸς καὶ ἄγαλμα Ἀσκληπιοῦ·
μετὰ δὲ ἐκτραπεῖσιν ἐς ἀριστερὰν ὅσον στάδιον, Ἀπόλ-
λωνος ἐπίκλησιν Πυθίου καταλελυμένον ἐστὶν ἱερόν, καὶ
ἐρείπια ἐς ἅπαν. κατὰ δὲ τὴν εὐθεῖαν αἵ τε δρῦς εἰσι
πολλαί, καὶ Δήμητρος ἐν τῷ ἄλσει τῶν δρυῶν ναὸς ἐν 710
Κορυθεῦσι καλουμένης· πλησίον δὲ ἄλλο ἐστὶν ἱερὸν
Διονύσου Μύστου. (5) Τὸ ἀπὸ τούτου δὲ ἄρχεται τὸ
ὄρος τὸ Παρθένιον· ἐν δὲ αὐτῷ τέμενος δείκνυται Τη-
λέφου· καὶ ἐνταῦθα παῖδα ἐκκείμενόν φασιν αὐτὸν ὑπὸ
ἐλάφου τραφῆναι. ἀπωτέρω δὲ ὀλίγον Πανός ἐστιν ἱε-
ρόν· ἔνθα Φιλιππίδῃ φανῆναι τὸν Πᾶνα καὶ εἰπεῖν τὰ
πρὸς αὐτόν, Ἀθηναῖοί τε καὶ κατὰ ταὐτὰ Τεγεᾶται λέ-
γουσι. παρέχεται δὲ τὸ Παρθένιον καὶ ἐς λύρας ποίη-
σιν χελώνας ἐπιτηδειοτάτας, ἃς οἱ περὶ τὸ ὄρος ἄνθρω-
ποι καὶ αὐτοὶ λαμβάνειν δεδοίκασι, καὶ ξένους οὐ πε-

progressus, Panos fanum offendas, et iuxta illud quercum deo sacram. (4) Iam quae a Tegea Argos ducit via, vehiculis pervia, et populari trita est itinere. Adiacent ipsi viae primum quidem aedes Aesculapii cum suo signo. Deinde divertentibus ad laevam unum ferme stadium, est Apollinis cognomento Pythii eversa aedes; cuius ipsa duntaxat exstant rudera. Secundum rectam viam locus est quercu plurima condensus. In eo querceto templum est Cereris cognomine Corythensis, *quasi Galeatae dixeris.* Proxima Liberi Patris aedes: Mystae *(id est Arcani)* vocant. (5) Inde Parthenius mons incipit. In eo sacra Telephi area ostenditur; in qua altum a cerva Telephum puerum dicunt. Paululum abest Panos fanum: ubi Philippidae occurrisse Pana, et quae ei opus erant monuisse, tam Athenienses quam Tegeatae praedicant. Praebet saltus Parthenius testudines ad lyras compingendas quam accommodatissimas. Sed eas accolae capere verentur, neque a peregrinis capi sinunt,

ἀναφαίνεσθαι. προσελθόν[...]
καλουμένων Συμβόλ[...] [γά]ρ σφᾶς εἶναι τοῦ Πανὸς
τικόν· ἀνατείλας [...] [τ]ὴν κορυφὴν τοῦ ὄρους, ἔστιν
τῷ Εὐρώτᾳ, τὸ [...] Τεγεατῶν ὅρος [καὶ Ἀργείων,
σχὼν δὲ, ἔνθα [...] Τριὰς ἐν Ἀργολίδι. αἵδε μὲν
ρὰ γῆν τε [...] καὶ πόλεις τε ἐν ταῖς μοίραις, καὶ
ἐκδίδωσιν [...] ἀξιολογώτατά ἐστιν ἐς μνήμην.
θάλασσαν
τὸν τοῦ
μέγα
ἐπιδε
ὕδω
κο

[...] putant. Ubi iugum superaveris, ac iam [...] arva descenderis, illic fines inter Tegeatas et [...] sunt, ad eum prope modum, quo in Argivo agro [...] Hae quidem Peloponnesi regiones sunt, et ur[bes in] singulis regionibus. Persecuti autem ea sumus *omnia, vel in agris, vel* in urbibus ipsis, quae hac historiae commemoratione dignissima duximus.

ADNOTATIONES
AD
PAUSANIAE ELIACA POSTERIORA
SEU LIBRUM SEXTUM.

Locus a Capite I. usque ad XVIII. ab auctore ipso V, 25, 1. *λόγος ὁ ἐς τοὺς ἀθλητὰς* dicitur. Hunc sequitur ille de thesauris in Alti cap. 19. His reliqua adiunguntur, quae Olympia et Elis memorabilia habuit a cap. 20. usque ad finem. De *Olympionicis* plures scripsisse libros *Eratosthenem*, ex Athenaei IV, p. 154. a. discimus. Continet hic locus narrationem V, 21, 1. his verbis promissam: *τῶν ἀνδριάντων* (scil. *τῶν νικώντων*) *ποιησόμεθα καὶ ὕστερον μνήμην*.

CAPUT I.

§. 1. *Τῷ λόγῳ τῷ ἐς τὰ ἀναθήματα*, qui est V, 21, 2. usque ad finem libri quinti. *ἵππων ἀγωνιστικῶν* Vulg. *ἀγωνικῶν* Mosq. male. sed *ἵπποι ἀγωνισταὶ* sunt in Plutarchi Themist. 25. *ἰδιωτῶν*. „Per *ἰδιώτας* non tam conditio quam imperitia rei athleticae designatur. Dicit enim Pausanias, se hoc libro promiscue mentionem facturum athletarum, et eorum qui athleticam non professi sunt. Nam paulo infra cap. 2. vatis cuiusdam imago commemoratur, qui utique quoad athleticam idiota erat.“ Kuhn. Ergo *ἀθληταὶ* et *ἰδιῶται* hic inter se sunt oppositi (cf. Schneid. Lex. gr. s. v. *ἰδιώτης*), ut II, 13, 6. *μάντις* et *ἰδιώτης*. *Ἰδιώταις*, qui hic cogitantur, adnumerabis *Thrasybulum* cap. 2, 2, *Aristotelem* cap. 4, 5, *Gorgiam* cap. 17, 5, *Anaximenem* cap. 18, 2. praeter illos, qui cap. 16, 5. memorantur. *Ὀλυμπιάσιν* Vulg. *Ὀλυμπιᾶσιν* Mosq. *ἀλλὰ καὶ κ. τ. λ.* *sed sunt adeo qui splendida perpetrarunt, quod attinet ad certamen, nonnulli etiam aliis in*

ριορῶσιν αἱροῦντας· ἱερὰς γὰρ σφᾶς εἶναι τοῦ Πανὸς ἥγηνται. ὑπερβάλλοντι δὲ τὴν κορυφὴν τοῦ ὄρους, ἔστιν ἐν τοῖς ἤδη γεωργουμένοις Τεγεατῶν ὅρος [καὶ Ἀργείων, καθ᾽ ἃ αἱ ἐν τῇ] κατὰ Ὑσιὰς ἐν Ἀργολίδι. αἵδε μὲν Πελοποννήσου μοῖρα καὶ πόλεις τε ἐν ταῖς μοίραις, καὶ ἐν ἑκάστῃ πόλει τὰ ἀξιολογώτατά ἐστιν ἐς μνήμην.

quod Pani sacras putant. Ubi iugum superaveris, ac iam in *subiacentia* arva descenderis, illic fines inter Tegeatas et Aargivos sunt, ad eum prope modum, quo in Argivo agro ad Hysias. Hae quidem Peloponnesi regiones sunt, et urbes in singulis regionibus. Persecuti autem ea sumus *omnia, vel in agris, vel* in urbibus ipsis, quae hac historiae commemoratione dignissima duximus.

ADNOTATIONES
AD
PAUSANIAE ELIACA POSTERIORA
SEU LIBRUM SEXTUM.

Locus a Capite I. usque ad XVIII. ab auctore ipso V, 25, 1. *λόγος ὁ ἐς τοὺς ἀθλητὰς* dicitur. Hunc sequitur ille de thesauris in Alti cap. 19. His reliqua adiunguntur, quae Olympia et Elis memorabilia habuit a cap. 20. usque ad finem. De *Olympionicis* plures scripsisse libros *Eratosthenem*, ex Athenaei IV, p. 154. a. discimus. Continet hic locus narrationem V, 21, 1. his verbis promissam: *τῶν ἀνδριάντων* (scil. *τῶν νικώντων*) *ποιησόμεθα καὶ ὕστερον μνήμην.*

CAPUT I.

